Καὶ σκόπει ὅτι ὃ σὺ λέγεις ἐναντίον τυγχάνειν, τούτῳ οἱ καλῶς ἐπιγνόντες τε καὶ χρησάμενοι ἐπὶ εὑρέσει τῆς κοινῆς τῶν ἀνθρώπων σωτηρίας ἐς ὕστερον εὑρέθησαν χρώμενοι, καὶ αὐτοῖς δὲ σωτηρίας ψυχικῆς τοῦτο γέγονε πρόξενον, ὡς ἐντεῦθεν δῆλον τυγχάνειν ὅτι οὐδὲ κεκωλυμένα εἰσὶ ταῦτα παρὰ Θεοῦ· οὐκ ἂν γὰρ οὔτε ἐν τῇ γεννήσει οὔτε ἐν τῇ σταυρώσει τοιαῦτα διὰ τῶν ἀστέρων σημεῖα παρηκολούθησαν. ἃ γοῦν εἰς σημεῖα πεποίηκεν ὁ Θεὸς μεγίστων πραγμάτων, πῶς σὺ λέγεις ἐναντία τυγχάνειν καὶ μὴ ἔχειν ἐνέργειαν; ὁρᾷς πῶς ὁ Θεὸς ηὐδόκησε τοὺς δι' αὐτοῦ παρηγμένους καὶ πεποιημένους ἀστέρας γινώσκεσθαι καὶ δυνάμεις ἰδίας παρασημειωτικὰς τῶν μελλόντων τούτοις ἐνέθηκε· καθάπερ γὰρ πρῶτον μὲν ἀνὰ μέσον σκότους καὶ φωτὸς διεχώρισεν ὁ Θεός, εἶθ' ὕστερον παρῆξε τὸν δίσκον καὶ ἐνέθετο ἐν αὐτῷ τὸ διεσκορπισμένον ἀτάκτως φῶς, ἵνα μὴ παρά τισι τοῦτο νομίζηται ὡς ἐξ ἀρχῆς ἦν ἅμα τῷ δίσκῳ, ἀλλὰ παρὰ πάντων γνωρίζηται ἐκ τῆς δημιουργικῆς δυνάμεως τοῦ Θεοῦ καὶ ἀμφότερα εἶναι τήν τε τούτων ἀνὰ μέρος δημιουργίαν καὶ τὴν ἐς ὕστερον ἀδιάρρηκτον ἕνωσιν, οὕτω καὶ ἐν τῇ σταυρώσει καὶ ἐν τῇ γεννήσει διὰ τῶν ἀστέρων ἐδήλωσε τὴν παρασημειωτικὴν αὐτῶν δύναμιν· καὶ ἐν μὲν τῇ γεννήσει ἦν ὁ ἀστὴρ παρὰ φύσιν καὶ ἡ πορεία αὐτοῦ παρὰ φύσιν· διὰ τοῦτο καὶ ἀπὸ τῆς τέχνης αὐτῶν ἐπεγνώκασιν οἱ μάγοι τὸ θαῦμα· οὐ μόνον δὲ ἀπὸ τῆς

1 γινόμενος V. 11 γεννέσεως A. 12 ὑπὲρ omis. V. 13 καὶ ὅτι scripsi : εἴτε codd. 14 εἴπομεν A, dubium in V. 15 ὑπερφυὲς V. 19 τοῦτο codd., corr. Bidez. 23 θεῷ codd., corr. 25 γοῦν omis. A. 26 ἐνάργειαν coni. Boll nam de σημαίνειν ἀστέρας non de ποιεῖν Manuel agit. 31 νομίζεται V. 32 γνωρίζεται V. 37 παρὰ omis. V.

οἰκείας τοῦ ἀστέρος αἰσθήσεως ἀλλὰ καθὼς ὁ Θεὸς εὐδόκησε, διὰ θαύματος θέλων δι' αὐτοῦ προσημειώσασθαι τὸ μέλλον ἐπισυμβαίνειν μυστήριον· οὕτω δὲ καὶ ἐπὶ τῆς ἐκλείψεως παρὰ φύσιν ὀπισθόπους γέγονεν ἡ σελήνη ἐγγὺς πορευθεῖσα πρὸς ἥλιον· ἐξ οὗ καὶ ὁ Ἀρεοπαγίτης πάσχειν ἐπέγνω Θεόν.

Εἰ δὲ ἄγγελον ἑρμηνεύει τις εἶναι τὸν τοιοῦτον ἀστέρα, καταδεξόμεθα τὸν λόγον καὶ τὸν ἑρμηνέα ἀποδεξόμεθα· οὕτω γὰρ φήσομεν καὶ δοξάσομεν, ἐπεὶ καὶ αὐτὸς μηνυτὴς ἦν ἀγαθοῦ καὶ κοσμοσωτηρίου τοιούτου ὁποῖος ἦν <ὁ> γεννώμενος· οὐδὲ γάρ, εἰ ἄγγελος ἦν, τὸ τῇ φύσει δεύτερον ὂν μετὰ τὸ πρῶτον φῶς, ἡ νοερὰ οὐσία καὶ [f. 4v] ἄϋλος τοῖς ἀπίστοις μάγοις ἀπεκάλυψεν ἂν τὸ μυστήριον ἢ συνελάλησεν· ἦν γὰρ οὕτως ἧττον τὸ θαῦμα τὸ ὅλον, ὡς εἰπεῖν, τοῦ ἀγγέλου καὶ οὐ τοιούτου πλῆρες φρίκους καὶ θάμβους ἀλαλήτου μάγοις παραδηλοῦν τὸν γεννώμενον ὅτι θεάνθρωπος βασιλεὺς ἀθάνατος συναμφότερον καὶ θνητὸς καὶ ἐν τόπῳ τῶν Ἱερουσολύμων γεννώμενος.

Κομῆται μέντοι κατὰ καιροὺς ἐπιφαινόμενοι πάντοτε μεγάλων τινῶν ἐν τῷ κόσμῳ ἐναλλαγῶν εἶναι λέγονται παρὰ τοῖς πατράσιν ἡμῶν ἄγγελοι προμηνυταὶ καὶ σημάντορες· καὶ ἵνα <ἐκ> τῶν ἐν τοῖς καθ' ἡμᾶς καὶ ὑστέροις χρόνοις ἐπισυμβάντων παραστήσωμεν τὸ λεγόμενον παρ' ἡμῶν καὶ ἐξ ἡττόνων ᾖ τὸ παράδειγμα, κομήτης ἦν καὶ ὁ φανεὶς ἀστὴρ ὁπηνίκα διὰ τῆς χώρας τῆς Ῥωμανίας διῆλθον οἱ Ἀλαμάνοι[1], ἣν διέλευσιν καὶ προεῖπον οἱ τότε τεχνῖται καὶ μᾶλλον οἱ εἰδότες ὡς τοιοῦτος ἐφάνη ἀστήρ, καὶ ἐπὶ τῶν ἡμερῶν τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου κυροῦ Ἀλεξίου τοῦ πάππου τῆς βασιλείας μου, ὁπηνίκα διελθεῖν ἔμελλον καὶ τότε δυτικὰ ἔθνη διὰ τῆς χώρας τῆς Ῥωμανίας[2]. ἰδὲ οὖν τὴν τέχνην ὡς οὐκ ἐσφάλη, ἀλλ' ἀπετελέσθη ὡς οἱ τεχνῖται προεῖπον.

Μετὰ δέ τινων χρόνων παραδρομὴν τῶν ἀπὸ τῆς Χριστοῦ ἀναλήψεως ὁ πολὺς τὰ θεῖα Διονύσιος ὁ Ἀρεοπαγίτης οὐκ ἐντεῦθεν ἐποδηγήθη πρὸς πίστιν; ἐπεὶ γὰρ ἤκουε τοῦ μεγάλου Παύλου ἐν Ἀθήναις διδάσκοντος περὶ τοῦ δι' ἡμᾶς ἐν σταυρῷ τεθνηκότος Χριστοῦ, καὶ τὸν καιρὸν τοῦ πάθους ἠρώτησε καὶ ἀναποδίσας τὸν Χριστὸν αὐτὸν ἐκεῖνον εἶναι ἐγνώρισε, καθ' ὃν τὴν παρὰ φύσιν ἑώρα ἔκλειψιν·

2 λων δι' αὐτοῦ evanid. in V. 9 ὁ suppl. Kroll. γενόμενος A. 12 οὗτοι οὐ τὸ A : οὐ τοιοῦτον V; corr. Bidez. 13 φρίκης V, fors. recte. ἀλαλήτοις codd., corr. Bidez. 18 ἐκ supplevi. ἐν τοῖς A : αὐτοῖς V. 19 παραστήσομεν A. 23 κυρίου V. 32 ἐγγύρισε ut vid. A.

[1] Expeditionem imperatoris Conradi III, a. 1147 p. C., pro calamitate rei publicae habuerunt Byzantini, vide e. g. Nicet. Chron., I, 4, p. 80, 9 : νέφος πολεμίων ἐκ τῶν ἑσπερίων ἐπισυστὰν κλιμάτων, τετριγὸς δεινὸν καὶ ὀλέθριον, ἐς τὰ Ῥωμαίων ἐνέσκηψεν ὅρια, ἡ τῶν Ἀλαμανῶν, φημί, κίνησις.. Illam calamitatem apparitione cometae significatam fuisse alibi non inveni.

[2] De prodigiis qui adventum Occidentalium regnante Alexio portenderunt, cf. Muralt, *Chronologie byzantine*, ad annum 1095, p. 73, n° 3.

ἐπιστήμων γὰρ ἦν ὁ ἀνὴρ καὶ ἀκριβῶς ᾔδει ὅτι τέσσαρες καὶ δεκαταίας οὔσης τῆς σελήνης καὶ τοῦ ἡλίου μακρὰν τῶν συνδέσμων τυγχάνοντος οὐδέποτε ἡλιακὴ γίνεται ἔκλειψις, ὁπόταν δὲ συνοδεύῃ τῷ ἡλίῳ ἡ σελήνη καὶ καθ' ἑνὸς ᾖ τῶν συνδέσμων. ἔνθεν τοι καὶ πρός τινα τῶν φίλων αὐτοῦ συνοδοιποροῦντα τῷ τότε αὐτῷ· « ἢ Θεὸς πάσχει ἢ υἱὸς Θεοῦ καὶ συμπάσχει τῷ πάσχοντι[1] » εἴρηκεν, ὡς ἐκ τῆς ἐπιστολῆς μανθάνομεν, εὐθὺς τῷ ἀποστόλῳ πειθήνιος γέγονεν, ἐντεῦθεν αἰσθόμενος ἀληθεύειν τὸν κήρυκα, ἐκ τῆς παρὰ φύσιν δηλονότι τοῦ ἡλίου ἐκλείψεως, καὶ οὕτω διὰ τοῦ Παύλου προσεκολλήθη Χριστῷ. δῆλόν σοι καὶ ἐντεῦθεν ὅτι θεογνωσίας μᾶλλον χορηγία γίνεται καὶ σωτηρίας ὑπόθεσις τοῖς μετ' [f. 5] ἐπιγνώσεως χρωμένοις αὐτῇ καὶ τοῖς δυναμένοις ἐπιστημονικῶς ἅπαν νόημα αἰχμαλωτίζειν εἰς Χριστόν· σύνες οὖν ὅτι καὶ ἐκ τοῦ παρὰ φύσιν γίνεσθαι τὴν ἔκλειψιν ὁ ἐπιστημονικὸς ἐπέγνω πάσχειν Θεὸν καὶ ἐφάνη τὸ θαῦμα τῇ ἀληθείᾳ θαῦμα. οὐκ ἂν δὲ ἐφάνη τοιοῦτον τοῖς μὴ γινώσκουσι τὴν κατὰ φύσιν ἔκλειψιν, ὡς ἀεὶ τοιαύτης γιγνομένης ἐκλείψεως, εἰ μὴ τῷ τῶν τοιούτων εἰδήμονι, ὥσπερ καὶ ἐπὶ τῆς γεννήσεως τοῦ Χριστοῦ τὸ παράδοξον τοῦ μυστηρίου τελεσιουργούμενον τοῖς εἰδήμοσι τῶν τοιούτων ἐγνώσθη διὰ τῆς ἀσυνήθους ἐπιφανείας τοῦ καινοφανοῦς ἀστέρος, ὥστε καὶ διὰ τῶν ἀστέρων εὐδόκησε κυρῶσαι τὸ πρώην τοῖς ἀγγέλοις ἄγνωστον καὶ ἀπόκρυφον μυστήριον. ἐμβάθυνον τοίνυν ὅτι, ὅτε Θεὸς τὰς φύσεις καινοτομεῖ, οὐδέν τι κατὰ φύσιν οἰκείαν ἐνεργοῦν ἀντιστῆναι δύναται καὶ ἰδὲ τοῦτο ἐνταῦθα καὶ ἐπὶ τῆς σελήνης. ἐν γὰρ τῷ καιρῷ τοῦ πάθους μακρὰν τοῦ ἡλίου τυγχάνουσα βουλήσει Θεοῦ ὀπισθόπους τοῦ πρὸς ἀνατολὴν ὁρίζοντος ὑπέδραμε καὶ τῷ ἡλίῳ ἡνώθη· δῆλον οὖν ἐκ τούτων ὅτι ἀνεπισφαλῆ εἰσι τὰ ἐκ τῶν ἀστέρων τεκμηριούμενα τοῖς αὐτοὺς παρατηροῦσι προσεκτικωτέρως τῶν μαθηματικῶν.

Λέγεται δὲ ὡς καί τις Θεσσαλωνίκης ἀρχιερεὺς λιμὸν ἔλυσε διὰ τῆς τῶν ἀστέρων ἐπιτολῆς τὰς αὔλακας σχίσας τῆς γῆς καὶ τὸν σπόρον εὐθέως καταβαλόμενος καὶ διὰ τῆς τοιαύτης παρατηρήσεως περὶ τὸν τότε καρποδοτῆσαι καιρὸν παρασκευάσας τὴν γῆν[2]. ἐν δὲ τῷ μακρῷ τοίχῳ ἄνθρωπός τις ὀρύττων εὗρε λάρνακα, καὶ ἀνελόμενος ταύτης τὸ

1 ὅτι ὅτι A. τέσσαρες καὶ δ. pro τεσσαρακαιδεκαταίας, cf. infra, 119, 1. 4 μεθ' ἑνὸς V. 5 αὐτῷ χρόνῳ coni Boll. 7 ἀποστόλῳ V : βασιλεῖ A. 9 χριστῷ V : θεῷ A. 22 δύναται omis. V. 27 προσεκτικώτερος A : προσεκτικωτέρας V; corr. 29 ἐποτολῆς (sic) A. 30 καταβαλλόμενος codd. 31 Cf. infra, p. 128, 18 ss. De huiusmodi fabellis, cf. Norden, *In Varron. Sat. observationes*, 1891, p. 328 [Kroll].

---

[1] Hanc de Dionysio fabulam alii aliis verbis narrant, cf. Halloix, *Vita Dionysii*, apud Migne, *Patr. Gr.*, IV, p. 698 [496]. Epistolam ad Polycarpum (n° 7) Manuel spectat, cf. infra 132, 30. — Vide etiam *Catal.*, IV, p. 76, cod. Flor. 29, f. 119ᵛ.

[2] Illius archiepiscopi nomen prodit Glycas, infra, p. 136, 34. Historiam narrat Theophan. contin. p. 191, ed. Bonn. Cf. Boll, *Beiträge zur Ueberl. Gesch. der Astrol.*, p. 105, n. 4.

ἐπίπωμα εὗρεν ἐν αὐτῷ σῶμα νεκρὸν ὑπερμέγεθες καὶ γράμματα κεκολαμμένα τῇ λάρνακι τάδε διαγορεύοντα· « Χριστὸς μέλλει γεννᾶσθαι ἐκ παρθένου Μαρίας καὶ πιστεύω εἰς αὐτόν· ἐπὶ δὲ Κωνσταντίνου καὶ Εἰρήνης τῶν βασιλέων πάλιν ὄψει με, Ἥλιε ».

Ἀκούομεν δὲ καὶ τὸν Πατάρων ἐπίσκοπον, ὃς ἦν ἐπ' ἀρετῇ διαβόητος, ἐκ τῆς τοιαύτης τέχνης λέγοντα πολλὰ ἀληθείας ἐχόμενα, ὡς ἡ ἀπόφασις ὕστερον ἔδειξε, παρασημειώσασθαι καὶ τὸν Δαμασκηνὸν Ἰωάννην τὸν ἐν πατράσι σοφώτατον, πολλὰ περὶ τούτων φυσιολογήσαντά τε καὶ συγγραψάμενον[1]· καὶ τὸν μέγαν δὲ Ἀναστάσιον ἐν τοῖς κεφαλαίοις αὐτοῦ παραινιξάμενον ταῦτα ὅπου περὶ τῶν στοιχείων φυσιο[f. 5v]λογεῖ, ἃ δῆτα πάντως τῆς τῶν ἀστέρων ἀπορροίας ἐπαπολαύει· οὐκ ἄρα ἁμαρτάνει ὁ ἀναίσθητα ταῦτα εἰδὼς καὶ δοξάζων, διὰ δὲ τῆς εἰς Θεὸν ἐλπίδος τὰς τῶν ἀστέρων ἰδιότητας ἐνεργεῖν λέγων κατὰ προδήλωσιν καὶ οὐ κατὰ ποιητικὴν αἰτίαν.

Ὡς ἐν παραδείγματι γὰρ εἰπεῖν, ὥσπερ ἐν ταῖς σαρκικαῖς ὁμιλίαις καὶ ἑνώσεσιν τὸ ἐκκρινόμενον αἴτιον μὲν δοκεῖ τοῦ γενέσθαι ἄνθρωπον λογικὸν διὰ τῆς ἐννόμου συζυγίας, καθὼς ὁ Θεὸς ἐνετείλατο, ὃ καὶ ἀνέγκλητον πάντως ἐστὶν ὡς φυσικῶς ἐκτελούμενον, ἡ μέντοι τῆς συνουσίας παράχρησις παρὰ νόμους καὶ παρὰ τὴν τοῦ Θεοῦ ἐντολὴν κακίζεται ὡς ἐφάμαρτος, κἂν καὶ τότε φυσικῶς καὶ ἀνεπαισθήτως ἐνεργῇ ζῳογονίαν ὁ ἄνθρωπος, οὕτω καὶ ἐν ταῖς τῶν ἀστέρων δυνάμεσι, εἰ χρήσεταί τις ἐνδεχομένως καὶ κατὰ τὴν ἐντολὴν τοῦ Θεοῦ ὑγιαίνοντι λογισμῷ, καθώσπερ ἐπὶ τοῦ σταυροῦ τῇ ἐκλείψει καὶ ἐπὶ τῆς γεννήσεως τῷ ἀστέρι, οὐχ ἁμαρτάνων ἁλώσεται· εἰ δέ που τὸ δέον παρέλθῃ καὶ περὶ ἐμψύχων τούτων φρονήσει καὶ ποιητικῶν καὶ αἰτίων, λογικῶν τε καὶ αἰσθητῶν, κατακρίνεται· ἀνεπαισθήτως γὰρ καὶ κατὰ φυσικὴν ἰδιότητα, ἣν ὁ δημιουργὸς Θεὸς αὐτοῖς ἐνέθετο .... εἰς τὸ περιέχον καὶ τὰ ἐν αὐτῷ σώματα ἐνεργοῦσιν. εἰ δέ τις εἴπῃ· καὶ πῶς οὐχὶ καὶ ἀεὶ κατὰ τὰ αὐτὰ ἐνεργοῦσιν; ἀκούσεται ὅτι, ὥσπερ οὐ πᾶν τὸ καταβαλλόμενον ἐξ ἀνθρώπου σπέρμα τελεσφορεῖται εἰς ἄνθρωπον, ἀλλά πως διὰ ξηρότητα μήτρας εἴτε ὑγρότητα εἴτε θερμότητα εἴτε διὰ πλῆθος σπέρματος εἴτε ἐλάττωσιν, εἴτε ἄλλην αἰτίαν τινὰ τὸ ζῳογόνον ἐμποδίζεται σπέρμα, οὕτω καὶ ἐνταῦθα διά τινας ἀπροόπτους αἰτίας, τὸ δὲ μεῖζον κατὰ βουλὴν καὶ δύναμιν τοῦ Θεοῦ, οὐκ ἐνεργοῦσι τὸ

2 γενᾶσθαι A. 6 πολλὰ καὶ A. 9 Locum spectatum Anastasii Sinaïtae non inveni, cf. tamen Migne, *Patr. gr.*, 189, col. 733 s., 902 ss. et infra p. 131, 1. 10 παρανιξάμενον A. 11 φυσιολογεῖν A. 15 σαρκικαῖς V: κοιναῖς (ο et ν e corr.) A. 15 ss. Cf. infra 133, 15 ss. 17 ἐνόμου A. 27 Post ἐνέθετο spatium VII litterarum A, viginti fere litt. in V. 31 ξηρότητος codd. ὑγρότητος V. 32 θερμότητος V. 33 ἀπροόπτας V.

[1] Iohannis Damasceni excerpta in codicibus quoque astrologicis inveniuntur; cf. cod. Flor. 4, f. 46v; cod. Venet. 7, f. 15r. — De eius doctrina, cf. Glycam, infra, p. 136, 21.

κατ' οἰκείαν δύναμιν· καὶ ὥσπερ οὔτε ἡ φύσις οὔτε ἡ μήτρα οὔτε τὸ σπέρμα αἴτια ἢ ποιητικὰ νομισθήσονται, κἂν τῷ δοκεῖν ἐνεργῶσιν ὡς αἴτια διὰ τὸν λόγον τὸν ὑλικόν τε καὶ εἰδικόν, οὕτως οὐδὲ οἱ ἀστέρες ποιητικοί τε καὶ αἰσθητικοὶ νομισθήσονται ὅτι [f. 6] καὶ αὐτοὶ ἐκ προστάξεως τοῦ δημιουργοῦ τὴν χάριν ἔχουσιν· ὁ γοῦν οὕτω νοῶν καὶ εὐσεβῶς ἐκλαμβάνων<τὸν>τῆς δημιουργικῆς προνοίας νόμον καὶ ὅρον, οὐδέν τι προσκρούει Θεῷ.

Ἵνα δὲ καὶ τῶν ἑξῆς ῥηθησομένων ὡς ὁμοίων τοῖς προειρημένοις ὄντων ἐχώμεθα, φασὶν ὅτι καὶ ὁ <Ἀ>βραὰμ ἐκ τῶν ποιημάτων τὸν ποιητὴν κατέλαβε καὶ περὶ τοῦ Σὴθ[1] υἱοῦ Ἀδὰμ ὅτι πρῶτον παρ' ἀγγέλου ταῦτα προεπαιδεύθη, ὡς λέγεται. ἔδει γὰρ τὴν ἐκ τοσούτου διαστήματος ἀφ' ἡμῶν ἀπέχουσαν γνῶσιν δι' ἀγγέλου γνωστὴν καταστῆναι τῇ περιγείῳ ταύτῃ φύσει τῇ ἀνθρωπίνῃ.

Τί δέ; μετὰ τούτους ὁ τῶν βασιλέων πατὴρ καὶ ἀπόστολος οὐ τῇ τοιαύτῃ ἐχρήσατο τέχνῃ θεμελιῶσαι θέλων τὴν καθ' ἡμᾶς ταύτην νέαν Ῥώμην, φροντίζων περὶ αὐτῆς ὥστε ἀνάλωτον μεῖναι τοῖς ἐναντίοις μέχρι παντὸς καὶ τῇ πίστει πληθυνομένην, σύμβολον τούτων παρατηρήσας τὴν τῶν ἀστέρων βορειοτάτην θέσιν τε καὶ κίνησιν· τῷ γὰρ σοφωτάτῳ ἐκείνῳ Οὐάλεντι[2] θεωρῷ τῆς τοιαύτης χρησάμενος

1 ἡ μήτρα οὔτε omis. A. 2 αἰτιατὰ (sic) codd., cf. 121, 6. τὸ δοκεῖν codd.: corr. Kroll. 6 τὸν suppl. Kroll. 8 ὁμοίως codd. 9 ὄντως ἐχόμεθα codd. ὅτι καὶ ὁ Ἀβραὰμ evanid. in V: βραὰμ (sic) A. Cf. Genes. XV, 5-6; Philon. Alex., *De nobil.*, 5 (II, 442 M). 15 θέλων V: μέλλων A. 17 πληθυνομένη codd. 19 τῆς ante τοιαύτης omis. A.

[1] Seth inventor astrologiae apud Byzantinos ferebatur, cf. Malal., *Chronogr.*, p. 5 s., ed. Bonn.; Georg. Monach. I, p. 10, ed. De Boor; Steph. phil. in *Catal.*, II. 182, v. 26. Vide etiam Bouché-Leclercq, *Astrologie grecque*, p. 578, n. 1, 4. — Fabellam de angelo narrat excerptum in cod. Vindobon. 1, f. 175, servatum (*Catal.*, VI, p. 3); cf. Syncell., *Chronogr.*, p. 16, ed. Bonn. et infra Glycam p. 140, not. 1.

[2] De Vettio Valente, plura scriptores Byzantini commenti sunt. Eum urbi a Constantino condendae genituram opportunam quaesivisse varie narrant Zonaras XIII, 3 (III, p. 180, Dindorf), Cedrenus I, p. 497, Bonn.; Glykas, p. 463. Sed cum Valentem sub Antoninis floruisse constet (cf. Kroll, *Catal.*, II, p. 86), eum ortui Constantinopolis praefuisse aperte mendacium est, quod non ante decimum saeculum confictum esse credam. Inveni et in codice Vaticano 1065, f. 151, κρίσιν Οὐάλεντος διὰ τὸν Μουχοῦμετ, ubi similiter astrologum graecum cum rege Persarum colloquentem inducunt. — Attamen comperimus Constantinum mathematicos quosdam de Romae novae natalibus consuluisse (Preger, *Hermes*, XXXVI, 339 s.), quod tunc temporis vel ad monumenta extruenda fieri solebat (cf. Maas, *Analecta sacra*, Marpurgi. 1901, p. 10) et semper de urbibus praecipue regiis valuit. Seleuco Seleuciam condituro ad fundamenta moenium iacienda magi horam faustam vel potius infaustam indicaverunt (App. *Syriac.*, 57); multo post in eadem regione Chalifa El-Mansur celeberrimis aetatis suae astrologis adiutus Bagdadam aedificavit (Suter, *Mathem. und Astrol. der Araber*, p. 208, 228) et tempore

σκέψεως τέσσαρες καὶ δέκατον χρόνον ἀνέμεινεν εἰς παρατήρησιν τῶν πρὸς τὸν τοιοῦτον σκοπὸν αὐτῷ συντεινόντων· εἴπερ δ' ἴσως κατὰ καιροὺς ἀπό τε σεισμῶν ἢ πυρὸς συμβαίνοι αὐτῇ περιστατικά, εἴτε μὴν δυστυχοίη ἐν τοῖς λογιωτέροις τῶν οἰκητόρων αὐτῆς, καὶ τοῦτο τῆς τοῦ τότε καιροῦ συμβολογραφίας τυγχάνει ὑπόδειγμα. καὶ προεῖπε τοῦτο ὁ μαθηματικός, οὐ γὰρ ἠδύνατο τὰ πάντα μείζω τε καὶ ἐλάχιστα συμπεριλαβεῖν καὶ συμπερᾶναι πρὸς τὸ αὐτῷ βουλητόν. εἴπερ οὖν ταῦτα προεῖπεν ὁ μαθηματικός, σὺ δὲ ὁρᾷς ἐν ἔργοις ταῦτα γιγνόμενα, οὐκ ἀποδέξῃ τὸν μαθηματικὸν καὶ ὑπερεκθειάσῃ τὸ μάθημα; καὶ μᾶλλον ὅτι ἐν τῷ δευτέρῳ τόπῳ τοῦ Ζῳδιακοῦ ὁ τοῦ Κρόνου ἀστὴρ κείμενος σημειογραφήσας ἐδήλωσε τὰ τῶν πολιτῶν χρήματα πρὸς τοὺς μοναχοὺς ἀναλίσκεσθαι, ὡς μοναχὸς καὶ αὐτὸς τυγχάνων, καθὼς καὶ μέχρι τοῦ νῦν τοῦτο γινόμενον βλέπομεν. ἢ μᾶλλον ὡς ἀπαγορευόμενον κακίσεις τοῦτο καὶ ἀπορρίψεις; οὐδαμῶς. εἰ γὰρ αἱρετικὸν ᾔδει τὸ μάθημα ἐκεῖνος ὁ φιλόχριστος βασιλεὺς ὁ ἐν ἀποστόλοις ἀπόστολος καὶ ζηλωτὴς τῆς εὐσεβείας καὶ οἱ μετ' ἐκεῖνον εὐσεβέστατοι βασιλεῖς καὶ ἀρχιερεῖς, — ὡς σὺ τοῦτο ἐκάλεσας καὶ τοὺς χρωμένους αὐτῷ αἱρετικοὺς κατωνόμασας [f. 6ᵛ] ἐναντιογνωμονῶν τῶν πατέρων τοῖς ῥήμασιν, ὧν εἴ τις τοιοῦτόν τινα κατὰ τῶν μετιόντων τὸ τοιοῦτον μάθημα Χριστιανῶν ἀπεφήνατο λόγον, καὶ δι' ἄλλας τινὰς αἰτίας καὶ οἰκονομίας ὑψηλοτέρας σιγὴν κατεψηφίσαντο τοῦ μαθήματος — οὐκ ἂν τούτῳ ἐν καιροῖς ἐχρήσαντο. ἡμεῖς γὰρ τῶν περὶ τοῦτο φωνῶν σεβομένων τῶν ἁγίων ἀνδρῶν ταῦτα φρονοῦμεν καὶ λέγομεν· ἀλλὰ σεβόμεθα καὶ προσκυνοῦμεν καὶ οὐκ ἀντιλέγομεν· πρὸς δὲ τὴν σὴν τραχεῖαν καὶ ἀπαίδευτον λέξιν ἀντιφερόμεθα τὴν μὴ διακρινήσασαν καὶ σαφῶς εἰποῦσαν ὁποῖόν ἐστι μέρος τῆς ἀστρολογίας κακιζόμενόν τε καὶ ἀποτρόπαιον, περὶ οὗ καὶ ἄνωθέν μοι ἐρρήθη καὶ κατωτέρω ῥηθήσεται, ἀσεβεῖς δὲ ἀποκαλέσασαν τοὺς ταύτην μετιόντας μᾶλλον δὲ πάσης ἀσεβείας μέτρον ὑπερελάσαντας, ἐν οἷς, ὥσπερ εἴπομεν, τῶν μεγάλων βασιλέων καὶ ἀρχιερέων πολλοὶ συνεισφέρονται.

Καὶ γὰρ ὁ ἐν θεολογίᾳ μέγας Γρηγόριος ἐπαινῶν τὰ ἄλλα μαθήματα τὸν μέγαν Βασίλειον καὶ ταῦτα προσέθετο « ἀστρονομίας δὲ τοσοῦ-

1 τέσσαρες καὶ δ. Cf. supra, 116, 1. 3 συμβαίνειν A : συμβαῖνεν V. 4 δυστυχίη codd., corr. 6 μαθηματικός] μαθημα superscr. A. Cf. infra 132, 10. 10 τῷ Ζωδιακῷ codd. 12 μοναχὸς est Saturnus quia solitarios facit (μονοτρόπους : Valens, *Catal.*, II, 89, 18). 17 αὐτὸ codd. 18 ἐναντιουγνωμονῶν A. Cf. infra 133, 24. 19 ὧν εἴ τις A : ὡς ἄν τις, in marg. γὰρ οὔτις V. 22 σεβομένων passive? 24 προσκυνούμεθα A. 27 Cf. supra, p. 112, 6 s.; infra, p. 120, 31 ss. 30 συστρέφονται A : propter metricam clausulam συνεισφ. praefert Boll. 32 Cf. Gregor. *in laud. Basil.*, Migne, *Patr. gr.*, t. XXVI, col. 528 et infra 132, 26.

Varronis Tarrutium " in primis Chaldaeicis rationibus eruditum „ themate Romae constiuto, illud fata urbis aeternae praenuntiasse post eventum invenit (Ciceron, *De Divin.*, II, p. 47, § 98; Bouché-Leclercq, *Astrol. gr.*, p. 368 s.).

τον μετασχὼν ὥστε μὴ κλονεῖσθαι τοῖς περὶ ταῦτα κομψοῖς, τὸ λοιπὸν παρῆκεν ὡς ἄχρηστον»· καὶ οὐκ εἶπεν ὡς αἱρετικὸν ἢ δαιμονιῶδες ἢ ἀντίθεον, ἀλλ' ὡς ἄχρηστον, σημαίνων τοῦτο τὸ μέρος τῆς ἀστρολογίας ὅπερ ἄχρηστον τοῖς πνευματικῶς ζῶσίν ἐστιν, ὡς καὶ ἡ λοιπὴ περιττὴ φιλοσοφία ἤτοι δίαιτα, τὰ ὅπλα, τὰ φάρμακα, ἡ ἰατρεία καὶ αἱ λεγόμεναι ἡδοναί, οὐ μὴν δὲ τοῖς περὶ τὸν βίον καὶ τὰ κοσμικὰ ἐνησχολημένοις πράγματα. ὅτι δὲ οὕτως ἔχει, δῆλον καὶ ἐξ ὧν παράγεις γραφικῶν τῆς Ἑξαημέρου ῥήσεων τοῦ αὐτοῦ διδασκάλου, ὅτι τὴν τέχνην ἀπέκαλεσε δύσληπτον διὰ τὴν τῶν ὡρῶν λεπτοτάτην διαίρεσιν καὶ τὴν ἐντεῦθεν τῶν ἀποτελεσμάτων ἀποτυχίαν· καὶ σφαλερὰν διὰ τοῦτο, οὐ μὴν δὲ αἱρετικήν ἢ αἱρετικοὺς ἀπεκάλεσε τοὺς χρωμένους αὐτῇ. ἔνθα μὲν γὰρ ὁ ἅγιος θεωρεῖ τὸ τῆς τέχνης ἐγγὺς δυσκατάληπτον ὡς περιττόν, τοῦτο καὶ ἀποφαίνεται, ἔνθα δὲ θεωρεῖ τὴν τῶν ἀξιολογωτέρων χρῆσιν δι' ἐπικλήσεών τε καὶ ἐπωδῶν, ἐφ' ὧν ἐμψύχους εἶναι τοὺς ἀστέρας οἱ ἀμαθεῖς λογίζονται, ἀποτρέπει τοῦτο ὡς ἀσεβές, καί ἐστι τοῦτο τοιοῦτον· εἰκότως γὰρ ὁ ἅγιος σφαλερὰν ταύ[f. 7]την ἀποκαλεῖ ἐν πολλοῖς, πλὴν οὐ διὰ τὰ ἐκείνῳ ἀριθμούμενα μόνον ἀλλὰ διὰ τὸ πολλάκις ἐθέλειν θαυματουργεῖν τὸν Θεόν.

Ἰδὲ γὰρ ὅτι καὶ ὁ προειπὼν Ἰουδαῖος τῷ μεγάλῳ ἐκείνῳ ἀρχιερεῖ τὸν αὐτοῦ θάνατον ὡς ἀπὸ σημείων ἀριδήλων τοῦτο συλλογισάμενος, οὐ διὰ τὴν τέχνην ἐσφάλη ἀλλὰ διὰ τὸ τὸν Θεὸν ἐθέλειν θαυματουργῆσαι διὰ τῆς τοῦ ἁγίου εὐχῆς τὴν τοῦ ἀπίστου σωτηρίαν καὶ παντὸς τοῦ οἴκου αὐτοῦ. καὶ γὰρ ἐπιμείνας τῇ σαρκὶ ὁ ἅγιος, καθ' ὃν ὁ Ἑβραῖος ὡρίσατο χρόνον, τὸν θάνατον, καὶ πανοικὶ τὸν Ἑβραῖον βαπτίσας, μετὰ τρεῖς ὥρας τὸ πνεῦμα τῷ κυρίῳ παρέδωκε προσειπὼν τῷ Ἑβραίῳ ὅτι «οὐ μὲν κατὰ τὴν τέχνην σου κακῶς εἴρηκας· τὴν γὰρ τότε ὥραν θανεῖν με συνέβαινεν, ἀλλ' ὁ Θεὸς διὰ τὴν σὴν σωτηρίαν καὶ τρεῖς ὥρας ταύτας μοι ἐχαρίσατο, σὲ θέλων πληροφορῆσαι, ὅτι αὐτός ἐστι θανάτου καὶ ζωῆς κύριος»· ἰδὲ οὖν ὅπως καὶ ὁ ἅγιος τῇ ἀληθείᾳ τῶν ἀπὸ τῆς τοιαύτης τέχνης σημειογραφημάτων ἐμαρτύρησε.

Τούτοις σε προσεσχηκότα οὐκ ἔδει τὰ μὴ ὄντα ὡς ὄντα φρονεῖν καὶ κατονομάζειν αἱρετικοὺς οἰκείᾳ βουλῇ χαριζόμενος τοὺς μὴ ὄντας αἱρετικούς, οἵπερ παρὰ τῶν ἁγίων οὐκ ὠνομάσθησαν, ἀλλ' ἀκριβῶς σκοποῦντα τὸ γράμμα καὶ τὸν σκοπὸν αὐτοῦ. τὸ γὰρ σιγὴν τούτων καταψηφίσασθαι τοὺς ἁγίους καὶ τὸν πολιτικὸν νόμον αὐτὸν οἰκονομίας ἦν διδασκαλικῶς ἐχούσης. καὶ γὰρ φειδόμενοι τοῦ τῶν Χριστια-

3 μέρος τ. ἀστρολ. A : ἀστρολογικὸν V. 5 φιλοσοφία A : σοφία V. ἦτε codd. 7 ἔχει] χει evanid. V. 8 Cf. Basil., *Hexaem.*, Migne, *Patr. gr.*, XXIX, 128 s. Cf. infra 133, 3. ῥήσεως codd., corr. Bidez. τέχνην omis. V. 10 ἀποτυχίαν omis. V. σφαλερὸν V. 11 αἱρετικὴν ἢ αἱρετικὴν ἢ αἱρετικοὺς A. 12-13 περιττὸν V : περὶ τὸν A. 17 ἐκείνῳ] ἐν ἐκείνῃ (scil. ἀστρολογίᾳ) coni. Kroll. 19 De Iudaeo, cf. p. 125, 29 ss. 26 καλῶς codd., corr. 29 καὶ ὁ V : ὁ καὶ A. 31 προσεσχηκότα] προσες superscr. A. 34 τὸ γὰρ corr. Parmentier : τὰ γὰρ codd. 35 τοῦ ἁγίου A. αὐτῶν codd. : corr. Kroll.

νῶν οἱ ἅγιοι τάγματος, μή πως πρόσκομμα τι πάθοιεν πρὸς τὴν εἰς Χριστὸν πίστιν ἀκούοντες ἐκ γενεθλιαλογιῶν καὶ ἀποτελεσματικῶν ἄλλων προρρήσεις περὶ τῶν ἐσομένων τῷ γεννωμένῳ καὶ προσημειώσεις σεισμῶν καὶ ἐκλείψεων, θανάτους τε ἀνθρώπων ἐξ αἰτίας ἀέρων ἢ πολέμων ἢ ναυαγιῶν ἢ ἑτέρων συμπτωμάτων, καὶ θεοὺς τὰ στοιχεῖα νομίσωσι καὶ ποιητικὰ ταῦτα <καὶ> αἴτια καὶ αἰσθητικά — ἐν γὰρ τῷ πλήθει εὐεξαπάτηλοί εἰσιν οἱ πλείους καὶ παχύτεροι πρὸς τὴν τῶν ὄντων λεπτὴν κατανόησιν — καί πως καὶ ἐν αὐτοῖς κεῖσθαι τὴν πᾶσαν δύναμιν τῶν ἐνταῦθα διοικήσεων δόξωσι καὶ περαιτέρω τούτων μηδεμίαν ἀξιῶσιν εἶναι πρόνοιαν κἀντεῦθεν ἀθεΐαν ἢ πολυθεΐαν φρονήσωσιν καὶ κενὸν εὑρεθῇ τὸ τοῦ Χριστοῦ εὐαγγέλιον καὶ τῶν ἀποστόλων ἡ σπουδὴ καὶ τὸ κήρυγμα, διὰ τοῦτο τῶν τοιούτων σιγὴν νενομοτεθήκασιν· ὥστε καὶ τὸ κατὰ Βαβυλῶνα ῥηθέν· « ποῦ εἰσιν οἱ ἀστρολόγοι σου; στήτωσαν καὶ σωσάτωσάν σε » κατὰ τῶν ὡς θεοὺς φρονούντων τὰ στοιχεῖα εἰρωνικῶς εἴρηται τῷ προφήτῃ, τῶν ἐπ' αὐτοῖς ἠλπικότων καὶ μὴ ἐπὶ τῷ τούτων δημιουργῷ μηδέ, ὡς ἡμεῖς, δοξαζόντων εἶναι τὴν ὄντως ὑπερκαθημένην [f. 7v] τῶν ἄστρων τοῦ Θεοῦ δύναμιν τὴν δυναμένην κωλῦσαι τὰ σημαινόμενά τε καὶ ἐπερχόμενα, μαρτυροῦντι προσεῖναί τινα καὶ αὐτοῖς δύναμιν ὁποίαν τὴν διὰ τῆς τῶν ὅπλων χρήσεως, τῆς στρατιᾶς, τῶν ἵππων, τῶν μηχανῶν, τῆς βουλῆς τῆς στρατιωτικῆς, τῆς φρονήσεως· οὐκ ἂν γὰρ τῷ ἀνυποστάτῳ προσεμαρτύρει Θεὸς διὰ τῆς τοῦ ὀνόματος κλήσεως, ἀλλὰ διὰ τοῦ ὀνόματος τὸ ἐνυπόστατον ταύτης παραδεικνὺς τὴν μείζω τούτων καὶ ἐπιφανεστέραν, ἐφ' ᾗ καὶ ἤλπιζον, ὑπεσημήνατο δύναμιν· καίτοι πᾶσι τοῖς προειρημένοις πρόσεστι δύναμις καθ' ἑαυτήν, σαθρὰ δὲ δίχα Θεοῦ, μετὰ δὲ τῆς τοῦ Θεοῦ βοηθείας ἐστὶ πολλή. ὥσπερ οὖν τὰ εἰρημένα οὐκ εἰσὶ πάντη καθ' ἑαυτὰ ἀνενέργητα, οὕτως οὐδὲ οἱ ἀστέρες ἢ οἱ περὶ αὐτοὺς ἀσχολούμενοι ἄχρηστοι κατενοήθησαν· τοῖς μέντοι Βαβυλωνίοις εἰκότως νέμεσιν ἐπήγαγεν ὁ Θεὸς καὶ τὴν τοιαύτην ἀπιστίαν τροπικῶς προσωνείδισεν ὡς κατ' αὐτοῦ τοῦ Θεοῦ καὶ τῆς αὐτοῦ βουλῆς καὶ τοῦ θελήματος αὐτοῦ τῇ ἐξ αὐτῶν χρησαμένοις γνώσει, καὶ δέον ὂν <τὸ> διὰ τῆς τῶν τοιούτων ἐπισκέψεως θεωρούμενον αἰσθητοῖς ὀφθαλμοῖς νοητῶς κατιδεῖν, ἀμβλυωποῦσι καὶ κεναυχοῦσι καὶ πρὸς γῆν νενευκόσι καὶ ἀνανεῦσαι μὴ δυναμένοις, ὥσπερ ἡμεῖς οἱ τὸν Θεὸν ἐγνωκότες κύριον οὐρανοῦ καὶ τῶν ἐν αὐτῷ, πτωχίζοντα καὶ πλουτίζοντα, θανατοῦντα καὶ ζῳογονοῦντα, βασιλεῦσι καὶ δυνάσταις καὶ πτωχοῖς διαιτῶντα καὶ πάντα μεταποιοῦντα ὁπόταν βούληται καὶ ὡς βούλεται. οἷς ἀνὰ μέρος, τοῖς

1 παθεῖν A. 3 ἄλλων omis. V. πρόρρησις A. 4 θανάτου coni. Boll. Ante ἀνθρώπων] ἐξ expunct. A. ἐξ superscr. A. 6 καὶ suppl. 8 καὶ ante ἐν omis. A. 10 ἔξωσιν codd.: ἀξιῶσιν corr. ἢ V : καὶ A. 11 Post ἡ in A διδαχὴ expunct. 13-14 Isaias 47, 13. 13 στήσωσαν A. 18 μαρτυροῦντι, sc. τῷ προφήτῃ. 19 ὅλων V. 20 μελάνων V. 22 τὸ δ' ἐνυπ. (δ' superscr.) A. 25 σαθρὰ evanid. in V. 26 ἐστὶ πολλή evanid. in V. 31 τὸ suppl. Parmentier. 36 διαιτῶντα omis. V.

θεοποιοῦσι δηλαδὴ τὴν κτίσιν, καὶ ἡμῖν τοῖς ὀρθῶς φρονοῦσιν ἡ Γραφὴ διαιτῶσα, « οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι κυρίου Θεοῦ ἡμῶν ἐπικαλεσόμεθα ». κατὰ γὰρ τὸ εἰρημένον « ψευδὴς ἵππος εἰς σωτηρίαν· καὶ οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν· καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. »

Καὶ μάρτυς ὁ τοῦ Ἰεσσαὶ τὸν παλαμναῖον Γολιὰθ σφενδονήσας καὶ ἀποκτείνας δυνάμει Θεοῦ, ὃ πάντως οὐδεὶς ἂν τῶν νῦν κατὰ τὸν τότε τρόπον ποιῆσαι τολμήσειε. πῶς γὰρ ἀντιστήσεταί τις διὰ λίθων τριῶν τῷ καθωπλισμένῳ τῇ παντευχίᾳ, εἰ μὴ διὰ τῆς τοῦ Θεοῦ ἰσχύος; ἢ πότε καὶ πίθηξ καταπαλαίσαι ἂν γίγαντα; ὁ γὰρ τοῖς ὅπλοις τοῖς σωματικοῖς καὶ τῇ δυνάμει ὡς ὀργάνοις τισὶ χρώμενος πρὸς σωτηρίαν αὐτοῦ, ἀφορῶν δὲ πρὸς Θεὸν καὶ ἐλπίζων ἐπὶ τὸ ἔλεος αὐτοῦ, καλῶς καὶ ἀσφαλῶς τοῖς ὅπλοις κέχρηται, ὡς ὀρθῶς φρονῶν. ὁ δ' ἐπ' αὐτοῖς μόνοις τὴν ἑαυτοῦ σωτηρίαν πιστεύων, τὸ πᾶν ἐσφάλη καὶ οὐδὲ μικρὸν ὑπὸ τῶν τοιούτων ὠφεληθήσεται. ὅ τε γὰρ δρομικώτατος ἵππος ἐν οὐδενὶ σφαλλόμενος πίπτει, ἢ καὶ ἄλλως τοῖς ποσὶν αὐτοῦ συμπτώματος γεγονότος ἄχρηστος ἐν πολέμῳ εὑρίσκεται, καὶ τὰ ὅπλα [f. 8] καλῶς κατωχυρωμένα διὰ μικρᾶς βολίδος βαλλόμενα νεκρὸν πολλάκις δεικνύουσι τὸν τὸ πᾶν τῆς σωτηρίας θέμενον ἐν αὐτοῖς καὶ δι' αὐτῶν σωθῆναι νομίσαντα. τούτῳ δῆτα τῷ λόγῳ καὶ ὁ μέγας ἀπόστολος Παῦλος πτωχὰ τὰ στοιχεῖα ὠνόμασεν, ὡς οἰκείας ἐστερημένα δυνάμεως, κατὰ δὲ θείαν κέλευσιν ἐνεργοῦντα καὶ αὖθις τῆς οἰκείας ἐνεργείας ἱστάμενα, ὅτε καὶ βούλοιτο ὁ τούτων δημιουργός, καθάπερ ἐν τῇ Χαλδαϊκῇ καμίνῳ τὸ πῦρ· καὶ ἡ τοῦ ὕδατος δέ ποτε φύσις καυστικῶς ἐπὶ τῶν σχιδάκων ἐνεργουμένη ὡρᾶτο διὰ τῆς τριτῆς τοῦ ὕδατος ἐπιχύσεως καὶ τῶν τοῦ Θεσβίτου χειρῶν. καὶ ἵν' ἐξ ὧν ὁρῶμεν τὸν λόγον πιστεύσωμεν, κακοῦ τινος προσδοκωμένου πολλάκις ὑπὸ τῶν μαθηματικῶν, περικοπὴ γίνεται διὰ προσευχῶν καὶ λοιπῶν ἀγαθουργιῶν, καὶ τοῦτο ὡς θαῦμα τῷ δημιουργῷ ἐπιγραφόμεθα καὶ χάριν ὁμολογοῦμεν τῷ οὕτως οἰκονομήσαντι· καὶ πάλιν, ἀγαθῆς προκειμένης ἐλπίδος εἰς ἔργον τὸ ἀγαθὸν προχωρεῖν, εὐδοκίᾳ Θεοῦ ὑπὲρ τὴν προσδοκίαν πολλάκις ἡ ἐξ ὁλοκλήρου ὕφεσις γίνεται, « ἵνα ὁ Θεὸς ᾖ τὰ πάντα ἐν πᾶσι », καθὼς ὁ Παῦλός φησιν, ἵνα τὸ πᾶν τοῦ Θεοῦ ᾖ καὶ μὴ ἐξ ἡμῶν.

Ὥσπερ γὰρ ἐπὶ τῶν ἀπαγορευθέντων ὑπὸ τῶν ἰατρῶν καὶ μηδεμίαν ἐπικουρίαν ἐκ τῆς ἰατρικῆς προσδοκώντων ἀλλὰ θάνατον προφανῶς ἀπεκδεχομένων, ἐπειδὰν ἀνάκλησιν ἴδωμεν δι' εὐποιΐας καὶ μετανοίας,

2-3 Psalm. 19, 8. 3-5 Psalm. 32, 16-17. 6 ὁ τοῦ Ἰεσσαί, sc. David, cf. I Reg. 16. 7 πάντως e corr. A. 10 καταπαλέσαι A. 16 σφαλόμενος A. 17 γεγονότως A. 19 τὸν omis. A. 21 Ep. Galat., 4, 9. 22-23 ἐνεργείαν V. 23 ἐξιστάμενα coni. Kroll. 23-24 ἡ τῶν Χαλδαίων κάμινος Daniel., III, 20-24. 24-26 Cf. III, Reg. 18, 31 ss. 26 ὃν V. 32 ἡ] ᾗ codd., corr. Parmentier. 33-34 I Corinth. 15, 28. 35 ἐπὶ corr. Bidez : ὑπὸ codd. 37 ἀνάκλισιν A fors. recte.

τῆς δυνάμεως λογιζόμεθα τοῦ Θεοῦ, καὶ οὐ κακίζομεν τὴν ἰατρικὴν σφαλλομένην, ὁπότε Θεὸς θέλει θαυματουργεῖν, καὶ οὐδὲ σφάλλεσθαι ταύτην εἴποιμεν <ἄν> ποτε, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ τοιούτου μαθήματος, ἐπεὶ καὶ ἰατρικὴ καὶ μαθηματικὴ τέχνη στοχασμός ἐστιν ἔντεχνος τῆς τῶν προσδοκωμένων ἐναντίων περικοπῆς· τῶν ἀγαθῶν γὰρ τὴν ὑπερβολὴν καὶ παραύξησιν προσδοκωμένην καὶ μὴ παραιτουμένην κατὰ τὴν τοῦ μαθηματικοῦ πρόρρησιν, τῆς δυνάμεως λέγομεν τοῦ Θεοῦ. εἰ μὴ γὰρ οὕτως ἐγίνετο, οὐκ ἂν θαυμαστὸν ἦν τὸ γινόμενον ἢ καὶ θαῦμα ἐνομίζετο, ἀλλ' ὡς ἁπλῶς τῇ φύσει ἑπόμενον καὶ γενέσθαι οὕτως ὀφεῖλον. καὶ τὸ μεταξὺ ὂν δυνάμεως Θεοῦ καὶ φύσεως οὐρανίου οὐκ ἂν ἀκριβῶς διεκρίνομεν, οὐδὲ τὸν Θεὸν ἐθαυμάζομεν ὡς ἐν ἔργοις θαυμαζόμενον· ἀρτίως δέ, ὡς ἀναίσθητα ταῦτα πεπληροφορημένοι καὶ ἄψυχα, λέγομεν τὸν οὐρανὸν θρόνον τυγχάνειν Θεοῦ καὶ χάριτας ἔχειν τινὰς ὡσανεὶ προμηνύματα τῆς ὑπερβαλλούσης δυνάμεως Θεοῦ· ἐξ ὧν ἀναλόγως τὸ ὑπερβολικὸν τῆς δυνάμεως γινώσκεται τοῦ καθημένου ἐπάνω αὐτῶν. δεῖ οὖν μᾶλλον ἐρευνητικώτερον τὰ κατ' οὐρανὸν πολυπραγμονεῖν [f. 8v] τοὺς εὖ καὶ ὀρθῶς δυναμένους φρονεῖν, ἵνα ἐκ τῶν ποιημάτων ἡ τοῦ Θεοῦ μεγαλειότης ἐπιγινώσκηται κατὰ τὸ « οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ » οὐ λόγῳ χρώμενοι, οὐ προσλαλιᾷ, ἀλλὰ σιωπηρῶς τοῖς ὠσὶν ἐνηχοῦντες τῶν λογισμῶν καὶ δι' ἑαυτῶν τὴν θείαν δύναμιν καὶ πρόνοιαν ἀνακράζοντες, ὥσπερ διὰ τῶν ἀποτελεσμάτων τῶν φυσικῶν ἐνεργειῶν τῶν ἀστρῴων σωμάτων, κἀντεῦθεν συνετίζηται πλέον εἰς Θεοῦ κατανόησιν ὁ γνωστικὸς [καὶ] θεατὴς καὶ φωτίζηται πρὸς θεογνωσίαν ἐκ τῆς ἐγκεκρυμμένης δυνάμεως ἐν τοῖς οὐρανίοις σώμασιν τούτοις βλέπων κοινωνίαν πρὸς ἄλληλα καὶ διάστασιν, καὶ κατανοῶν τὴν τοῦ Θεοῦ σοφίαν καὶ δημιουργικὴν σύνεσιν.

Εἰ γὰρ θρόνος ἀνδρὸς ἐπ' ἀρετῇ διαλάμψαντος εἴτε χιτών, εἴτε σανδάλιον ἔχουσί τινα δύναμιν καὶ ἐνέργειαν ἀνεπαίσθητον, καὶ οὐχ ἁπλῶς βλέπομεν αὐτά, οὐδὲ ἁπλῶς αὐτοῖς προσερχόμεθα, ἀλλὰ τὴν ἐν αὐτοῖς ἐνοπτριζόμεθα δύναμιν, ἀφορῶντες τοῖς τῆς καρδίας ὀφθαλμοῖς εἰς τὸν τούτοις χρησάμενον, καὶ μετ' εὐλαβείας προσψαύοντες τὴν χάριν ἐκεῖθεν λαμβάνομεν· ὡσαύτως δὲ καὶ τὸν τοῦ βασιλέως ὁρῶντες θρόνον μετ' αἰδοῦς πλησιάζομεν τὸν ἐπικαθήμενον ἀναλογιζόμενοι, κἀκ τῆς ἐκείνου δόξης καὶ τὸν θρόνον τιμητέον ἡγούμεθα, καὶ ὡς θρόνον αἰσθήσεως κατὰ τὸ εἰρημένον ἐνατενίζομεν — καί ἐστι τῇ ἀληθείᾳ τοιοῦτος· συνετίζεται γὰρ ἅπας καὶ συστέλλεται, κἂν ἄτακτος ᾖ καὶ αὐθάδης τῇ φύσει, τὸν τοῦ βασιλέως θρόνον βλέπων προκείμενον — ἆρα τὸν τοῦ Θεοῦ θρόνον νομίσωμεν ἀμοιρεῖν ἐνεργείας χάριτός τε κεκρυμμένης

2 σφάλεσθαι A. 4 Ex Steph. philos., *Catal.*, II, p. 186. 4 ss. 13 θρόνος Θεοῦ] cf. Matth. 5. 34. 18 ἐπιγινώσκεται codd. 18-19 Psalm. 18 (19), 2. 21 ἀποτελεμέτων V. 23 εἰς θεοῦ εἰς κατανόησιν A. καὶ del Bidez. 38 βλέπων omis. V.

καὶ δυνάμεως καὶ οὕτω τῆς δόξης ἐπιλησόμεθα; καὶ πῶς τὴν ἐκ τῶν εὐφρονούντων αἰτίαν οὕτω διακείμενοι ἐκφευξόμεθα; πλὴν οὐ προσκυνοῦμεν καὶ σεβόμεθα τοῦτον, ἀλλὰ μόνον ὁρῶμεν ὡς θρόνον Θεοῦ καὶ τὰς αὐτοῦ ἐνεργείας προτεκμαιρόμεθα.

Φέρε γὰρ εἴπωμεν, εἴ τις ἀριστοτέχνης ὢν κἀν πολλοῖς τὸ δοκίμιον δοὺς τῆς αὐτοῦ περὶ τὴν οἰκοδομίαν συνέσεως, περικαλλῆ τε οἶκον οἰκοδομήσας θέαμα τοῦτον ἐπαίνων ἄξιον καταστήσῃ, εἶτά τίς ποθεν μικροφυὴς ἐπελθὼν καὶ ἄγροικος τυγχάνων καὶ χαμερπὴς παρέλθῃ τοῦτον ἄνευ ἐπαίνων μὴ σώζοντος μηδὲ δυναμένου τοῦ νοὸς αὐτοῦ ἐμμέτρως κατανοεῖν καὶ τὴν ἁρμονίαν θαυμάζειν, ἢ καὶ πολλάκις μέρος μὲν ἐπαινέσει, μέρος δέ τι κακίσει, οὐχὶ τὸν τεχνίτην ὑβρίζει; ὁ δὲ τῶν ἔργων αὐτοῦ καὶ ποιημάτων καὶ κατασκευῶν κακιζομένων καὶ παρεωραμένων οὐκ ἀγανακτεῖ; ἐκ παντός. ἢ οὐχ οὕτως οἴει καὶ τὸν Θεὸν διακεῖσθαι ἐπὶ τοῖς οὕτω περικαλλέσιν ἔργοις καὶ θαυμασίοις καὶ μεγαλοπρεπέσιν αὐτοῦ τεχνουργήμασιν, ὁπότε ἀτημελήτως καὶ ὡς ἐν παρέργῳ ταῦτα, ὥσπερ εἴ τινες βάρβαροι καὶ λόγου ἄμοιροι, παρορῶμεν, καὶ πρὸς τούτοις τοὺς δυναμένους λεπτολογεῖν ἀσεβεῖς ὀνομάζομεν;

[F. 9] Χωρὶς δὲ τούτων ἁπάντων ἐπεὶ ἡ Γραφὴ λέγει « εἶδεν ὁ Θεὸς τὰ πάντα, ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν » καὶ οὐδὲν ἐναντίον τοῖς κτίσμασι τοῦ Θεοῦ καὶ ἀκόσμητον, διὰ τί δήποτε τοὺς ἀστέρας παραβλεψόμεθα τοῦ Θεοῦ ὄντας ποιήματα, ἐναντία Θεῷ φρονοῦντες ὡς τὰ ἔργα τοῦ Θεοῦ ἀκριβῶς μὴ γινώσκοντες, εἰ γὰρ ποιήματα τοῦ Θεοῦ εἰσιν, ἄρα καὶ καλά εἰσιν. ὅρα τὴν ποικιλίαν καὶ ἁρμονίαν καὶ τὴν κατὰ τάξιν τῶν ἀστέρων κίνησιν εὐτάκτως καὶ ὡς ἐν κόσμῳ τὸν οὐράνιον περιιοῦσαν κύκλον, καὶ σὺ ἀναρμόστως φρονεῖς καὶ λέγεις περὶ αὐτοῦ, καὶ παχυμερῶς ἀποφαίνῃ περὶ ὧν οὐκ οἶδας, ἐμβαθύνειν θέλων οἷς ἀκριβῶς οὐκ ἠρεύνησας, καὶ στενωτέρῳ ἀγγείῳ, τῇ ἑαυτοῦ δηλαδὴ φρενί, εὐρυχωρίαν πιστεύεις δημιουργίας Θεοῦ, καὶ περικυκλῶσαι θέλεις τὸ σύμπαν τῷ σῷ στενῷ λογισμῷ καὶ κατ' αὐτῶν ἑρμηνεῦσαι τῶν δημιουργημάτων δηλαδὴ τοῦ Θεοῦ, ὅπερ οὔ τις μέχρι τοῦ νῦν πεποίηκε, καὶ ταῦτα πείρας ἄνευ τῆς προσηκούσης ἐναντία τοῖς ἁγίοις βασιλεῦσι τῇ τε ἀληθείᾳ φανταζόμενος καὶ τὰ τίμια ὑβρίζων κτίσματα Θεοῦ καὶ ποιήματα.

Ἀλλ' εἴποις ὅτι καὶ ὁ διάβολος ἓν τῶν ποιημάτων ἐστὶ τοῦ Θεοῦ, λοιπὸν ἄρα προσέχειν τούτῳ ὀφείλομεν; ἀλλ' ὁ διάβολος προαίρεσιν ἐκτήσατο αὐτοβούλως ἐναντιουμένην τῷ ἀγαθῷ διὰ τὴν ὑπερηφανίαν αὐτοῦ, καὶ οὗτος ἀντίθεος ἐστί τε καὶ λέγεται, ταῦτα δὲ ἄψυχα ποιήματα

5 εἴπομεν codd., corr. Bidez. κἀν scripsi : κἂν cod. 9 ἐπαινῶν A. σώζοντος non capio. An συνιέντος? 12 αὐτοῦ codd. καὶ ante κατασκ omis. A. 15 εὐτημελήτως V. 17 [τούτοις] τοὺς [δυναμέν]ους [λεπτολογεῖν ἀ]σεβεῖς litterae uncis inclusae evanidae sunt A. 19-20 Genes. I, 31. 24 ὁρᾷς V. 25 εὐκόσμῳ V. 36 προσέχειν ἄρα A.

καὶ ἀναίσθητα καὶ ἀπρονόητα καὶ διὰ τοῦτο οὐκ ἀντίθεα, ἀλλὰ <ἐπὶ> τῆς οἰκείας μένοντα τάξεως, ἐφ' ἧς ἐτάχθησαν παρὰ τοῦ δημιουργοῦ, καὶ ἐνεργείας ἔχουσι φυσικὰς ἀναισθήτως πλὴν οὐ κατὰ προαίρεσιν. τὰ γὰρ κατὰ προαίρεσιν ἐνεργοῦντα ποτὲ μὲν ἐνεργοῦσι τόδε τι, ἄλλοτε δ' οὔ. ταῦτα δὲ καὶ ὡσαύτως ἐνεργοῦσι, καθὼς ἐτάχθησαν ὑπὸ τοῦ δημιουργοῦ, εἰ μή πως διὰ θαυματουργίαν Θεοῦ περικοπὴ τῆς ἐνεργείας αὐτῶν γένηται, ὡς πολλάκις εἴρηται· καὶ εἴπερ ἦν αἴσθησις ἐν αὐτοῖς, οὐκ ἂν οὐδὲ ὁ μαθηματικὸς καταλαβεῖν ἠδύνατο τὰ ὑπ' αὐτῶν σημαινόμενα καὶ ἐν βουλῇ κρυπτόντων καὶ ἐν μυστηρίῳ. F. C.

<Μιχαὴλ τοῦ Γλυκᾶ>

Ἀνταπολογητικὸν ἐκ μέρους πρὸς τὴν ἐγχειρισθεῖσαν αὐτῷ γραφὴν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ, τὴν ἀπολυθεῖσαν πρός τινα μοναχὸν ἐπιμεμψάμενον οὐ μικρῶς αὐτῷ διά γε τὸ τῆς ἀστρολογίας μάθημα καὶ φιλονεικοῦσαν τὸ τοιοῦτον συστήσασθαι μάθημα φυσικαῖς καὶ γραφικαῖς ἀποδείξεσιν.

Τολμῶν ὑπομιμνήσκω· τὸ προγεγονὸς γράμμα τῆς βασιλείας σου καὶ εἰς ἐμὰς ἤδη χεῖρας ἐλήλυθεν, καὶ ἐν πρώτοις μὲν ἀναγνοὺς καὶ περιεπτυξάμην αὐτὸ καὶ θερμῶς κατεφίλησα. τίνος ἕνεκεν; ὅτι πραείᾳ τῷ ὄντι καὶ ἠρεμαίᾳ φωνῇ καὶ κατὰ μίμησιν αὐτοῦ τοῦ εἰπόντος Χριστοῦ « μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ » πρὸς αὐτὸν ἐκεῖνον ἐποιήσατο τὴν ἀπόκρισιν, τὸν ἀπερισκέπτως οὕτω τοῦ θεοστεφοῦς καταβοώμενον κράτους σου· μετὰ δὲ ταῦτα τὸ τοιοῦτον γράμμα τεθαύμακα κατά γε τὸ προσὸν αὐτῷ τῶν λέξεων στρυφνόν τε καὶ εὔρυθμον καὶ τὸ τῶν νοημάτων βαθὺ καὶ πυκνόν· οἷς δὴ νοήμασι, καὶ οὐκ οἶδ' ὅπως, περιπεσὼν χεῖρα δοθῆναι μοι παρακαλῶ βοηθόν, κἀκεῖθεν εὐμεθόδως ἀνελκυσθῆναι πρὸ τοῦ καταπνιγῆναί με τέλεον· αὐτίκα γὰρ ἀπορίᾳ σύνειμι περὶ τοῦ Ἑβραίου ἐκείνου ὃν ὁ μέγας Βασίλειος, ἡνίκα πρὸς κύριον ἐξεδήμει, τῆς ἱερᾶς κολυμβήθρας

1 ἐπὶ suppl. Kroll. 5 καὶ superscr. A. 10 M(onacensis), f. 217ʳ; T(aurinensis), f. 154 [usque ad p 139, n. 25]; P(arisinus), f. 95. — Manuel non ubique sed plurimis locis clausulam Meyerianam adhibuit (e. g., p. 124, 10 s.). At Glycas ipse mirum in modum quantum clausulae " θερμῶς κατεφίλησα „ studat, cf. praeter hoc opusculum e. g. epistulam Glycae ad Theodoram (Krumbacher, *Sitzb. Münch. Akadem.*, 1894, p. 452) [Boll]. 12 αὐτοῦ M. 13 Μανουὴλ τοῦ omis. T. 15-18 Κομνήνου τοῦ ἀστρονομικοῦ μαθήματος ἕνεκεν ceteris omissis P. 19 πρώτοις MT : τούτοις P. 22 Matth. 11, 29. 23 ἐποίησα τὴν P. 29 Fabula de Iudaeo ex Ps. Amphilochii vita S. Basilii in AA. SS., Iun. II, p. 955 s. = Migne, *Patr. Gr.*, t. XXIX, p. CCCXIV ss.

ἠξίωσεν· ἡ γὰρ ἐμὴ βίβλος ἰατρόν τε διαγορεύει τὸν Ἰουδαῖον, καὶ ὅτι τῷ σφυγμῷ τοῦ ἁγίου διὰ χειρὸς ἐκεῖνος προσσχὼν τὸν τοῦ μεγάλου προέγνωκε θάνατον· τὸ δὲ ἐγχειρισθέν μοι γράμμα μαθηματικὸν αὐτὸν ἀποκαλεῖ, καὶ ὅτι ταῖς τῶν ἄστρων παρασημειώσεσι τὴν τοῦ ἁγίου προέγνω μετάστασιν. καὶ οὐ τοῦτο μόνον ἀλλὰ δὴ καὶ τὸν μέγαν αὐτὸν παρεισάγει συναινοῦντα τῇ τοῦ Ἑβραίου μαθηματικῇ ἐπιστήμῃ καὶ ἀληθῆ ταύτην ἀποκαλοῦντα, πλείονα δὲ τούτων ἄλλα καὶ ποιοῦντα καὶ λέγοντα, ὧν ἡ ἐμὴ βίβλος οὐδαμοῦ μεμνημένη εὑρίσκεται. ἢ γοῦν ἐσφαλμένως ἔχει τὰ κατ' αὐτήν, καὶ πλέον οὐδέν, ἢ τὴν διαφωνίαν ταύτην θεραπευθῆναι παρακαλῶ.

Οὐδὲ γὰρ ἐντεῦθεν, ὡς οἶμαι, τὰ τῆς ἀστρολογίας ἐστήρικται, εἴ γε καὶ ἀκώλυτον τὴν τοιαύτην τέχνην παρὰ τῷ Θεῷ, ναὶ μὴν καὶ ἐνυπόστατον αὐτὴν εἶναι τὸ ἐγχειρισθέν μοι γράμμα διϊσχυρίζεται· εἰ μὴ γὰρ τοῦτο ἦν, οὐκ ἂν δι' ἀστέρος τὴν κατὰ σάρκα γέννησιν αὐτοῦ καὶ τὸ ἑκούσιον πάθος ὑπεσημήνατο. ἀλλ' οὐ μὲν οὖν καὶ τοῖς περὶ τούτου λεγομένοις εὐχερῶς ἔχομεν πείθεσθαι· πῶς γὰρ ἂν καὶ πεισθείημεν ἑτοίμως οὕτω τῷ γράμματι, εἴπερ ὁ χρυσορρήμων καὶ θεῖος Ἰωάννης ἐν τῇ τοῦ κατὰ Ματθαῖον ἕκτῃ ὁμιλίᾳ καταδρομὴν οὐ μικρὰν τῶν οὕτω καὶ φρονούντων καὶ λεγόντων ποιούμενος φαίνεται; πῶς τὴν τοιαύτην τέχνην ἐνυπόστατον εἴπωμεν, εἴπερ ἐκεῖθεν ὁρῶμεν ἀνατρεπομένην αὐτὴν ὅθεν δοκεῖ προσεπικτᾶσθαι τὴν σύστασιν;

Καὶ ἵνα τὰ λοιπὰ παρεάσω, τὰ κατὰ τοὺς μάγους αὐτοὺς καὶ τὸν Ἀρεοπαγίτην θεῖον Διονύσιον, οὓς ὑπερηγοροῦντας ἑαυτοῦ παράγει τάχα τὸ γράμμα, βοῶσι τοῦτο τρανώτατα· τῆς γὰρ παλαιᾶς αὐτῶν συνηθείας δι' ἀστέρων ἀποσπασθέντες ἐκεῖνοι, καὶ τῇ κατὰ Χριστὸν ἀληθεῖ γνώσει προσεληλυθότες, οὐκέτι τοῖς προτέροις ἐνασχολεῖσθαι ἠνέσχοντο[1]· ἃ γοῦν ἐβεβαίωσεν, ὥς φησι τὸ γράμμα, γεννηθεὶς ὁ Χριστός, πῶς ἐκεῖνοι, καὶ ταῦτα πιστοὶ γεγονότες, ὁλοσχερῶς ἀπεσείσαντο; ἄλλως τε εἰ τὰ τῆς ἀστρολογίας ἐνυπόστατα δείκνυσιν ὁ ἀστὴρ ἐκεῖνος, ὁ τὴν κατὰ σάρκα γέννησιν τοῦ Θεοῦ Λόγου παραδόξως ὑποδείξας τοῖς μάγοις, ἀνάγκη πᾶσα καὶ τὴν ὀρνιθοσκοπίαν ἐντεῦθεν ἐπιβεβαιοῦσθαι, εἴ γε διὰ περιστερᾶς ἄνωθεν καταπτάσης βαπτιζόμενον ἐν Ἰορδάνῃ τὸν Υἱὸν ὑπέδειξεν ὁ Πατήρ, καὶ αὐτὰ δὲ τὰ τῆς νεκυομαντείας οὐκ ἀπόβλητα δόξειεν ἂν εἶναι, εἴ γε καὶ πολλὰ σώματα

2 σφιγμῷ P. προσχὼν codd., corr. Kroll. 6 συνενοῦντα P : παραινοῦντα T. 7 τε τούτων MT. 11 γε] γὰρ codd., corr. 15 ὑπεσεμείνατο P. 16 πεισθείημεν] ειη e corr. P. 17 Ioh. Chrysost., Migne, *Patr. Gr.*, t. LVII, col. 61 s. 20 εἴπομεν P. 20-21 αὐτὴν ἀνατρεπομένην T. 21 δοκῶ P. 24 τάχα omis. M. τρανότατα T. 27 γοῦν MT : γὰρ P. τὸ γράμμα in marg. add. T. 28 ταῦτα φησὶ M. 29 ἐνυπόστατα] cf. Manuel supra p. 114, 13. 33 δὲ omis. T. 34 εἶναι omis. P.

[1] Haec de magis sententia apud christianos doctores saepissime repetitur, cf. Bouché-Leclercq, *Astrologie grecque*, p. 611 ss.

τῶν κεκοιμημένων κατά γε τὸ σωτήριον πάθος ἐκ νεκρῶν ἐγερθέντα Θεὸν ὡμολόγουν ἀριδήλως τὸν πάσχοντα, καὶ ταῦτα τοῦ Μωσαϊκοῦ νόμου περὶ τούτων οὑτωσὶ πρὸς Ἰσραὴλ λέγοντος « οὐκ οἰωνιεῖσθε, οὐδὲ ὀρνιθοσκοπεῖσθε », τὰ γὰρ ἔθνη οὓς κύριος ὁ Θεὸς ἐξολοθρεύσει ἀπὸ προσώπου αὐτοῦ, οὗτοι κληδόνων καὶ μαντειῶν ἀκούσονται· σὺ δὲ οὐχ οὕτως.

Μὴ οὖν ἐάσῃς ἡμᾶς καὶ ἐπὶ τούτοις διαταράττεσθαι, οὐ μικρὰ γὰρ ἀνακύπτει κἀντεῦθεν ἀντίρρησις, καὶ μᾶλλον ἐν οἷς οὕτω τὸ γράμμα διέξεισιν, ὅτι διὰ τῆς τοιᾶσδε τοῦ ἀστέρος ἐπιτολῆς, ναὶ μὴν καὶ τοῦ ζῳδίου ἐκείνου, ἐν ᾧ ὁ τοιοῦτος ἀστὴρ ἀνατέταλκεν, οἵαπερ ἀκριβεῖς τῶν τοιούτων εἰδήμονες ὄντες οἱ μάγοι, Θεὸν ἐγνώκασι τὸν αὐτὸν καὶ ἄνθρωπον, θνητὸν ὁμοῦ καὶ ἀθάνατον, βασιλέα καὶ ἐν Ἱεροσολύμοις τικτόμενον, καὶ ταῦτα τοῦ τῶν ἀστρολόγων ἐξοχωτάτου Πτολεμαίου τὸ περὶ τούτων οὕτω λεπτομερῶς ἀποφαίνεσθαι, τῶν ἐνθουσιώντων εἶναι φάσκοντος ἴδιον. εἰ γὰρ ἐξ ἀνθρωπίνης τέχνης καὶ οὐ θεόθεν ἐκεῖνοι περὶ τούτων οὑτωσὶ διεσκέψαντο, οὐκ ἂν ἐκεῖθεν ἠγέρθησαν, οὐκ ἂν ὁδὸν τοσαύτην ἐστείλαντο, οὐκ ἂν ὁδηγοῦντα τὸν ἀστέρα ἐκέκτηντο, οὐκ ἂν ἱσταμένου ἐκείνου τῆς ὁδοῦ καὶ οὗτοι κατὰ τὸν Ἰσραὴλ ἐκεῖνον ἀπείργοντο, οὐκ ἂν αὐτοῦ κινουμένου καὶ τὴν ὁδὸν οἷον ὑποδεικνύοντος τῆς ὁδοιπορίας κἀκεῖνοι ἀπήρχοντο, οὐκ ἂν ἐν Ἱεροσολύμοις παραγενόμενοι καὶ οἰκονομικῶς αὐτὸν ἀπολέσαντες, ἔνθεν κἀκεῖθεν τὰς ἀγυιὰς περιήρχοντο « ποῦ ἐστι, λέγοντες, ὁ τεχθεὶς βασιλεύς; » οὐκ ἂν αὐτὸν αὖθις ἰδόντες χαρὰν μεγάλην ἐχάρησαν. φαίνεται οὖν κἀντεῦθεν, εἰ καὶ μὴ λέγω τὰ κατὰ μέρος μοι ἐπαπορούμενα, ὅτι θεία τις ἦν δύναμις ἡ λέγειν οὕτω καὶ πράττειν αὐτοὺς ἀναγκάζουσα.

Εἰ μὴ γὰρ τοῦτο ἦν, οὐκ ἂν ὁ μέγας Βασίλειος ἐν τῷ εἰς τὴν γέννησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λόγῳ αὐτοῦ καὶ τάδε πρὸς τοῖς ἄλλοις ἔλεγε « μηδεὶς δὲ ἑλκέτω τὴν τῆς ἀστρολογίας κατασκευὴν εἰς τὴν τοῦ ἀστέρος ἀνατολήν· οἱ μὲν γὰρ τὴν γέννησιν παρεισάγοντες ἐκ τῶν ἤδη ὄντων ἀστέρων δοκοῦσι προλέγειν τὰ μέλλοντα, ἐνταῦθα δὲ οὐδὲν σχῆμα ἀστέρος τὴν βασιλικὴν γέννησιν ὑπεσήμαινεν· οὐδὲ γὰρ αὐτὸς ὁ ἀστὴρ ἦν τῶν συνήθων· » οὐ μὲν οὖν οἱ μάγοι λοιπὸν κατὰ τὴν ἑαυτῶν τέχνην ζῳδίοις ἑπόμενοι καὶ ἀστράσιν εἰς Ἱεροσόλυμα παρεγένοντο, ἀλλά, καθὰ φησὶν ὁ διαληφθεὶς οὗτος θεῖος ἀνήρ, τῇ τοῦ Βαλαὰμ ἀκολουθήσαντες προφητείᾳ τῇ οὕτω λεγούσῃ· « ἀνατελεῖ

2 τὸν omis P. 3 οἰωνεῖσθε codd. Cf. Levit, XIX, 26 (ὀρνιθοσκοπήσεσθε). 7 καὶ omis. P. 7-8 μικρὰ γὰρ ἀνακύπτει PT (seq. rasura in P): μικρὸν γὰρ ἀνακύπτειν M. 8 Cf. supra, p. 113, v. 25 ss., 115, v. 14 s. 11 τῶν τοιούτων omis. P. ὄντες τῶν τοιούτων οἱ δήμονες M. 14 Ptol., *Tetrab.*, I, 2. 17-18 οὐκ ἂν ὁδ. - ἐκέκτηντο omis. M. 19 Ἰσραὴλ] ἰηλ codd. Leg. Ἰησοῦν? 20 ἐκεῖνοι καὶ τῆς ὁδ. ἀπήρχ. P. 22 κακεῖ M. προσήρχοντο P. Matth. II, 2. 24 μὴ καὶ μὴ MP. μοι omis. MT. 27 Pseudo-Basil., *Homil. in gener.*, 5 (Migne, *Patr. Gr.*, t. XXXI, col. 1469). 30 τὴν (superscr.) γένεσιν (ε e corr.) T; γένεσιν habet Migne.

ἄστρον ἐξ Ἰακὼβ καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραήλ ». κατὰ μνήμην οὖν τῆς τοιαύτης προφητείας τὴν Ἰουδαίαν ἐπιζητοῦσι, μαθεῖν ἐθέλοντες ποῦ ἐστιν ὁ τεχθεὶς τῶν Ἰουδαίων βασιλεύς. καὶ περὶ μὲν οὖν τούτων οὕτως.

Τὸ δὲ διαληφθὲν γράμμα καὶ τῆς κατὰ τὸν Ἀβραὰμ ἱστορίας μεμνημένον φαίνεται τὴν ἀστρολογίαν ἐντεῦθεν ἐπιστηρίξαι μαχόμενον, καὶ ἐπὶ τούτοις οὐ μικρῶς ἀποροῦμεν· εἰ γὰρ ἀπὸ τῶν ποιημάτων ἐπέγνω τὸν κύριον ὁ θειότατος Ἀβραάμ, τίνος ἕνεκεν ὁ τοῦ μαθήματος ὑπεραπολογούμενος τὴν τοιαύτην ἱστορίαν ἐπὶ μέσου εἰσήνεγκε; κατὰ τί δὲ καὶ συμβαλεῖται αὐτοῦ τῷ σκοπῷ; ἦν μὲν γὰρ ὁ ἀνὴρ ἀληθῶς δόκιμος ἀστρολόγος, ὡς ἀπὸ Χαλδαίων ὁρμώμενος, ἀλλ᾽ ἐκ τῶν ποιημάτων τὸν ποιητὴν ἐπιγνοὺς τὰ τοιαῦτα διέπτυσεν ὕστερον, μετὰ τὴν θείαν δηλονότι ἐπίγνωσιν· ἀλλὰ καὶ ἐπὶ Ἀβιμέλεχ εἰς Αἴγυπτον κατελθὼν παντοίως κατῄσχυνε τοὺς τὰ τοιαῦτα δοξάζοντας· οὐκ οἶδα λοιπὸν εἴ γε καὶ συμβαλεῖται τῷ προκειμένῳ σκοπῷ ἡ κατὰ τὸν Ἀβραὰμ ἱστορία. ἐγὼ δέδοικα μὴ καὶ τὸ παροιμιῶδες ἐκεῖνο πέρας ἐνταῦθα λάβῃ τὸ λέγον « εἴχαμεν κύνα καὶ τοῖς θηρσὶ παρεῖχεν βοήθειαν ».

Οὐχ ἧττον δὲ κἀν τῇ προῤῥήσει τοῦ Ἕλληνος ἐκείνου τῇ οὕτω λεγούσῃ « Χριστὸς γεννᾶται ἐκ παρθένου Μαρίας, καὶ πιστεύω εἰς αὐτόν, ἐπὶ δὲ Κωνσταντίνου καὶ Εἰρήνης ὄψει με πάλιν, ὦ Ἥλιε », ἀμηχανίᾳ συνέχομαι· οὐδὲ γὰρ ἐντεῦθεν, ὡς οἶμαι, τὰ τοῦ μαθήματος ἐνυπόστατα φαίνεται· ὁ γὰρ ἀκριβὴς ἐπιστήμων, ἢ παρ᾽ οἵου δή τινος ἐρωτηθεὶς ἢ καὶ καθ᾽ ἑαυτὸν πολλάκις διασκεψάμενος, ὡς ἀνθρώπῳ δυνατὸν ἀποφαίνεται, παχυμερῶς οὕτω τοῦ μέλλοντος ἐντεῦθεν καταστοχαζόμενος, εἴ γε καὶ μάλιστα τὴν ἀστρολογίαν οἱ περὶ τὰ τοιαῦτα δεινοὶ μηδὲν ἕτερον ἢ στοχασμὸν ἔντεχνον εἶναι ὁρίζονται· τὸ δὲ πρὸ χιλίων ἢ καὶ πλειόνων ἐτῶν καὶ ταῦτα περὶ ἀγνώστου τοσοῦτον πράγματος οὕτω παραδόξως προειπεῖν ἐκεῖνον τὸν Ἕλληνα, ὥστε καὶ Χριστὸν παραστῆσαι τικτόμενον καὶ βασιλέων ὀνομαστὶ μνημονεῦσαι, καὶ ἀρρητοτέρων τοιούτων τινῶν, οὐ μὲν οὖν ἀνθρωπίνης τέχνης τὴν τοιαύτην πρόρρησιν εἴποι τις ἄν, εἰ μή που καὶ τὰ τῆς Σιβύλλης ἐκείνης « ὀψέ ποτέ τις ἐπὶ τὴν πολυσχιδῆ ταύτην ἐλάσειε γῆν, καὶ δίχα σφάλματος γενήσεται σάρξ », ὡσαύτως καὶ τὰ τοῦ μάντεως Βαλαάμ « ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ », κατὰ τέχνην ἀνθρωπίνην προαναγορευόμενα εἴπωμεν. ἀλλ᾽ οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· θεία γάρ

1 Num. XXIV, 17. 2-3 θέλοντες T. 3 οὖν omis. MT. 5 Cf. Manuel supra p. 118, v. 9. 16 λάβῃ τὸ λέγον P : λάβοι τὸ λέγον T : λάβοιτο λέγειν M. 17 εἴχαμεν P : εἴχομεν MT. Cf. Krumbacher, *Mittelgriech. Sprichwörter*, p. 105, 207. 18 ἧττον PT : ἥ (sic) M. 19 Cf. Manuel supra p. 116, 31. 21 καὶ μηχανίᾳ P. γὰρ omis. P. 22 ἐνυποστάτου M. ἤπερ P : εἰ παρ᾽ M. 26 Cf. supra, p. 123, 4-5. 27 ἐτῶν MT : καὶ τῶν P. 29 παραστῆναι M. 31 εἴποι τις ἂν omis. P. De hoc oraculo Sibyllae vel Platonis, cf. Bidez, *Byz. Zeitschr.*, XI, 1902, p. 391. 33 πολυσχεδῆ codd. 34 Num. XXIV, 17. 35 προσαγορευόμενα MP. εἴπομεν P. ἀλλ᾽ omis. T.

τις τὰ τοιαῦτα ἐπίπνοια, καὶ διὰ τῶν ἀθέων Ἑλλήνων μηνύουσα τὴν τοῦ Σωτῆρος ἡμῶν ἐνανθρώπησιν· οὐ τέχνῃ λοιπὸν ἀνθρωπίνῃ, θείᾳ δὲ κινούμενοι χάριτι καὶ ἅπερ οὐκ ᾔδεσαν, ἔλεγον· καὶ συνίστησι πρὸς τοῖς ἄλλοις τὰ τοῦ λόγου καὶ ὁ Καϊάφας ἐκεῖνος « συμφέρει, λέγων, ἕνα ὑπὲρ τοῦ λαοῦ ἀπολέσθαι ». καὶ ταῦτα μὲν τοῦτον ἔχει τὸν τρόπον.

Ἐν οἷς δὲ τὸ γράμμα διέξεισιν· ὅτι τὸ τοῦ σύμπαντος κόσμου προκέντημα, ἤγουν τὴν πρώτην τοῦ κόσμου καταβολὴν ἐν Καρκίνῳ πηξάμενος ὁ Θεός, ζῳδίῳ δηλαδὴ τροπικῷ καὶ ἀστάτῳ καὶ εὐμεταβλήτῳ, τὴν τῶν κοσμικῶν ἀστασίαν προετυπώσατο, καὶ τὴν αὖθις εἰς τὸ μηδὲν μεταστοιχείωσιν καὶ ἀνάλυσιν, οὐκ ἔχω τι ἀποκρίνασθαι· ὅθεν καὶ γὰρ ταῦτα συνέστη καὶ ποῦ γέγραπται καὶ τίνι τῶν ἁγίων καὶ ὅπως ἐνδέδοται, μέχρι καὶ τήμερον ὁ ἀμαθὴς οὐχ εὗρον ἐγώ· ὁ μὲν οὖν μέγας Βασίλειος τὸ τοῦ προφήτου Ἡσαΐου ῥητὸν ἐπεξηγούμενος τὸ λέγον· « ὁ οὐρανὸς θυμωθήσεται καὶ ἡ γῆ σεισθήσεται ἐκ τῶν θεμελίων αὐτῆς » ἐπάγει καὶ τάδε λέγων, ὅτι ἄγνωστα ἀνθρώπου φύσει τὰ τῆς γῆς θεμέλια, καὶ βεβαιοῖ τὸν λόγον αὐτοῦ, δι' ὧν ὁ κύριος πρὸς τὸν Ἰώβ, ἡνίκα μετ' αὐτοῦ ἐζήτει κριθῆναι, οὕτως ἔλεγε κατὰ ῥῆμα· « Ποῦ ἦς ἐν τῷ θεμελιοῦν με τὴν γῆν· ἀπάγγειλόν μοι εἰ ἐπίστασαι σύνεσιν, τίς ἔθετο τὰ μέτρα αὐτῆς, ἐπὶ τίνος δὲ οἱ κρίκοι αὐτῆς πεπήγασιν ». εἰ δὲ ταῦτα οὕτως ἔχει, εἰ τὴν ἀκαταληψίαν τῆς γῆς ὑπεμφαίνων τε ὁ κύριος καὶ οἱονεὶ αὐτῇ ἐγκαυχώμενος οὑτωσὶ πρὸς Ἰὼβ διελέγετο, τίς ἐπὶ τοσοῦτον ἑαυτῷ τεθάρρηκεν ὥστε τὸ πρῶτον ἐκεῖνο τοῦ κόσμου προκέντημα, τουτέστι τὴν πρώτην αὐτοῦ καταβολήν, εἰδέναι φιλονεικεῖν, πῶς τε καὶ πότε παρήχθη καὶ τίνος ὡροσκοποῦντος ζῳδίου; καὶ ταῦτα τῶν ἀστέρων μήπω παραχθέντων ὑπὸ τοῦ δημιουργοῦ, δι' ὧν ὁ ζῳδιακός, ὥς φασιν, ὑποτυποῦται κύκλος· ἀδύνατον οὖν τὰ κατὰ τὴν τετάρτην ἡμέραν παραχθέντα ἐν τῇ πρώτῃ ἐκείνῃ καὶ εἶναι λέγειν αὐτὰ καὶ τηνικαῦτα ὡροσκοπεῖν. εἰ δὲ ταυτα οὐκ ἔστι, οὐδὲ τὴν ὥραν λοιπὸν ἐκείνην εἰδείη τις ἂν καθ' ἣν ἡ πρώτη γέγονε τοῦ κόσμου καταβολή· εἰ γὰρ τοῦτο ἦν, οὐκ ἂν ὁ μέγας Βασίλειος ἄγνωστα φύσει ἀνθρώπου τὰ τῆς γῆς ἔλεγεν εἶναι θεμέλια· ἄλλως τε, εἰ καὶ Καρκίνος τηνικαῦτα ὡροσκοπῶν ἦν, εἰ καὶ ἀστασίαν τῶν τότε παραγομένων ἐσήμαινε καὶ τὴν αὖθις εἰς τὸ μηδὲν ἀναστοιχείωσιν καὶ ἀνάλυσιν, ἀλλ' ἐκείνου πάντως ἔπρεπε τοῦ πρώτου δηλαδὴ

3 εἴδεσαν P. 4 Ioann. XI, 50-51. 6 ss. Haec in Comneni opusculo nunc desunt. 8-9 ἀμεταβλήτῳ M. 9 κοσμικῶν MT : βιωτικῶν P. 11 καὶ γὰρ] L. γὰρ καὶ? At cf. 130, 27. 13 Is. XIII, 23; cf. Pseudo-Basil., Migne, *Patr. Gr.*, t. XXX, p. 593 14 συσθήσεται P. 15 φύσει ἀνθρώπου P. 16 δι' ὃν P. 18 ss. Iob XXVIII, 4-6. 19 κρίκιοι M. 20 καταληψίαν P. 21 ss. In margine cod. M legitur manu prima εὖγε σοι τῷ εὐσεβεστάτῳ μοι καὶ τῷ ὄντι κατὰ σκοπὸν βάλλοντι συνετά. 24 φιλονεικεῖ P. 26 φησὶν P. 28 καὶ ante εἶναι omis. P. ταῦτα MT : τοῦτο P. 29 εἰδοίη P. 31 Cf. supra v. 15. θεμέλια ἔλεγεν εἶναι P. ἣν MT : εἰ P. 33 ἐσήμαινε MT : εἰσήγαγε P. τὴν PT : μὴν M. 33-34 δὲν ἀναστοιχ. καὶ in marg. M.

οὐρανοῦ παρέλευσιν ὑποσημαίνειν, οὐ τῇ παραγωγῇ καὶ ὡροσκοπῶν ἦν. καὶ μὴν ἐκεῖνος οὐ παρελεύσεται οὐδὲ εἰς ἀνάλυσιν ὅλως χωρήσει, καθά φασιν αἱ γραφαί, ἀλλ' εἰς αἰῶνας ἔσται ἡ διαμονὴ πάντως αὐτοῦ· οὕτως γὰρ καὶ ὁ προφήτης Ἡσαίας περὶ ἐκείνου φησίν· « καὶ ἔσται ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινή », τῶν γὰρ ἐπιπροσθούντων τῇ ἐκείνου θέᾳ περιαιρεθέντων, αὐτοῦ δηλαδὴ τοῦ στερεώματος, τῶν φωστήρων, τῶν στοιχείων τε καὶ τῶν λοιπῶν καθ' ἑξῆς — καὶ γὰρ κατὰ τὴν τοῦ Παύλου φωνὴν « τὸ σχῆμα τοῦ κόσμου τούτου παράγει », ὁ πρῶτος ἐκεῖνος καὶ ὄντως φανείη ἂν οὐρανός, οὗ τὴν διαμονὴν πᾶσα σχεδὸν καταγγέλλει γραφή — ἐκεῖνον οὖν πρῶτον ἔδει παρελθεῖν καὶ εἰς παντελῆ χωρῆσαι ἀνάλυσιν, ἅτε τροπικοῦ ζῳδίου, τοῦ Καρκίνου δηλονότι, ὡροσκοπήσαντος ἐπὶ τῇ παραγωγῇ πάντως αὐτοῦ· ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν, ὡς ὁ λόγος ἤδη φθάσας ἐδήλωσεν· εἰ γάρ, ὥς φησι τὸ γράμμα, Καρκίνος ἦν τηνικαῦτα ὡροσκοπῶν, κἀντεῦθεν ὑποσημαίνων παντελῆ τῶν ὄντων ἀνάλυσιν, ἵνα τί μὴ καὶ τὸ τοῦ Παύλου ῥητὸν τὸ λέγον « ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται » πόρρω που ποιοῦμεν ὡς ψεύδους μεστόν· τὸ γὰρ εἰς ἀνάλυσιν χωροῦν καὶ εἰς τὸ μηδὲν καταντῶν ἀνακαινισμόν τινα πάντως οὐ πέφυκε δέχεσθαι· διὰ τί δὲ μὴ καὶ τὰ λοιπὰ τῶν ἔξω καταδεχόμεθα δόγματα καὶ πλείους ἀποκαταστάσεις τοῦ σύμπαντος κατά γε τὰς ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ τῶν πλανητῶν περιόδους τε καὶ ἐπανόδους, καθάπερ ἐκεῖνοι, δοξάζομεν; ἄδηλα ταῦτα λοιπὸν καὶ κρύφια, ὡς ὁ μέγας ἔφη Βασίλειος, καὶ μόνῳ τῷ Θεῷ γινωσκόμενα.

Καὶ γὰρ καὶ ἐνυπόστατον τὴν τέχνην ἐξ εὐαγγελικῶν δῆθεν ῥητῶν παραστῆσαι τὸ γράμμα διισχυρίζεται· εἰ μὴ γὰρ τοῦτο ἦν, οὐκ ἂν ὁ ἀστὴρ τοὺς μάγους ἐκάλει πρός γε τὴν τῆς ἀληθείας ἐπίγνωσιν, ἤρκει καὶ γὰρ τὰ λοιπὰ σημεῖα τὰ τῷ τότε συνεπακολουθήσαντα. ἀλλ' ἡμεῖς μὲν καθ' ἕτερον οὐδὲν ἀντιπίπτομεν, παρακαλοῦμεν δὲ ὅμως μαθεῖν τίνα τε τὰ σημεῖα καὶ πότε ταῦτα καὶ τίνα τρόπον συνέβησαν, ὥστε βαρβάρους ἀνθρώπους ἐκεῖθεν ἐγερθῆναι καὶ ἀφικέσθαι πρὸς Ἱεροσόλυμα· εἰ γὰρ πρὸ πολλοῦ τῆς γεννήσεως τοῦ Χριστοῦ τὸν ἀστέρα ὀφθῆναι τοῖς μάγοις ὁ χρυσοῦς τὴν γλῶτταν διισχυρίζεται, ὡς ἐντεῦθεν αὐτοὺς προσκυνῆσαι τὸν Χριστὸν ἐν σπαργάνοις — πολὺν γὰρ ἔμελλον ἐν τῇ ὁδῷ ἀναλίσκειν τὸν χρόνον — οὐδὲ σημεῖα λοιπὸν λέγειν εὔλογον τῷ τότε συνεπακολουθῆσαι τοὺς μάγους ἐκείνους ἑλκύσαι ἰσχύοντα.

2 χωρήσῃ P. 4 Isaias LXV, 17. 5-6 ἐκείνου θέᾳ PT : κτίσει M. 7 τε omis. P : ὁμοῦ T manu alia. 8 I Cor. 7, 31. 10 καταγγέλει MP. 10-11 παντελεῖ M. 13 Haec verba, ut diximus, in Comneni codicibus desunt. 16 Ep. Rom. VIII, 19. 17 που omis. P. 18 καταντᾶν P. 23 ὡς ὁ μεγ. ἔ. Βασιλειος post γινωσκόμενα transpos. P. 24 εἰ γὰρ MT. Cf. Manuel p. 113, 17 s.; 114, 12 ss. 27 καὶ delendum? at cf. p. 129, 11; 139, 35. 29 προέβησαν P. 30 πρὸς MT : εἰς P. 32 Ioan. Chrysost., *In Matt.*, VI, 1 (Migne, *Patr. Gr.*, LVII, col. 63). 35 τὰ τότε M.

Διείληπται καὶ τοῦτο μετὰ τῶν ἄλλων τῷ γράμματι· ὁ Σιναΐτης Ἀναστάσιος, περί τινων φυσικῶν θεωρημάτων ἐπεξιών, φαίνεταί πως αὐτοῖς παραμιγνύων καὶ τὰ τοῦ μαθήματος. ἀλλ' ἡ μὲν ἐμὴ βίβλος, παρεισάγει μὲν καὶ τὸν θειότατον Ἀναστάσιον περὶ φυσικῶν τινων καὶ μάλιστα περὶ τῆς τοῦ ἀνθρώπου συμπήξεώς τε καὶ κράσεως πανσόφως διδάσκοντα, κατὰ τὸ τέλος δὲ ὅμως τῆς αὐτοῦ διδασκαλίας ἐπαναλαμβανόμενον οὕτω καὶ λέγοντα· «κἂν οἱ μωροὶ ἀστρολόγοι ταῦτα τοῖς ἄστροις ἀνατιθέασιν»· οὐκ οἶδα λοιπὸν εἴ γε καὶ συμβαλεῖται κατά τι τῷ προκειμένῳ σκοπῷ τοιαῦτα γράφων ὁ θειότατος Ἀναστάσιος.

Περιέχει τὸ διαληφθὲν γράμμα ὅτι τὰ τῶν ἀστέρων σχήματα σημεῖα τινῶν εἰσιν ἀποβάσεων, οὐ μὴν καὶ ἐξ ἀνάγκης ἀποτελεσμάτων τινῶν εἰσι ποιητικά. καὶ τηνικαῦτα διαπορούμενοι λέγομεν· εἰ κατά γε τὴν τοῦ γράμματος περίληψιν οὕτως ἔχει καὶ τὰ τοῦ πράγματος, τίνος ἕνεκεν ὁ Οὐάλης ἐκεῖνος ἐπὶ μέσου εἰσάγεται παρὰ τοῦ μεγάλου μέν, ὥς φασιν, προσκληθεὶς Κωνσταντίνου, τέσσαρες καὶ δέκατον καρτερήσας ἔτος ἐπὶ τῇ καταβολῇ τῶν θεμελίων τῆς βασιλίδος ταύτης τῶν πόλεων; εὔδηλον γὰρ ὡς εἰ τοσούτων ἐκεῖνος ἐνιαυτῶν ἐκαρτέρει παράτασιν, ὥστε μεῖναι τὴν πόλιν διόλου τοῖς πολεμίοις ἀχείρωτον τῇ πίστει τε προκόπτειν αὐτὴν καὶ τοῖς λοιποῖς καθεξῆς, καιρὸν ἂν ἐκαρτέρει λοιπὸν τῷ σκοπῷ αὐτοῦ συντελέσοντα· εἰ καὶ τὸ γράμμα προδήλως τοῦτο λέγειν οὐ βούλεται, ἄδικοι γὰρ ἐντεῦθεν οἱ ἀστέρες, ἵνα μὴ λέγω τὸν ποιητὴν αὐτόν, ὡμολόγηνται, τοὺς μὲν τῶν ἀνθρώπων μοιχούς, τοὺς δὲ φονέας ἐξ ἀνάγκης ἀποτελοῦντες· καί, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἐν μέσῳ τὸν Οὐάλεντα παράγειν ὅλως οὐκ ἔπρεπε· τὰ γὰρ τῆς ἀστρολογίας ἐντεῦθεν διεψευσμένα καὶ μᾶλλον ἐλέγχεται· ὁ γὰρ Οὐάλης οὗτος, ἀκριβέστατος καὶ ταῦτα ὢν ἀστρολόγος, εἰς ἑξακοσίους πρὸς τοῖς ἐννενήκοντα καὶ ἓξ ἐνιαυτοὺς διαμεῖναι τὴν πόλιν ταύτην ἐφοίβασε, καὶ οὕτω διημαρτημένην τὴν τέχνην ἐξ ἀποτελέσματος ἔδειξεν.

Εἰ δὲ τὸν διαληφθέντα Οὐάλεντα καρτερῆσαι μὲν ἔτος τέσσαρες καὶ δέκατον εἴποι τις, χάριν δὲ ὅμως τοῦ καιρὸν ἐφευρεῖν ἀγαθά τινα τῇ πόλει μηνύοντα, δεξόμεθα μὲν τὴν παραγραφὴν αὐτοῦ, ἀλλ' εὐθὺς ἀπορήσομεν οὑτωσὶ λέγοντες· τί δέ; εἰ καὶ ἀπερισκέπτως καὶ ἄνευ τῆς τοῦ Οὐάλεντος παρατηρήσεως τὰ τῆς πόλεως κατεβλήθη θεμέλια, οὐκ

1 cf. Manuel, p. 117, 9 s. 7 Verba allata in operibus S. Anast. non inveni, cf. tamen Migne, *Patr. Gr.*, t. LXXXIX, Quaest. 95, col. 735 A. 8 ἀστράσιν P. 11 s. Cf. Manuel, p. 112, n. 1. 14 εἶχε P. 15 s. Cf. Manuel, p. 118, 14 ss. 16 τέσσαρες καὶ δεκ. forma vulgaris, cf. supra p. 119, 1 ss. δὲ καρτερήσας MT. 20-21 ἐκαρτέρει] Expect. ἐφεῦρεν vel simile quid [Kroll]. 21 συντελήσαντα P. 22 τοῦτο MT : τοῦ P. οἱ ἀστέρες ἐντεῦθεν P. 23 Leg. αὐτῶν? 24 φονεῖς M. 25 ἐπὶ μέσου PT. ἢ ἔπρεπε P. 25-26 ἢ τὰ ἀστρολ. M. 27 Leg. κατὰ ταῦτα? ἀστρολόγοι omisso εἰς P. 28 τοὺς MP. 32 εἴπη P : εἴποι ex εἴπη corr. T. τὸν P. 33 δεξώμεθα P. μὲν omis. M. 34 ἀπορήσωμεν P. εἰ omis. P.

ἂν οὕτω τὰ κατ' αὐτὴν ἔχειν ἔμελλεν ὅπως ἄρα καὶ σήμερον ἔχοιεν; παρακαλοῦμεν μὴ ἐάσῃς ἡμᾶς ἀμηχανίᾳ καὶ περὶ τούτου κυμαίνεσθαι· ἢ γὰρ οὕτω τὰ κατὰ τὴν πόλιν ἔχειν ἔμελλε, καὶ μάτην ἐκεῖνος τοσοῦτον ἐκαρτέρει καιρόν, ἢ οὐχ οὕτως. καὶ τί χρὴ πολλὰ λέγειν; φαίνεται γὰρ ἐντεῦθεν ὡς οὐ παρασημειωτικοὶ μόνον εἰσὶν οἱ ἀστέρες, ἀλλὰ καὶ ἀποτελεσμάτων ἐξ ἀνάγκης ποιητικοί· εἰ μὴ γὰρ τοῦτο ἦν, οὐκ ἂν τοῦ τεχνίτου ἐκείνου τὸ γράμμα ὑπεραπολογούμενον διά γε τὰ καθ' ἑκάστην ἀπροσδοκήτως τῇ πόλει συμπίπτοντα, σεισμοὺς δηλαδή, ἐμπρησμοὺς καὶ ὅσα τοιαῦτα, κατὰ λέξιν οὑτωσὶ διηγόρευεν « οὐ γὰρ ἠδύνατο τὰ πάντα μείζω τε καὶ ἐλάχιστα συμπεριλαβεῖν καὶ συμπερᾶναι πρὸς τὸ αὐτῷ βουλητόν ». πρόσεχε οὖν· εἰ γὰρ τὰ πάντα συμπεριλαβεῖν ἐκεῖνος ἔφθασε, μείζω τε καὶ ἐλάχιστα, καὶ αὐτὸ τὸ περὶ Θεοῦ λέγον Δαβιτικὸν οὕτω ῥητόν « ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν », ἔμεινεν ἂν ἐξ ἀνάγκης ἄπρακτον ἐνταυθοῖ, ἅτε καὶ αὐτὸν ἀποτρεπούσης τὸν κλόνον τῆς γῆς τῆς ἀκριβοῦς τοῦ ἐπιστήμονος σκέψεως· ἄλλως τε, εἰ κατὰ τὴν συμπεσοῦσαν ὥραν ἐπὶ τῇ καταβολῇ τῶν θεμελίων τῆς πόλεως αὐξάνειν τε τὴν πίστιν ἐπάναγκες καὶ αὐτὴν τὴν πόλιν διαμένειν τοῖς πολεμίοις ἀχείρωτον, οὐ μὲν οὖν χάρις τοῖς κατοικοῦσιν αὐτὴν εἴπερ εὐσεβοῦσιν ἐπὶ τοσοῦτον καὶ τῇ κατὰ Χριστὸν ἀγάπῃ καθ' ἑκάστην πλατύνονται· μάτην δὲ καὶ τῇ παναμώμῳ τοῦ Θεοῦ λόγου μητέρι τὰς ἐντεύξεις ποιοῦμεν καὶ φύλακα ταύτην ἐπιγραφόμεθα, εἴ γε τὴν σωτηρίαν ἡμῶν ὁ Οὐάλης ἐπραγματεύσατο ἔκτοτε ταῖς τῶν ἀστέρων παρασημειώσεσι. μὴ οὖν ἐάσῃς ἡμᾶς ἐπὶ τοσοῦτον διαπορεῖσθαι καὶ λογισμοῖς ἀλλοκότοις διαταράττεσθαι.

Ἐπὶ δέ γε τῷ εἰς τὸν ἐπιτάφιον τοῦ μεγάλου Βασιλείου θεολογικῷ ῥητῷ τῷ λέγοντι « ἀστρονομίας δὲ καὶ γεωμετρίας τοσοῦτον λαβὼν ὅσον μὴ κλονεῖσθαι τοῖς περὶ ταῦτα κομψοῖς », ὡσαύτως κἂν τῷ ἐπιστολιμαίῳ λόγῳ τοῦ μεγάλου Διονυσίου, ἐν ᾧπερ ὁ θεῖος οὗτος ἀνὴρ περὶ τῆς κατὰ τὸ σωτήριον πάθος παρὰ φύσιν ἐκλείψεως διαλαμβάνει, τί χρὴ καὶ λέγειν; ἢ τὰ τῆς ἡμετέρας βίβλου διέσφαλται καὶ πυρὸς γενήσεται παρανάλωμα, ἢ τὰ τοῦ γράμματος ἀμεθόδως σεσίγηκε τὴν ἀλήθειαν· ὅ τε γὰρ νοῦς τοῦ χωρίου τοῦδε διέφθαρται καὶ τὰ τῶν λέξεων ἤμειπται, καὶ τὰ λοιπὰ πάντα κακοήθως νενόθευται· πρὸς ἴδιον γὰρ θέλημα καὶ οὐ κατὰ λόγον ὀρθὸν ἐξετέθησαν· ἐφ' ᾧ δέδοικα μήποτε καὶ καλαμίνῃ ῥάβδῳ τὸ τοιοῦτον γράμμα ἐπερειδόμενον

1 ἔχει cum spatio VIII litt. T. 4 σημαίνεται T manu alia. 5 παρασημειωματικοί P. 9-11 Cf. Manuel, p. 119, 6 ss. 11 αὐτοῦ M. 13 λέγων P. Psalm. CIII, 32. 14 ἅτε PT : ὅτε M. 17 αὐξάνεσθαι P. 19 χάρις T : ἡ χάρις P : χάριν M. ἀσεβοῦσιν M. 26 s. Cf. Manuel, p. 119, 31. 27 ἀστρολογίας P. 28 cf. Manuel, p. 115, 28. 29 οὗτος ὁ θεῖος P. 31 διαλαμβάν(ει) P : omis. M : τοῦ Ἡλίου διέξεισι al. manu T; cf. Dionys., *Epist. ad Polycarp.* 2 (Migne, *Patr. Gr.*, III, c. 1081). 32 εὐμεθόδως codd.; corr. 34 καὶ omis. PT.

εὐχερῶς οὕτω καὶ τοῖς τυχοῦσιν ἀνατραπείη, καὶ πτῶμα παραχρῆμα πεσεῖται μηδεμιᾶς ἐκεῖθεν προσβολῆς ἀνασχόμενον.

Πρὸς δέ γε τοῖς διαληφθεῖσιν ἄνωθεν καὶ τάδε τὸ γράμμα διέξεισιν· « ὁ μέγας Βασίλειος ἐν τῇ Ἑξαημέρῳ αὐτοῦ περὶ τῆς τοιαύτης τέχνης διεξιὼν δύσληπτον μὲν αὐτὴν οὐ μὴν δὲ καὶ αἱρετικὴν ἀποδείκνυσιν, ὅτι μηδὲ πέφυκεν αὕτη δι' ἐπικλήσεων καὶ ἐπῳδῶν ἐνεργεῖν· τοῦτο καὶ γὰρ ὡς ἀσεβὲς ἀποτρέπει ὁ ἅγιος »· καὶ τὸ μὲν γράμμα διέξεισιν οὑτωσί· ὅθεν καὶ οὐ μικρῶς ἐπὶ τούτοις θαυμάζομεν. ἡ γὰρ βίβλος ἡμῶν, οὐ μικράν τινα κἀν τούτῳ διαφωνίαν κεκτημένη εὑρίσκεται· οὔτε γὰρ ἐπικλήσεων τινῶν ἀλλοκότων, οὔτε μὴν ἐπῳδῶν ὁ μέγας ἐν τοῖς αὐτοῦ φαίνεται μεμνημένος συντάγμασιν, ἀλλὰ γυμνὴν αὐτὴν τὴν τῆς ἀστρολογίας κατασκευήν τε καὶ μέθοδον πολὺ μὲν τὸ ἀνόητον πολλαπλάσιον δὲ τὸ ἀσεβὲς παρ' ἑαυτῇ φέρουσαν δείκνυσιν.

Ἵνα δὲ μὴ λέγω τὰ κατὰ μέρος μοι ἐπαπορούμενα, καὶ παραδείγματι τινι τὸ πολλάκις διαληφθὲν γράμμα ἐχρήσατο, τῆς ἀστρολογίας δῆθεν ὑπεραπολογούμενον, « ὃν γάρ τινα τρόπον, λέγον, ὁ νόμῳ γάμου γυναικὶ συμπλεκόμενος ἀκατέγκλητός ἐστιν, ὁ δὲ πόρναις ἐκδοὺς ἑαυτὸν ἐπιτιμίοις ὑπόκειται, οὕτω δὴ καὶ ὁ μὴ παρὰ νόμον κατ' ἐντολὴν δὲ τοῦ Θεοῦ τῷ μαθήματι χρώμενος, οὐχ ἁμαρτάνων ἁλώσεται ». καὶ τὰ μὲν τοῦ παραδείγματος τοιαῦτα καὶ τοῦτον ἔχει τὸν τρόπον· ἡμῖν δὲ καὶ πάνυ πρός γε τὸν προκείμενον ἀπᾴδει σκοπόν, ὅτι μηδὲ θείαν ἔχομεν ἐντολὴν τὸ τοιοῦτον ἐπιτρέπουσαν ὅπως δήποτε μάθημα. καὶ τί χρὴ πολλὰ λέγειν; ἡνίκα τοῦ γράμματος ἀκούω λέγοντος « ὅτι τοῖς ἁγίοις πατράσιν ἐναντιογνωμονοῦσιν οἱ τὸ μάθημα τοῦτο μὴ καταδεχόμενοι ὡς ἀποτρόπαιον », οὐ μικρῶς θαυμάζειν μοι ἔπεισιν, εἴ γε καὶ μάλιστα τὴν ἁγίαν πᾶσαν γραφὴν κατηγοροῦσαν καὶ πάνυ τῆς ἀστρολογίας εὑρίσκομεν· αὐτίκα γάρ, εἴγε τέως καὶ συγχωρούμεθα μνημονεῦσαι τινῶν, αὐτὸν ἔχομεν τὸν μακάριον Παῦλον οὕτω πρὸς Γαλάτας λέγοντα « ἡμέρας παρατηρεῖσθε καὶ μῆνας καὶ ἐνιαυτούς, φοβοῦμαι μή πως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς· » ἐντεῦθεν οὖν ὁρμώμενος ὁ τὴν γλῶτταν χρυσοῦς σατανικῆς εἶναί φησιν ἐνεργείας τὸ ταῖς τῶν ἡμερῶν περιόδοις ἐπιτρέπειν τὰ καθ' ἡμᾶς· ἡμέρα γὰρ ἡμέρας οὐ διενήνοχεν. ὁ δὲ πολὺς τὴν θεολογίαν Γρηγόριος γράφων ὅτι τὰ κατὰ Χριστὸν μυστήρια οὐκ εἰσὶν οἷα τὰ τῶν Ἑλλήνων, καὶ τάδε προστίθησιν· « οὐδὲ μάγων θυτικὴ καὶ πρόγνωσις ἔντομος, οὐδὲ Χαλδαίων

1 ἀνατραπεῖ P. 3 δὲ γὲ M T : τε P. 3 ss. cf. Manuel, p. 120, 8 ss. 7 ἐπιτρέπει P. 8 τούτοις θαυμάζομεν omis. M spatio relicto. 10 τίνων ἐπικλήσ. P. 11 ss. cf. Basil., *Hexaem.*, VI, 5; Migne, *Patr. Gr.*, t. XXIX, col. 128 s.; cf. infra p. 135, 3. 14 δὲ omis. P. μοι omis M. 16 ss. Cf. Manuel, p. 117, 15 ss.. λέγων cod.; corr. Bidez. ὁ omis P. 21 L. ἐπᾴδει? 23 Cf. Manuel, p. 119, 18. 24-25 κτεχόμενοι (sic) P. 25 ἔπεισε M. γε omis. P. 28 πρὸς Γαλάτας omis. P. Cf. Gal., IV, 10-11. 29 παρατηρεῖσθαι codd. 30 ἡμᾶς P. 31 Ioann. Chrys., *In Calendas*, t. I, p. 955, Migne. 34-35 προτίθησι codd.; corr. 33 Gregor. Naz. *Or.* XXXIX, 5 (Migne, *Patr. Gr.*, t. XXXVI, col. 340). 35 καὶ omis. M.

ἀστρονομία καὶ γενεθλιαλογία τῇ τῶν οὐρανίων κινήσει συμφέρουσα τὰ ἡμέτερα, τῶν μηδὲ ἑαυτοὺς ὅ τί ποτέ εἰσιν ἢ ἔσονται γνῶναι δυναμένων.» ἐν δὲ τῷ εἰς τὸν μέγαν Βασίλειον ἐπιταφίῳ, καὶ τάδε· «ἀστρονομίας δὲ καὶ γεωμετρίας τοσοῦτον λαβὼν ὅσον μὴ κλονεῖσθαι τοῖς περὶ ταῦτα κομψοῖς, τὸ περιττὸν διέπτυσεν, ὡς ἄχρηστον τοῖς εὐσεβεῖν ἐθέλουσιν.» εἰ μὲν οὖν ἄχρηστον τοῖς εὐσεβεῖν ἐθέλουσιν, εὔδηλον πάντως ὅτι καὶ χρήσιμον ἔσται τὸ τοιοῦτον ἐκείνοις ὅσοιπερ εὐσεβεῖν οὐκ ἐθέλουσιν. ἐν δὲ τῷ εἰς τὸν ἀδελφὸν αὐτοῦ Καισάριον, καὶ τάδε· «γεωμετρίας δὲ καὶ ἀστρονομίας καὶ τῆς ἐπικινδύνου τοῖς ἄλλοις παιδεύσεως ὅσον χρήσιμον ἐκλεξάμενος, τόδε ἦν τὸ ἐκ τῆς τῶν οὐρανίων εὐαρμοστίας καὶ τάξεως τὸν δημιουργὸν θαυμάσαι, ὅσον βλαβερὸν ταύτης διέφυγεν, οὐ τῇ φορᾷ τῶν ἄστρων διδοὺς τὰ ὄντα καὶ τὰ γινόμενα.» ὁ δὲ χρυσορρήμων Ἰωάννης ἐν τῇ εἰς τὸ κατὰ Ματθαῖον ἕκτῃ αὐτοῦ ὁμιλίᾳ καὶ τάδε κατὰ ῥῆμα διέξεισιν· «ἐχθροὶ τῆς ἀληθείας εἰσὶ καὶ ὑπ' αὐτοῦ ἐμπνεόμενοι τοῦ δαίμονος οἱ τὰ τῆς ἀστρολογίας ἐνυπόστατα δεῖξαι φιλονεικοῦντες ἀπό γε τοῦ ἀστέρος ἐκείνου τοῦ κατὰ ἀνατολὰς τοῖς μάγοις ὀφθέντος καὶ εἰς Παλαιστίνην αὐτοὺς ὁδηγήσαντος.» ἔχομεν δὲ πρὸς τούτοις καὶ τὸν μέγαν Βασίλειον ἀποτρεπόμενον τὰ τοιαῦτα καὶ οὕτως ἐν τοῖς Κανόσιν αὐτοῦ λέγοντα· «ὁ μάντεσιν ἑαυτὸν ἐπιδοὺς ἤ τισι τοιούτοις τὸν χρόνον τῶν φονέων καὶ αὐτὸς ἐπιτιμηθήσεται.» ταῦτα δὲ ὁ θεῖος οὗτος κανονίζει πατὴρ ἐξ ἀνάγκης ἀκολουθήσας τῷ λέγοντι νόμῳ· «οὐκ ἔστιν ἐν Ἰσραὴλ μαντευόμενος ἢ τερατοσκόπος ἢ ἐγγαστρίμυθος» τούτοις ἀκολούθως καὶ ὁ μέγας Ἐπιφάνιος Ἐθνόφρονας ἐκάλεσε τοὺς γενέσει καὶ εἱμαρμένῃ ἀστρονομίᾳ τε καὶ ἀστρολογίᾳ προσέχοντας[1]. ὁ δὲ ἐν πατριάρχαις ἁγιώτατος Νικηφόρος καὶ τάδε· «τὴν ἀποκάλυψιν Παύλου καὶ τὰ λεγόμενα βροντολόγια ἢ σεληνοδρόμια οὐ χρὴ δέχεσθαι· βέβηλα γὰρ ταῦτα», πρὸς τούτοις δὲ καὶ τὸν θειότατον Κύριλλον οὕτως ἔχομεν λέγοντα· «διὰ τοῦ προφήτου Ἡσαΐου εἰπὼν ὁ

2 ἑαυτοὺς M : αὐτοὺς P : αὐτὰ (τὰ e corr.) T. 3 Glycas iam supra haec attulit 132, 27. 6 εἰ μὲν οὖν - ἐθέλουσιν omis. M : οὖν omis. T, 7 καὶ omis. P. 8 αὐτάδελφον M fors. recte. 9 ss. *In laud. Caesar.*, 7 (Migne, *Patr. Gr.*, t. XXXV, col. 761). τοῖς ἐπικινδ. P. τοῖς ἄλλοις corr. in τῆς ἄλλης P. 10 τὸ omis. M P. 13 Ioann., *Homil. in Matth.*, VII (Migne, *Patr. Gr.*, t. LVII, col. 61) verbis quibusdam mutatis. 18 καὶ omis. P. 19 Basil., *Epist.*, 217, § 72 (Migne, *Patr. Gr.*, t. XXXII, col. 802). 20 ἐπιδοὺς P : ἐπιδιδοὺς M T. 21 ἐπιτιμασθήσεται P. 23 cf. Deuteron., XVIII, 10. ἐγκαστρίθυθος P. 25-26 ἀστρολογία - ἁγιώτατος omis. M. 26 Nicephor. Iuris graeco-romani, p. 169; cf. Du Cange, *Gloss.*, s. v. Σεληνοδρόμια. βροντολογία P T : βροντολεσίου M. 29 Cyrill., *In Es.*, IV, 8 (Migne, *Patr. Gr.*, t. LXX, col. 1011).

[1] De haereticis qui Ethnophrones dicuntur, nihil apud Epiphanium inveni, sed Glycas verba repetit Ioannis Damasceni, *De haeresib.*, 94 (Migne, t. XCIV, col. 758); cf. Smith, *Diction. of Christian biogr.*, s. v.

Θεὸς ὅτι στήτωσαν καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι, τοῦ οὐρανοῦ τὴν ἐπάρατον ἀστρογοητείαν ἀξίαν γέλωτος ἤλεγξε.» περὶ δὲ τοῦ μεγάλου Βασιλείου τί χρὴ καὶ λέγειν; αὐτὴν γὰρ ὅλην τὴν τοῦ λεγομένου διαθέματος ψηφηφορίαν τε καὶ κατασκευὴν πολὺ μὲν τὸ ἀνόητον ἔφησεν ἔχειν, πολλαπλάσιον δὲ τὸ ἀσεβές· καὶ τί χρὴ πολλὰ λέγειν καὶ ἀπαριθμεῖν τὰ καθ' ἕκαστον; ἀντὶ πάντων ἀρκέσειεν ὁ μέγας Παῦλος λέγων· «βλέπετε μή τις ἔσται ὑμᾶς ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν τῶν ἀνθρώπων παράδοσιν, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου καὶ οὐ κατὰ Χριστόν.» εἰ γὰρ καὶ δῶμεν κατ' ἐκείνους ἐνδεδόσθαι πρότερον τὰ τῆς ἀστρολογίας, ἀλλ' ἐπιδημήσας ἡμῖν ὁ Θεὸς λόγος διὰ σαρκὸς ὡς ἐπιβλαβῆ τὰ τοιαῦτα πρὸ τῶν ἄλλων διέλυσεν[1]· εἰ μὴ γὰρ τοῦτο ἦν, οὐκ ἂν ἐκ Περσίδος τοὺς μάγους εὐμεθόδως ἀπέσπασε καὶ πρὸς τὴν αὐτοῦ ἐπίγνωσιν ἤγαγε· καὶ ἄκουε τί φησιν ὁ χρυσορρήμων Ἰωάννης ἐν τῇ τοῦ κατὰ Ματθαῖον ἑρμηνείᾳ « ὅτι γεννηθεὶς ὁ Χριστὸς καὶ ἀστρολογίαν ἔλυσε καὶ δαίμονας ἀπεστόμισεν, εἱμαρμένην ἀνεῖλε καὶ πᾶσαν ἄλλην μαγγανείαν ἀνέτρεψεν.»

Ταῦτα μὲν οὖν ἐκ πολλῶν ὀλίγα, ὅθεν, εἰ μὴ τολμηρὸν εἰπεῖν, ἀστήρικτά εἰσιν ἢ καὶ τῷ ὄντι ἀβέβαια τὰ ὑπὲρ τῆς ἀστρολογίας ἤδη τῷ γράμματι προτεινόμενα· οὐδὲ γὰρ εὑρήσει τις ἁγίους, ὡς οἶμαι, πατέρας οἷς ἐναντιογνωμονοῦσιν, ὡς ἄνωθεν εἴρηται, οἱ τὸ μάθημα τοῦτο ὡς ἀποτρόπαιον μὴ καταδεχόμενοι· ἀλλὰ καὶ οἱ τῶν ἰατρῶν ἔκκριτοι, Γαληνός, φημί, καὶ Ἱπποκράτης, οὐκ ἀσφαλῶς, ὡς οἶμαι, μαρτυρίας ἕνεκεν ἐνταῦθα παραλαμβάνονται· ὅτι μηδὲ τῷ τοιούτῳ συνευδοκοῦσιν ὅλως μαθήματι, φυσικοὶ καὶ μάλιστα ὄντες καὶ διὰ πείρας μακρᾶς τὰ καθ' ἡμᾶς πάντα διασκεψάμενοι, ταύτῃ τοι καὶ τεταγμένας μὲν εἶναι τὰς τῶν νοσημάτων ἡμέρας ἔλεγον καὶ ἐν ὡρισμένοις περιοδίζειν καιροῖς, πλὴν οὐκ ἐξ ἀνάγκης, ὥς φησι τὸ γράμμα, καὶ βίας τινὸς ἄνωθεν κατιούσης, ἀλλ' ἔνθα τῆς ὕλης, ὡς ἐκεῖνοί φασιν, ἐπικρατεστέρα ἡ φύσις εὑρίσκεται· τηνικαῦτα γὰρ ἀκωλύτως αὕτη μὴ πλεοναζούσης τῆς ὕλης τὰ πάντα ποιεῖ κατὰ τὸ ἔθος αὐτῆς· εἰ γὰρ καὶ ὁμοιότητά τινα καὶ κοινωνίαν πρός γε τὰς σεληνιακὰς

1 Isaias XLVII, 13. σε omis. MT. 3 Basil., *Hexaem.*, VI, 5 (Migne, *Patr. Gr.*, t. XXIX, col. 127); cf. supra p. 132-133. 6 ὁ μέγας ἀρκέσει P. 7 ss. Ep. Coloss., II, 8. βλέπε M. 8 καινῆς M. 13 εὐμεδόχως P. ἤσαγε P. 14 Ioann. Chrys., *Homil. in Matth.*, VI, 1 (Migne, *Patr. Gr.*, t. LVII, col. 62). 15 καὶ omis. P. 19 ἀστρολογίας P. τὰ ὑπὲρ MT : τοὺς ἐπὶ P. 21 supra, p. 135, 24. εἰ τὸ P. 22 μὴ καταδ. ὡς ἀποτρ. P. 23 Cf. Manuel, p. 111. Sed aliquid in epistula imperatoris hic quoque deesse videtur. 25 συνευδοκοῦσιν] κοῦσιν e corr. P. 29 τινος superscr. P. τῆς ὕλης omis. M. 31 τῆς omis. P. 32 σεληνικάς M.

[1] Ecclesiae Patres saepe contenderunt astrologiam pridem scientiam fuisse veram sed eam adventu Christi mendacem factam esse. Cf. Bouché-Leclercq, *Astrol. grecque*, p. 611 s.

περιόδους τὰς τοιαύτας ἡμέρας κεκτῆσθαί φασιν, ἀλλ' οὐκ ἐξ ἀνάγκης ἐκεῖθεν καὶ τὸ εὔτακτον φέρουσιν. εἰ γὰρ τοῦτο ἦν, οὐκ ἂν αἱ κρίσεις μετέπιπτον, οὐκ ἂν τὰ τῆς τετάρτης παρὰ τῆς τρίτης πολλάκις ἢ καὶ τῆς πέμπτης ἐκρίνοντο, οὐκ ἂν τῆς ὕλης ἐπικρατούσης ἀτάκτως τὰ πάντα ἐφέροντο· εὔδηλον οὖν ἐντεῦθεν ὡς οὐκ ἀστρολογικῶς, φυσικῶς δὲ μᾶλλον, τὰς αὐτῶν διδασκαλίας ἐξέθεντο· ἐπιτολαῖς μὲν οὖν καὶ δύσεσι προσέχειν ἀστέρων, ὡς ἐκεῖθεν ἐπὶ τὸ ψυχρότερον ἢ καὶ τὸ θερμότερον μεταβαλλομένου τοῦ περιέχοντος, κἀντεῦθεν τὰς φαρμακείας ἐξ ἀνάγκης ἢ κωλύεσθαι ἢ προτρέπεσθαι, οἶδα καὶ τοῦτο τοὺς ἄνδρας εὐστόχως ὑπαγορεύοντας, καὶ μᾶλλον ἐν οἷς ἀφοριζόμενοι ἔλεγον· « ὑπὸ Κύνα καὶ πρὸ Κυνὸς ἐργώδεες αἱ φαρμακεῖαι. » ἀστρολογίαις δὲ καὶ γενεθλιαλογίαις, ἀφ' ὧν οἱ περὶ τὰ τοιαῦτα δεινοὶ προλέγειν δοκοῦσι τὰ τῷ βίῳ καθ' ἑκάστην ἀπροσδοκήτως συμπίπτοντα, εὐπραγίας λέγω καὶ δυσπραγίας, ὅρους τε ζωῆς καὶ προθεσμίας θανάτου, οὐ μὲν οὖν συναινοῦντας τοὺς τοιούτους εὑρήσει τις. πῶς γάρ; εἴ γε καὶ γόητας τοὺς γενεθλιαλόγους ἐν τοῖς αὐτῶν συντάγμασι κατονομάζουσιν, εἰ δὲ καὶ Γαληνὸς καὶ Ἱπποκράτης Ἕλληνες ὄντες οὕτω περὶ τούτων καὶ φρονοῦσι καὶ λέγουσι, πολλῷ μᾶλλον οἱ θεῖοι πατέρες οἱ λέγειν μεμαθηκότες κατὰ τὸν Δαβὶδ οὑτωσὶ « ἐπίρριψον ἐπὶ κύριον τὴν μέριμνάν σου καὶ αὐτός σε διαθρέψει. »

Εἰ γὰρ καὶ τὸν τὰ θεῖα σοφὸν Ἰωάννην τὸν Δαμασκηνὸν παρεισάγει τὸ γράμμα περὶ τῆς τῶν μεταρσίων θέσεώς τε καὶ τάξεως, ναὶ μὴν καὶ τῆς καθολικῆς αὐτῶν παρασημειώσεως, οὐκ ὀλίγα φυσιολογήσαντα κατὰ τὸν εἰπόντα, « καὶ ἔθετο ταῦτα εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἐνιαυτούς », ἀλλ' οὐκ ἐντεῦθεν ὁ θεῖος οὗτος ἀνὴρ καὶ αὐτὸ τὸ τῆς ἀστρολογίας συνίστησι μάθημα. πῶς γάρ, εἴ γε καὶ μᾶλλον τὸ δοθὲν ἡμῖν αὐτεξούσιον ἀναιρούμενον ἐκεῖθεν δείκνυσι, καὶ τὸν Θεὸν αὐτὸν ἄδικον ἐκ πολλῶν ἐλεγχόμενον; εἰ γὰρ καθ' εἱμαρμένην τὰ γινόμενα γίνεται, πῶς οὐκ ἀνῄρηται τὸ αὐτεξούσιον; εἰ δὲ κολάζει Θεὸς τοὺς ἐξ ἀνάγκης ἁμαρτάνοντας, πῶς οὐχὶ καὶ ἀδίκων ἀδικώτερος εὑρεθήσεται κολάζων ὕστερον τὸν οὐκ αὐθαιρέτως εἰς κακίαν ἑλκόμενον; οὐκ ἀσφαλῶς λοιπὸν καὶ ὁ θεῖος οὗτος ἀνὴρ τῷ γράμματι συμπαρείληπται τοιαῦτα κατὰ τοῦ ἀστρολογικοῦ γράφων μαθήματος.

Ἀλλὰ καὶ τὸν σοφὸν ἐκεῖνον Λέοντα[1] τὸν ἀρχιερέα Θεσσαλονίκης

1 φησὶν P. 3 παρὰ PT : περὶ M. 5 ἀστρολογίας M. 10 Hippocr. *Aphorism.*, p. 1249 B. 14 λέγω - δυσπραγίας omis. M. τῆς ζωῆς M. προθεσμία M. 15 εὑρήσει τις τοὺς τοιούτους T. 18 περὶ τούτων οὕτω. 19 Psalm. LIV, 23. 20 μέριμνα P. 21 Ioann. Damasc., *De Fide*, II, 7 (Migne, *Patr. Gr.*, t. XCIV, col. 885. 22 τὸ γράμμα] cf. supra p. 117, 7. 24 Genes. 1, 14. 26-27 τὸ δόθεν καὶ μᾶλλον MT. 33 ταῦτα M.

[1] De illo Thessalonicae archiepiscopo, cf. supra, p. 116, n. 2. Plura de mirabili eius scientia narrat Theophanes continuatus, p. 185 ss., ed. Bonn. Ad hunc " Leo-

χρηματίσαντα, κακῶς μὲν οὕτω προχειρισθέντα παρὰ τοῦ πατριάρχου ἐκείνου Ἰωάννου τοῦ γόητος, κακίστως δὲ αὖθις καθαιρεθέντα καὶ αὐτὸν ἅτε τῇ εἰκονομαχίᾳ προσκείμενον, οὐκ ἔδει πάντως μαρτυρίας ἕνεκεν συμπαρειλῆφθαι τῷ γράμματι· εἰ γὰρ διὰ πάντων ἔχειν τὸ ἀνεπίληπτον οἱ πολιτικοὶ νόμοι τοὺς περί τινων μαρτυρήσοντας διορίζονται, πολλῷ μᾶλλον οἱ τῆς ἐκκλησίας ἱεροί τε κανόνες καὶ θεῖοι θεσμοί. οὐκ ἔδει τοίνυν τὸν διαληφθέντα σοφὸν μαρτυρίας ἕνεκεν ἐνταῦθα παραγαγεῖν· εἰ γὰρ καὶ ἀρχιερεὺς ἐκεῖνος ἦν, εἰ καὶ περὶ τὴν τήρησιν τῶν μεταρσίων ἠσχόλητο, εἰ καὶ λιμὸν ἔλυσεν, ὥς φασιν, πείσας τοὺς Θεσσαλονικεῖς ἐν τοιᾷδε τῶν ἀστέρων ἐπιτολῇ τὰ σπέρματα καταβαλεῖν, ἀλλ' οὐκ ἐντεῦθεν ἀστρολογίᾳ προσέχειν δικαιούμεθα καὶ ἡμεῖς, οὐδὲ πρὸς ἀρχέτυπον ἀφορᾶν τοιοῦτον ἀναγκαζόμεθα, εἰ μή γε τὴν παροιμίαν ταύτην ἐξ ἀπορίας λέγειν αἱρούμεθα· « ὅταν οἱ ἱερεῖς ἡμῶν δαιμονιῶσι, τίς ἡμᾶς ἰάσεται; ». καὶ πῶς γὰρ οὐ δαιμονιῶσιν, εἴ γε τὸν τριακοστὸν ἕκτον κανόνα τῆς κατὰ Λαοδίκειαν συνόδου παρ' οὐδὲν θέμενοι τὸν οὕτω λέγοντα « οὐ χρὴ τοὺς ἱερατικοὺς ἐπαοιδοὺς ἢ μαθηματικοὺς εἶναι », τῷ οἰκείῳ στοιχοῦσι κακοφρόνως βουλήματι. πείθομαι οὖν ἐκ τούτου, κράτιστε βασιλεῦ, ὡς οὐκ ἂν ὁ μοναχὸς ἐκεῖνος παύσαιτό ποτε κατηγορῶν τοῦ μαθήματος, εἴπερ εὐπαράγραπτοί εἰσιν ἐπὶ τοσοῦτον οἱ κατ' αὐτοῦ προφερόμενοι μάρτυρες. καὶ περὶ μὲν τούτων οὕτως.

Περὶ δὲ τῆς φυσιολογίας ἐκείνης, δι' ἧς ὁ ἀστὴρ ὁ καλούμενος παρ' Ἕλλησι Ζεὺς εὔκρατος τάχα δείκνυται κἀντεῦθεν ἀγαθοποιός, ἅτε Κρόνου μέσον καὶ Ἄρεος κείμενος, τί χρὴ καὶ λέγειν, εἴ γε καὶ τὰ κατ' αὐτὴν οὐκ ἀσφαλῶς ἔχειν ἔοικεν; ἐκ πολλῶν γυμνασθῆναι τοίνυν κατὰ τὸ ἐγχωροῦν καὶ τὸν περὶ τούτου λόγον παρακαλῶ· φασὶν ὅτι ὁ Κρόνος ψυχρὸς ἄγαν ὑπάρχει καὶ ξηρὸς διὰ τὸ μακρὰν εἶναι τῶν τῆς γῆς ἀναθυμιάσεων καὶ διὰ τὸ πολλῷ ὑπερκεῖσθαι τῆς ἡλιακῆς σφαίρας, ἐφ' ᾧ καὶ διὰ τὴν αὐτοῦ δυσκρασίαν κακοποιός· ὁ δὲ Ἄρης θερμὸς ἄγαν καὶ ξηρὸς διὰ τὸ συνεγγίζειν τῷ Ἡλίῳ καὶ τῆς ἐκείνου μεταλαμβάνειν θερμότητος καὶ ὑπ' αὐτῆς τέλεον ἐξικμάζεσθαι κἀντεῦθεν κακοποιὸς καὶ αὐτός· ὁ δὲ Ζεὺς μέσον κείμενος τούτων καὶ ἀμφοτέ-

1 περὶ M. 4 γὰρ καὶ P. 9 ἠσχόληται M. 10 ἐν omis. M. 12 τὸ τοιοῦτον P. 13 ἀπόνοιας P. 14 δαιμονῶσιν MT. 14-15 εἴ γε MT : οἵ τε P. 16 Cf. Lauchert, *Die Kanones*, 1896, p. 77 = Mansi, II, 563 s. 17 στειχοῦσι M. 18 βασιλεὺς P. μοναχός] Monachus τοῦ Παντοκράτορος cui missa est imperatoris epistula (p. 108, 5). 19 παῦσαι M. 19-20 ἀπαράγραπτοι M. 22 ss. Cf. Manuel, p. 111, 22. 25 κατὰ] Hic desinit T, f. 160ʳ. Pergit sine intervallo verbis ὁ προφήτης τοῦ θεοῦ Δανιήλ quae sequentis sunt epistulae, f. 229, l. 18, codicis M. 28 πολλῶν P. 31 μεταλαμβάνειν omis P. τέλειον P. 32 αὐτός P : ἀνωτάτω ut vid. M.

nem philosophum „ non ad Leonem magistrum referenda esse videntur fragmenta astrologica in codicibus servata (aliter censuit Krumbacher, *Gesch. Byz. Lit.*², p. 722 s., 621 s., cf. *Catal.*, I, p. 139; IV, p. 92 et passim).

ρων μεταλαμβάνων τῶν ποιοτήτων, εὔκρατός ἐστι διὰ τοῦτο καὶ ἀγαθοποιός· εἰ μὲν οὖν ταῦτα οὕτως ἔχει, καθὼς ἐκεῖνοί φασι, συνορᾶν πάντως ἄξιον ὡς οὐκ ὀρθῶς ἐντεῦθεν ὁ Ζεὺς εὔκρατος λέγεται εἶναι· εἰ γὰρ διὰ τὸ μέσον θερμοῦ τοῦ Ἄρεος καὶ ψυχροῦ τοῦ Κρόνου κεῖσθαι εὔκρατος ὁ Ζεύς, ἀνάγκη πᾶσα καὶ δύσκρατον λέγειν αὐτόν, ἅτε καὶ μέσον κείμενον δύο ποιοτήτων ξηρῶν· οὐ γὰρ μόνον θερμὸς ὁ Ἄρης ἀλλὰ καὶ ξηρός, καὶ οὐ μόνον ψυχρὸς ὁ Κρόνος ἀλλὰ καὶ ξηρός· εὔδηλον οὖν ἐντεῦθεν ὡς οὐκ εὔκρατος ὁ Ζεύς, εἴ γε καὶ πλέον τῶν ἄλλων μετέχει τοῦ ξηροῦ· εἰ μὲν ψυχρὸς καὶ ὑγρὸς ὁ Κρόνος ἦν, εἶχον ἄν τι καὶ λέγειν· τηνικαῦτα γὰρ κατ' ἐκείνους ὁ Ζεὺς ἐξ ἐναντίων ποιοτήτων ἔνθεν κἀκεῖθεν ἐπίσης κατακιρνάμενος συνεῖναι ἂν εὐκρασίᾳ καθωμολόγητο· νυνὶ δὲ πλέον τῶν ἄλλων μετέχων τοῦ ξηροῦ οὐκ ἀληθῶς εὔκρατός ἐστιν· εὐκραϲία γὰρ ἀληθὴς ἡ τῶν ποιοτήτων ἰσομοιρία κατὰ τὸν τὰ τοιαῦτα σοφὸν Γαληνόν. καὶ τί χρὴ πολλὰ λέγειν; εἰ μὲν οὖν αὐτὸν ἀφ' ἑαυτοῦ τὸν ἀστέρα φύσεως εὐκράτου δοξάζοντες ἦσαν, οὐ τοσοῦτον μυθολογοῦντες ἐφαίνοντο, ἐπεὶ καὶ βοτάνας οὐκ ὀλίγας ὁρῶμεν πάθη μὲν θεραπευούσας δεινά, λόγοις δὲ ὅμως τὸ παράπαν ἀρρήτοις· εἰ δὲ διὰ τὸ κεῖσθαι μέσον Κρόνου καὶ Ἄρεος τοιαύτην ἐνίστανται φύσιν τὸν ἀστέρα λαχεῖν, οὐδὲν τὸ κωλῦον αὐτοὺς μὴ καὶ τὸ μετόπωρον εὐκράτου λέγειν εἶναι φύσεως, ἅτε θέρους καὶ χειμῶνος μέσον κείμενον ὄν. καὶ ταῦτα μὲν τοῦτον ἔχει τὸν τρόπον.

Εἰ δ' αὖ ὡς θερμοῦγρον τὸν τοιοῦτον ἀστέρα εὔκρατον εἶναι ὁ Πτολεμαῖός φησιν, ἀλλ' οὐ μὲν οὖν καὶ τὸν περὶ τούτου λόγον ἑτοίμως οὕτω καταδεχόμεθα· ὅτι μηδὲ τὴν τοιαύτην κατάστασιν τὴν θερμὴν δηλαδὴ καὶ ὑγρὰν εὔκρατον εἶναι ὁμολογήσει τις, εἰ μὴ μᾶλλον δύσκρατον κἀντεῦθεν πολυειδέσι πάθεσι τὰ ἡμέτερα καθυποβάλλουσαν σώματα. καὶ πιστοῦσι τὸν λόγον αἱ νότιοί τε καταστάσεις, θερμαὶ οὖσαι καὶ ὑγραί, καὶ αὐτὰ δήπου τὰ κρέα τὰ τηνικαῦτα ταριχευόμενα. πρὸς τούτοις δὲ καὶ αὐτὴν τὴν λεγομένην δευτέραν ἢ καὶ τρίτην ἐπιδημίαν Ἱπποκράτους ἀνάγνωθι, κἀκεῖθεν ἀκριβέστερον μάθοις, ὡς αἱ θερμαὶ καὶ ὑγραὶ καταστάσεις, οὐκ εὐκρασίας εἰσὶ ποιητικαί, σηπεδόνος δὲ μᾶλλον παραίτιοι τοῖς ἡμῶν καθίστανται σώμασιν· εἰ δὲ ταῦτα οὕτως ἔχει, πῶς λοιπὸν ὁ Ζεὺς θερμὸς ὢν καὶ ὑγρὸς ἰσχυροποιεῖν λέγεται δι' εὐκρασίας τὰ ἡμέτερα σώματα, ἐπειδὰν συνοδεύῃ τῇ Σελήνῃ, κἀντεῦθεν ἀνεπιτήδεια ταῖς τῶν φαρμάκων πόσεσι καθιστᾶν, ἅτε τῶν χυμῶν οὐκ εὐπετῶς ἐφελκομένων διὰ τὴν ἐγγινομένην αὐτοῖς ἀπὸ τοῦ ἀστέρος ἰσχύν; παρακαλῶ καὶ τοῦτο μετὰ τῶν ἄλλων μαθεῖν,

9 μετέχειν P. 10 εἶχον ἂν M: εἶ ἀν (sic) P. 11 κατακρινάμενος M: κατακρινόμενος P: corr. 14 τὰ τοιαῦτα omis. M. 23 θερμοῦγρον verbum novum, cf. Ptolem., *Tetrab.*, I, 3, p. 18, 8, ed. 1553 : θερμαίνεται ἅμα καὶ ὑγραίνει. 25 τὴν omis. M. 26 εἶναι-δύσκρατον omis. M. 29 κρέη M. 31 Hippocr. opera ed. Kühlwein, I, 184 ss. μάθης (θ e corr.) P. 35 σώματα ἡμῶν P. 36 Cf. supra, p. 111, 22. 37 αὐτὴν M.

οὐδὲ γὰρ αἰσχύνομαι τὴν ἄγνοιαν ἐπὶ τούτοις ὁμολογεῖν. καὶ ταῦτα μὲν ἐς τοσοῦτον, ὅτι μηδ' ἐπὶ πλέον ἔπρεπεν ἡμᾶς ἐνδιατρίβειν τοῖς ἔξωθεν, ἀμαθεῖς ὄντας ὡς τὰ πολλὰ καὶ τῶν τοιούτων ἀμυήτους παντάπασι.

Περὶ δὲ τοῦ ἀστέρος ἐκείνου ὃν εἶδον οἱ μάγοι κατὰ τὴν χώραν αὐτῶν, ἀφ' οὗ τὸ τῆς ἀστρολογίας, ὥς φησι τὸ γράμμα, συνίσταται, τί χρὴ καὶ λέγειν; ἀσύμβατα γὰρ ὡς τὰ πολλὰ καὶ ἀνακόλουθα φαίνονται καὶ τὰ περὶ τούτου διειλημμένα τῷ γράμματι, εἴ γε καὶ μάλιστα τὸν χρυσορρήμονα καὶ θεῖον Ἰωάννην οὐκ ἀστέρα τῇ ἀληθείᾳ τὸν ἀστέρα ἐκεῖνον ἔχομεν λέγοντα, ἀόρατον δέ τινα δύναμιν εἰς ταύτην σχηματισθεῖσαν τὴν ὄψιν, καὶ οὐ λέγοντα μόνον ἀλλὰ καὶ ἐξ ἀναντιρρήτων τοῦτο παριστῶντα [τῶν] ἀποδείξεων· οὐδὲ γὰρ ἀστὴρ αὐτούς, ὡς ἐκεῖνός φησι, τοσαύτην ὁδὸν διήγειρε στείλασθαι, εἰ μὴ τὴν ψυχὴν αὐτῶν ὁ Θεὸς εἰς τοῦτο κεκίνηκε· μόνος γὰρ ὁ ἀστὴρ πρὸ πολλοῦ τῆς γεννήσεως χρόνου καὶ ταῦτα φανεὶς οὐκ ἂν αὐτοὺς εἰς Ἱεροσόλυμα ἤγαγεν· οὐκ ἂν ὁ φανεὶς ἀστήρ, εἴπερ ἀληθῶς ἦν ἀστήρ, ἐξ ὕψους τε συγκατῆλθε καὶ τῷ τικτομένῳ παιδίῳ παραδόξως ἐφέστηκε, τὰ κατ' αὐτοῦ τε πάντα τοῖς μάγοις δεδήλωκεν· οὐκ ἂν ἄφαντος μετὰ τὴν ἐκείνων προσκύνησιν γέγονεν. ἐπειδὴ γὰρ εὐμεθόδως ἤγαγεν αὐτοὺς ὁ τεχθεὶς καὶ πρὸς τὴν φάτνην ἔστησε, πρὸς τὴν ἀληθῆ τε γνῶσιν ἐχειραγώγησεν, οὐκέτι δι' ἀστέρος ἀλλὰ δι' ἀγγέλου λοιπὸν αὐτοῖς διαλέγεται « χρηματισθέντες γάρ, φησί, κατ' ὄναρ, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν· » οὐκοῦν θεῖος ἄγγελός τις ἦν ὁ ἐκ Περσίδος τοὺς μάγους τότε καλῶν· καὶ ἦν μὲν εἰκὸς ὀπτασίᾳ τινὶ θειοτέρᾳ τοὺς ἄνδρας ἐκείνους ἀνάγεσθαι πρὸς Ἱεροσόλυμα. ἀλλ' ἵνα μὴ πρὸς ἀήθη καὶ φοβερὰν ἀπιδόντες ὄψιν εὐθέως ἀποπηδήσωσιν οἱ καλούμενοι τῷ ξένῳ καταπλαγέντες, ὡς εἰκός, τοῦ θεάματος, εἰς εἶδος ἀστέρος ἡ ἀσώματος φύσις οἰκονομικῶς πάντως ἀμείβεται· καὶ γὰρ εἰ μὴ συγκαταβάσει τοιαύτῃ ἐχρήσατο, εἰ μὴ σχῆμα τοῖς ἀστρολόγοις ὑπέδειξε σύνηθες, οὐκ ἂν εὐκόλως τὸ θήραμα ἤγρευσεν, οὐκ ἂν εἰς Ἱεροσόλυμα ἤγαγεν, ἐπεὶ καὶ τὸν ἰχθὺν οὐκ ἂν ἄλλως ἐκ τῶν θαλαττίων βυθῶν ἀνελκύσαι ἰσχύσωμεν, εἰ μή γε τὸ ἄγκιστρον πρότερον δελεάσματί τινι συσκιάσωμεν. οὕτω μὲν οὖν καὶ ὁ παμμέγας εὕρηται Παῦλος ποιῶν ἀπὸ βωμοῦ τοῖς περὶ βωμοὺς ἠσχολημένοις Ἀθηναίοις διαλεγόμενος, καὶ μετὰ περιτομῆς τοῖς Ἰουδαίοις δημηγορῶν· φίλα καὶ γὰρ ἑκάστῳ τὰ συνήθη, καὶ εἰ μὴ τοῖς λεγομένοις, αὐτοῖς τοῖς πράγμασιν πείθεσθαι

1 ὁμολογῶν M. 3 ἀμαθὴς P. 5 cf. Manuel, p. 113, 14 ss. 6 τοὺς τῆς P. 9 Iohann. Chrysost., *Homil. in Matt.*, VI, 1 (Migne, *Patr. Gr.*, t. LVII, c. 64). 12 παριστῶν τὰ τῶν ἀποδ. codd. γὰρ omis. P. 13 μὴ γὰρ P. 16 εἴπερ omis. P. 17-18 κατ' αὐτὸ M. 22 Matth., 2, 12. χρηματισθέντας codd. 23 ἀνεχώρησεν M. τις ἄγγελος P. 25 ἀμείβεσθαι P. πρὸς M : εἰς P. 29 καί μὴ P. 32 ἄγκυστρον P : ἄγγιστρον M. 33 Act. apost., 17, 23. 34 τῆς περὶ. ἠσχολαμένοις codd. 35 Cf. Epist. Rom , 2, 25.

ἄξιον· προσελθόντων γὰρ ἐκείνων καὶ πιστῶς προσκυνησάντων καὶ τῇ κατὰ Χριστὸν ἀπλανεῖ γνώσει βεβαιωθέντων, τὸ μὲν ἀστρῷον ἐκεῖνο τηνικαῦτα εἶδος συνεστάλη, ὅτι μηδὲ χρεία τούτου λοιπὸν ἦν, δι' ὀνείρων δὲ ὅμως καὶ διαλέγεται αὐτοῖς ὁ θεῖος ἐκεῖνος ἄγγελος. καὶ πείθει δι' ἑτέρας ἐπαναζεῦξαι ὁδοῦ πρὸς τὴν χώραν αὐτῶν, οὐ μαγείαις καὶ ἀστράσι καθὰ καὶ πρῴην προσέχοντας, ἀλλ' αὐτὴν τὴν τοῦ Χριστοῦ παρουσίαν μεγαλοφρόνως κηρύσσοντας. ταῦτα μὲν οὖν ὁ χρυσορρήμων Ἰωάννης καὶ ἕτερα τούτων ἐπεξηγούμενος πλείονα οὐ τὴν τυχοῦσαν ἡμῖν ἀμφιβολίαν προὐξένησε· ἣν δὲ καὶ συμβιβασθῆναι παρακαλοῦμεν, εἰ καὶ γενέσθαι τοῦτο ἄλλως ἀμήχανον, εἰ μή γε διὰ ζώσης φωνῆς, ὡς δοῦλος καὶ δούλων ἔσχατος. F. C.

Refutatio imperatoris Manuel non est solum opusculum ubi Glycas Patrum auctoritate nisus astrologiam, quam iudiciariam dicimus, condemnet. De eadem brevius et strictius agit in epistula quadam cui est titulus Εἰ χρὴ μαθηματικὴν ἐπιστήμην ἀποτρόπαιον ἡγεῖσθαι παντάπασιν. Cuius versus quosdam ex codice Parisino (f. 93) delibare nobis liceat, quo magis perspicuum fiat quid de ea re celeberrimus scriptor censuerit.

Τὰ τῆς μαθηματικῆς ἐπιστήμης εἰς δύο ταῦτα, θεοείκελε ἀνήρ, ἀστρονομίαν τε καὶ ἀστρολογίαν διῄρηται, καὶ ἡ μὲν ἀστρονομία καὶ τοῖς ἁγίοις αὐτοῖς συγκεχώρηται, ἅτε δὴ τὴν τῶν οὐρανίων ἁπάντων διδάσκουσα θέσιν τε καὶ κίνησιν καὶ τὴν εὔτακτον αὖθις αὐτῶν συμπλοκὴν καὶ διάστασιν, ἐπεὶ καὶ τὸν ἐν τοῖς ἀστράσιν τεταγμένον ἄγγελον, τὸν θεῖον δηλαδὴ Οὐριήλ, πρός γε τὸν Σὴθ κατιέναι καὶ τὸν Ἐνὼχ[1] κἀντεῦθεν αὐτοῖς ὑποδεῖξαι τροπὰς ὡρῶν καὶ ἐπισημασίας ἀστέρων ἐκ παλαιᾶς ἠκούσαμεν ἱστορίας. ἀφ' ὧν ἡ ἀκατάληπτος τοῦ Θεοῦ σοφία καὶ δύναμις τοῖς ἀνθρώποις ὡς ἐφικτὸν καταλαμβάνεσθαι εἴωθε. — Caelestium corporum motus, temporum anni mutationes, Solis cursum etc. studere licet : (f. 94) Ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα τοὺς πιστοὺς ἀνερευνᾶν ἄξιον κἀντεῦθεν ὑπερεκπλήττεσθαι τὴν ἄρρητον τοῦ Θεοῦ καὶ σοφίαν καὶ δύναμιν ... Καὶ περὶ μὲν τούτων οὕτως.

Ἡ δὲ ἀστρολογία τουτέστιν ἡ ἐκεῖθεν προμάντευσις ἡ καθ' εἱρμὸν δῆθεν τῶν οὐρανίων ἐκβαίνουσα [l. ἐκφαιν.?] καὶ τὸ μέλλον γνωρίζουσα οὐδαμοῦ τοῖς πατρά-

2 γνώσει (ει e corr.) P. 3 συνεστάλη τηνικαύτα εἶδος P. 11 Servum imperatoris se ipsum nominat Glycas.

---

[1] Cf. *supra*, p. 118, n. 1. — De Henoch astrologiae inventore, cf. Bouché-Leclercq, *Astrol. grecque*, p. 578, 1, passim. — In libro Henoch Slavonico narratur prophetam 366 libros scripsisse calamo orationem angeli Uriel excipientem. — Henoch eundem atque Hermetem Trismegistum esse autumat Bar-Hebraeus, *Chron. Syriac.*, p. 5, ed. Bruns et Kirsch.

σιν ἐνδέδοται, ἅτε τοὺς ἁπλουστέρους καὶ μᾶλλον ἀποπλανήσασα, γενέσει τε καὶ εἱμαρμένῃ προσέχειν καταναγκάσασα· καὶ τούτου χάριν μὴ θαύμαζε, εἴ γε ὁ Ἐζεκίας ἐκεῖνος τὰς τοῦ Σολομῶντος ἀρρήτω [l. τους] βίβλους, καὶ ταῦτα σοφίᾳ ἐμπνευσθείσας καὶ γραφείσας, πυρὶ παραδέδωκε, ἅτε εἰς Θεὸν καὶ μόνον ἀναρτᾶν τὰς ἐλπίδας βουλόμενος καὶ μὴ ἔνθεν κακεῖθεν περιπλανᾶσθαί τε καὶ ἀπάγεσθαι· πολλῷ μᾶλλον τοὺς ἁγίους πατέρας ἐχρῆν ὅλαις χερσὶν τὴν περὶ τὰ τοιαῦτα παρεμποδίζειν ἀσχόλησιν, ὅτι μηδὲ δι' ἀγγέλους δεδώρηται, ὡς ἄνωθεν εἴρηται. πῶς καὶ γάρ, εἴ γε παρὰ τῶν Χαλδαίων αὐτῶν κακοβούλως τὰ τοιαῦτα ἐφεύρηται; τοῦ γὰρ ποιητοῦ πάντων ἐπιλαθόμενοι Θεοῦ γενέσει καὶ εἱμαρμένῃ τὴν τῶν ἁπάντων ἀνέθεντο κακοφρόνως διοίκησιν καὶ « καθὼς γάρ, φησὶ ὁ μακάριος Παῦλος (Rom. I, 28) οὐκ ἐδοκίμασαν τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς εἰς ἀδόκιμον νοῦν τοῦ ποιεῖν τὰ μὴ καθήκοντα ». ὅθεν καὶ δικαίως τοῖς ἱεροῖς κανόσι τὰ τοιαῦτα ἠθέτηται, ὡς ἀπὸ Θεοῦ διιστῶντας τοὺς ὅλῃ ψυχῇ περίπου τὴν ἀστροθεάμονα κεχηνότας ἀσχόλησιν, εὐπραγίαν τε καὶ δυσπραγίαν ἐκεῖθεν κατάγοντας καὶ τὰ ἄλλα πάντα τὰ τῷ βίῳ καθ' ἑκάστην ἀπροσδοκήτως συμπίπτοντα· ταύτην τοι καὶ εἱμαρμένην μὲν οὐδὲ ἡμεῖς ἄν ποτε ἀποδεξώμεθα, ὅτι καὶ προσπταίει τῇ ἀληθείᾳ τοῦ ὀρθοῦ τε φρονήματος ἐκκυλίεσθαι ταύτην διαγινώσκομεν. εἰ γὰρ καὶ ἄκων ὁ κακὸς κακός, ὡσαύτως ὁ καλὸς ἄκων καλὸς ἐκ κοιλίας μητρὸς ἐξέρχεται· φυσικὴ λοιπὸν ἥ τε κακία καὶ ἡ ἀρετὴ κατὰ τὸ Μανιχαϊκὸν ἐκεῖνο καὶ ἄθεον φρόνημα, καὶ οὔτε οὗτος ἐπαίνων οὔτε ἐκεῖνος κολάσεων ἄξιος ἅτε τῆς εἱμαρμένης ἐπί τε κακίαν καὶ ἀρετὴν ἠναγκασμένως συνωθούσης αὐτῆς [l. αὐτόν]· ἀλλὰ καὶ ἄδικος ἐντεῦθεν εὑρεθείη ἂν ὁ Θεός, εἴπερ τῷ ἀκουσίως ἁμαρτάνοντι πυρὸς ἠτίμασε γέενναν· ταῦτα μὲν οὖν ἐννοοῦντες τύχην ἢ εἱμαρμένην οὐκ ἄν ποτε εἶναι καταδεξώμεθα, καθὰ δὴ καὶ φθάσαντες εἴπομεν. προορᾶν δὲ τοὺς ἀνθρώπους τὰ ἔμπροσθεν καὶ τῆς τῶν ἀστέρων κινήσεώς τε καὶ τάξεως καὶ ὡς δύναμις τοῦ μέλλοντος ἐκεῖθεν καταστοχάζεσθαι καὶ ἡμεῖς πάντως κατατιθέμεθα, εἴ γε καὶ μᾶλλον ἱερὰς ἀνέγνωμεν βίβλους ἐν αἷς ἄρα καὶ τοιαῦτά τινα συμπεριείληπται, καὶ τέως, εἴ γε βούλει, τοῦ μεγάλου Βασιλείου πρὸ τῶν ἄλλων ἄκουε κατὰ λέξιν λέγοντος.

Haec comprobare nititur Glykas (f. 94ᵛ-95) multis Patrum et Scripturae testimoniis allatis, et sic denique concludit et perorat.

Ἐκ τούτων οὖν πάντων μάνθανε, ὦ ἱερὰ κεφαλή, ὡς εἱμαρμένη μὲν καὶ γένεσις παντάπασιν ἀπαγορεύεται· τὸν κατ' εἰκόνα καὶ γὰρ Θεοῦ πλασθέντα λογικὸν αὐτεξούσιον ἄνθρωπον οὐκ ἂν φυσικαῖς ἀνάγκαις ὑποκεῖσθαι καταδεξώμεθα. προγνωστικὴν δέ τινα τοῖς ἀνθρώποις δεδόσθαι δύναμιν, καθὰ καὶ φθάσας ὁ λόγος ὑπέδειξεν, οὐ τοσοῦτον ἀπέοικε, δι' ἣν αἰτίαν εἰρήκαμεν, εἰ καὶ παρὰ τῶν ἁγίων πατέρων ἐνασχολεῖσθαι τούτοις οὐ συγχωρούμεθα, ὅτι μηδὲ ἐς τὸν (?) λόγον ὀρθὸν αὐτοῖς ἀποχρώμεθα. F. C.

Ex libris Mysteriorum Apomasaris.

Abû Ma'šar Dja'far ibn Muhammed el-Balkhî, mortuus die 9 Martii anni 886 in urbe Wâsit, omnium astrologorum qui saeculo IX Bagdadae floruerunt celeberrimus est [1]. Ex compluribus libris quos scripsit nonnulli iam latine versi atque typis expressi sunt [2]. Opus autem cui graecus interpres titulum indidit τῶν μυστηρίων τοῦ Ἀπομάσαρ, ad hunc diem in codicibus latuit [3], nec revera totum ipsius Apomasaris est.

Quod iam ex initiis capitum apparet quae scriptorem cum Apomasare colloquentem inducunt: Εἰπέ μοι ὁ Ἀπομάσαρ, Εἶπον τῷ Ἀπομάσαρ passim repetitur; (cf. f. 49, νε', Ἦλθέ τις ἐμοῦ παρόντος πρὸς τὸν Ἀπομάσαρ ... et infra capp. ζ', μ', νδ', πη', ϛς', etc.). Quis autem scriptor ille sit, ex versione latina comperimus, quae in codice Bruxellensi 1464, saec. XV, " olim Carthusiensium in Colonia ", invenitur [4]. Cui titulus est decurtatus (f. 62) *Albumazar in Sadan*, sed rectius in calce opusculi legitur (f. 76): ***Expliciunt excerpta de secretis Albumasaris per Sadan discipulum cuius et vocatur liber Albumasaris in Sadan.*** Textus ex exemplari graeco ad verbum expressus est, sed quae exemplar ipsum continebat, a " Mysteriis " codicis Angelici valde discrepabant. Ne quis dubitet ex graeco fonte latina manavisse, versus quosdam codicis Bruxellensis duobus fragmentis nostris subiunximus.

Plenius autem et titulus libri arabici et nomen auctoris produntur in opere de temporum rationibus doctissimi astronomi Albîrunî circa a. 1000 p. C. conscripto. Quod, interprete Eduardo Sachau [5], haec habet p. 94: *Of this same 'Abû-Ma'shar Albalkhî the following story is related by 'Abû Sa'îd Shâdhân in his* Kitâb almudhâkarât-bil'asrâr (i. e. *the book in which he brings mysterious subiects before the mind of the reader*): *The nativity of a son of the king of Serendib (Ceylon) was sent to him...* Quaestio tractatur quot annos vitae humanae Saturnus decernat. De hac ipsa quaestione in versione graeca caput νδ' libri II agit (f. 50), quod his verbis incipit: Ἀπέσταλον πρὸς τὸν Ἀπομάσαρ γενέθλιον τοῦ υἱοῦ τοῦ βασιλέως τῶν Ἰνδῶν [6].

Šâḏâni liber procul dubio apud scriptores Arabicos saepius citatur. Duos locos attulit Carolus Dyroff, qui primus et scriptorem et librum in codicibus latinis

---

[1] De vita eius, cf. Suter, *Die Mathematiker und Astronomen der Araber*, p. 28, n° 53; Dyroff apud Boll, *Sphaera*, p. 482 ss.

[2] Cf. Houzeau et Lancaster, *Bibliographie génér. de l'astronomie*, Bruxelles, 1887, t. I, p. 702 ss.; Suter, *l. c.*, p. 28 s.

[3] Frustula tantum quatuor in *Catal.*, t. IV, p. 124 ss. invenies.

[4] Eadem exstat et in cod. Monacensi Clm. 826, f. 11 ss. (cf. Dyroff apud Boll, *Sphaera*, p. 421) et in codice Oxoniensi (Houzeau et Lancaster, p. 704, n° 3844).

[5] Albîrunî, *The chronology of ancient nations*, translated by Edward Sachau, London, 1879.

[6] Versio latina in codice Bruxellensi similiter incipit verbis f. 69: *Dixit Aposaytes misi* (sic) *ad Albumasarem nativitatem filii regis Indorum.*

obvios recte indicavit (apud Boll, *Sphaera*, p. 481)[1]. Idem ex nostro libro (p. 145) totam illam narrationem de viro coram chalifa Almamûn opus propheticum sibi arrogante apud Ibn al Qiftî (p. 358 sq. ed. Lippert) inveniri monet. Arabice quoque librum Sadani exstare in codice Cantabrigiensi certiorem me fecit Henricus Suter[2], quod Dyroff quoque suspicatus erat.

Ceterum in commentariis suis 'Abû Sa'îd Shâdhân sexcenties se ipsum nominat, nam Arabum more sententiam suam saepe introducit verbis : Εἶπεν ὁ 'Αποσαίτ, vel : Εἶπεν ὁ Σαδᾶν (lib. II, α', β', λε', μ', ν', νζ', νξ', etc.).

Itaque habemus librum ubi Apomasaris discipulus Abû Sa'îd Shâdhân, post mortem magistri, ut videtur, sermones et colloquia eius, velut fere Xenophon in Memorabilibus Socratis, collegit. Sed haec partem tantum graecorum " Mysteriorum " efficiunt, nam interpres excerptorum more ex scriptis quoque Apomasaris, ut supellex lautior videretur, nonnulla inseruit, velut caput de figuris decanorum (v. infra p. 156) quod primum est sexti libri " Introductorii maioris " (Boll, *Sphaera*, p. 481 ss.)[3]. Item caput κβ', lib. III (f. 77v), quod chorographiam astrologicam praebet est sine ullo dubio c. 8 lib. VII Introductorii, nam et capita κβ'-κς' eodem ordine atque in Introductorio disponuntur. Item capita ιε'-ιζ' ex libro V, cap. 9-17, excerpta sunt. Quae necessitudo ut cuivis manifesta fiat, capiti Περὶ τῆς φύσεως τῶν ζ' πλανητῶν, quod edimus (p. 154), textum Introductorii apposuimus. — Titulum homo byzantinus ex alio opere deprompsisse videtur, nam notus est liber " de Astrorum secretis " Apomasari adscriptus, cuius codices in Aegypto et in Hispania inveniuntur[4]. Vereor quoque ne excerpta aliunde surrepta velut ex Theophilo

---

[1] En habes versionem Germanicam illorum duorum locorum a Carolo Dyroff comiter nobis missam : 1° in notis Fluegeli ad Fihrist, II, p. 110 infra, quaedam citantur quae Ibn al Quiftî secundum Apomasarem de 'Umar ibn al Farruchân astronomo et interprete tradit ; deinde Ibn al Qiftî († 646 hegirae = 1248 p. Chr. n.) sic pergit (cf. edit. Lipperti, p. 242, 5) : " Ferner erwähnt Abû Ma'šar im Kitâb " almudâkarât " (i. e. fere " Quaestiones et responsa ", cf. Dozy, *Suppl. aux dict. arab.*, I, 487 ; cui titulo addendum est " de secretis astrologiae ", cf. locum Albîrûni supra citatum). " das Shâdân ibn Baḥr (? : nomen patris Dyroffio cor- " ruptum videtur) " verfasst hat, dass al Faḍl ibn Sahl, genannt dû 'lrijâsatain, " der Vezier des Al Ma'mûn, den 'Umar ibn al Farruchân aus seinem Wohnort " herbeirief und mit al Ma'mûn bekannt machte, worauf er (für Ma'mûn) viele " Bücher übersetzte und iudicia aufstellte, die sich noch heute im Reichsarchiv " vorfinden " etc. — 2° Ibn Abî Uṣaibi'a († 668 hegirae = 1269 p. Chr. n.), I, p. 207, in capitulo de Alkindî init., eius versionibus Arabicis laudatis, haec scribit : " Abû Ma'šar sagt im Kitâb almudâkarât, das Shâdân verfasst hat : Die besten " Uebesetzer im Islâm sind diese vier : Ḥunain ibn Isḥâq, Ja'qûb ibn Isḥâq al " Kindî, Ṯâbit ibn Qurra al Ḥarrânî und 'Umar ibn al Farruchân al Ṭabarî ".

[2] Ed. Browne, *A hand-list of the Muham. manuscripts in Cambridge*, 1900, n° 1208.

[3] Quat. *f*, fol. 3 ss. in editione Veneta anni 1506 (*Introductorium in astronomiam Albumasaris Albalachi*, Venetiis, expensis Melchionis Sessa) quam bibliothecae Monacensis praefectus liberalissime mihi commodavit.

[4] Suter, *Mathem. und Astron. der Araber*, p. 29 ; Houzeau et Lancaster, *op. cit.*, p. 703, n° 3825.

Edesseno (cf. f. 21. capp. ΖΕ' ss.), quo maiorem reverentiam doctrinae inculeret, Apomasaris mysteriis per fraudem addiderit.

Nec cuiusnam ope nec quo tempore dissimilia haec ita commixta sint, satis constat. Ex editis quidem aetas accuratius definiri nequit: Astrorum longitudines in lib. III, c. λβ', notatae ansam praebere potuissent, sed cum falsae sint, nihil inde proficimus (v. infra). Si lectio codicis Vindobonensis 1, f. 204ʳ, (*Catal.*, VI, p. 4) ἅπερ Ἀπουμάξαρ Βαβυλώνιος γράφει, sana esset, Ioannes Kamateros saeculo XII Apomasarem versibus ornavisset, sed revera Massalae nomen ibi legendum est (cf. Kamateros, ed. Miller, v. 1144). Hoc tantum affirmare possumus interpretem scripsisse post saeculum IX — nam Apomasar, magister Sadani, ut diximus, a. 886 mortus est — et ante saec. XIII — nam in codice Vindobonensi 115 (= 2) ante annum 1241 p. C. exarato nomen eius plus semel apparet[1]. Et in hoc acquiescendum est. F. C.

F. 42ᵛ, lib. II. γ'. Περὶ τοῦ ὅτι τῆς Σελήνης τετραγωνιζούσης τὸν Ἄρην λῃσταῖς περιπίπτει <ὁ> ἀποδημίας ποιησάμενος καταρχήν.

Εἶπεν ὁ Ἀπομάσαρ ὅτι κατά τινα καιρὸν μετά τινων συνοδοιπορῶν μέλλων ἀπελθεῖν εἰς τὸ Βαγδὰν ἠπλίκευσα ἐν τῷ Ῥὲ[2] παρά τινος φίλου μετέχοντος ποσῆς ἀστρολογίας καὶ ἠρώτησέ με· « πῶς ἐστιν αὔριον ἡ Σελήνη; » καὶ εἶπον αὐτῷ ὅτι τετραγωνίζει τὸν Ἄρεα, καὶ εἶπέ μοι· « Λοιπὸν αὔριον μὴ ἀποκινήσῃς. » εἶπον δὲ αὐτῷ· « πίστευσον, οὐδὲ ἐγὼ θέλω ἢ προθυμῶ ἀποδημῆσαι ἐν τοιαύτῃ ἡμέρᾳ, ἀλλ' οἱ ἀγωγιάται μου μὴ ἀκούσωσιν ἡμῶν. » καὶ εἶπε· « δοκιμάσωμεν αὐτούς. » εἶπον δὲ ἐγὼ τοῖς ἀγωγιάταις· « ἄνθρωποι, αὔριον κακὴ ἡμέρα ἐστὶ καὶ καρτερήσετε καὶ ἐγὼ θρέψω τὰ ἄλογα ὑμῶν. » καὶ οὐκ

Cod. Bruxell. 1464. F. 62: Dixit Albumasar: quodam tempore cum quibusdam viatoribus ibam in Baldach et applicui ire (*sic*) apud quemdam amicum meum participantem aliquantulum astronomiae et quaesivit a me quomodo in crastino esset luna et dixi ei: " tetragonisat Marti ". Et dixit mihi: " ergo non recedes. " Et dixi ei: " nec volo neque propono recedere in tali die sed vectuarii non audient nos ". Et dixit: " Probemus ipsos ". Dixit autem vectuariis: " Homines, cras malus est dies, expectate et ego pascam animalia vestra ". Et non acquieverunt. Ego autem dimisi eos abire et remansi apud amicum. Quando autem debebant recedere,

3 ὁ suppl. Kroll. ἀποδημίαν cod. 5 L. Βαγδαδὰν? At cf. *infra*, p. 151, 12. ἠπλήκευσα cod.

[1] *Catal.*, VI, p. 16 ss. Cf. ff. 114, 118, 120; Usener, *Ad histor. astron. symbola*, 1876, p. 26 hoc iam animadvertit.

[2] Ῥὲ vel *potius* Ῥαΐ, i. e., Ραγαΐ haud longe ab urbe Teherân, cf. *Catal.*, IV, 127, 4.

ἐπείσθησαν, ἐγὼ δὲ ἀφῆκα αὐτοὺς ἀπελθεῖν καὶ ἐκαρτέρησα παρὰ τῷ φίλῳ· ὅτε δὲ ἔμελλον ἐκεῖνοι ἀποκινῆσαι ἐκράτησα τὸν ὡροσκόπον καὶ εὗρον τοῦτον Ταύρῳ καὶ ὁ Ἄρης ἦν ἐν αὐτῷ, ἡ δὲ Σελήνη ἦν ἐν τῷ Λέοντι τὸν Ἄρεα τετραγωνίζουσα· εἶπον δὲ αὐτοῖς· « Διὰ τὸν Θεόν, μὴ ἀποκινήσητε τὴν ὥραν ταύτην. » καὶ κατεγέλασάν μου καὶ ἀπῆλθον· εἶπον δὲ αὐτῷ τῷ φίλῳ μου· « πίστευσον, λυποῦμαι τοὺς ἀνοήτους τούτους ἀνθρώπους ». καὶ ἡμεῖς ἐκαθίσαμεν καὶ ἐφάγομεν καὶ ἐπίομεν. ἔτι δὲ ἡμῶν πινόντων ἦλθόν τινες ἀπὸ τοῦ καρβανίου τετραυματισμένοι, περιέπεσον γὰρ λῃσταῖς καί τινες μὲν ἐξ αὐτῶν ἐφονεύθησαν, ἕτεροι δὲ ἐτραυματίσθησαν καὶ ἀφείλοντο οἱ λῃσταὶ ὅσα ἐπεφέροντο· οἱ δὲ σωθέντες ἦλθον κατ' ἐμοῦ μετὰ λίθων καὶ ῥάβδων λέγοντες ὅτι « τῇ ὑποβολῇ σου ταῦτα ἐγένοντο ἵνα βεβαιώσῃς τὸν λόγον σου. » καὶ βίαν ἔπαθον ἵνα σωθῶ, καὶ ἔκτοτε ὤμοσα ἵνα μὴ συντύχω ἰδιώτῃ ἀνδρὶ περὶ ἀστρονομικῆς ἐπιστήμης.

(f. 62r) observavi horoscopum et inveni hunc Taurum (*l.* Tauro) et in ipso Marte (*l.* Martem); Luna autem erat in Leone Marti tetragonisans. Dixi autem eis: " Propter Deum, non recedatis ista hora ". Qui deriserunt me et abierunt. Dixi autem amico meo: " Contristor super eos homines imperitos ", et nos sedimus et comedimus et bibimus. Adhuc autem nobis bibentibus venerunt quidam de societate salvati. Inciderant enim in latrones et quidam eorum interfecti sunt, alii vulnerati, et abstulerunt latrones quodcumque portabant. Qui autem salvati sunt, venerunt ad me cum lapidibus et fustibus dicentes quia " superstitucione (*sic*) tua haec facta sunt ut confirmares verbum tuum ", et vix evasi et tunc iuravi quod non conferirem (?) cum viro ydiota de scientia astronomiae. F. C.

F. 42v. ε'. Περὶ τοῦ γνῶναι εἰ ἀληθεύει τις ἢ ψεύδεται προφήτην ἑαυτὸν ἀποκαλῶν.

Εἶπεν ὁ Ἀπομάσαρ ὅτι· εἶπέ μοί τις τῶν φίλων ὅτι εἰσῆλθον ἀπὸ τοῦ βασιλέως Μαμοῦν[1] καὶ παρίσταντο πολλοὶ ἐπιστήμονες, παρίστατο δὲ αὐτῷ καί τις λέγων ὅτι δύναμαι [f. 43] ποιῆσαι τέρατα. καὶ δι' αὐτὸν προσεκαλέσατο ὁ Μαμοῦν τοὺς κριτάς· εἶπεν ὁ Μαμοῦν τοῖς ἀστρονόμοις· « Κρατήσατε ὥραν καὶ ἴδετε ἀπὸ τοῦ ὡροσκόπου ἆρά γε ἀληθεύει ὁ ἄνθρωπος οὗτος ἢ ψεύδεται. » εἶδον οἱ ἐπιστήμονες τὸν ὡροσκόπον· ἔτυχε δὲ ὁ Ἥλιος καὶ ἡ Σελήνη ἐν τῷ ὡροσκόπῳ συνοδεύοντες ἀλλήλοις κατά τε τὰς μοίρας καὶ τὰ λεπτά, ἔτυχε ὁ κλῆρος τῆς τύχης καὶ ὁ κλῆρος <τοῦ> δαίμονος ἐν ἑνὶ λεπτῷ ὡροσκόπου ποιοῦντες, ἔτυχε δὲ ὡροσκοπῶν ὁ Αἰγόκερως. ὁ δὲ Ζεὺς ἦν ἐν τῇ Παρθένῳ συσχηματιζόμενος πρὸς αὐτόν, ἔτι δὲ καὶ ἡ Ἀφροδίτη καὶ ὁ

1 αὐτὸν cod. 13 ἰδιώτῃ] τη superscr. 35 τοῦ omis. cod. 35-36 ὡροσκοποῦντες coni. Kroll.

---

[1] Chalifa Al.-Mamoun qui a. 813-833 p. C. regnavit.

Ἑρμῆς. εἶπον οἱ ἐπιστήμονες πάντες ὅτι « εἰς ἅπερ προβάλλεται ἀληθεύει. » ἐγὼ δὲ ἐσιώπησα μόνος εἷς τῶν ἐπιστημόνων· εἶπεν οὖν μοι ὁ βασιλεύς· « σὺ οὐ λαλεῖς. » καὶ τότε εἶπον ὅτι « οὗτος ὁ ἄνθρωπος ἔχει τέχνην Ἀφροδισιακὴν καὶ Ἑρμαϊκήν, ἐν αἷς τερατολογεῖ, καθόλου δὲ τέρατα οὐ ποιεῖ. » εἶπεν οὖν μοι ὁ βασιλεύς· « πῶς εἶπες τοῦτο ἢ δι' ἣν αἰτίαν; » εἶπον αὐτῷ ὅτι « τὰ ἀληθῆ προβλήματα σημαίνει ὁ Ζεὺς εἰ τάχα καὶ ἐφορᾷ τὸν ὡροσκόπον, ἀλλ' οὖν ἐναντιώματα αὐτοῦ ἐστίν. » εἰπέ μοι ὁ βασιλεύς· « ὁ Θεὸς εὐλογήσει σε. » εἶτα εἶπε πρὸς ἡμᾶς· « γνωρίζετε τὸν ἄνθρωπον τοῦτον; » εἴπομεν· « οὔ. » εἶπε δὲ ἡμῖν ὁ βασιλεύς· « οὗτος ὁ ἄνθρωπος ἐπικαλεῖ ἑαυτὸν προφήτην. » εἶπον οὖν τῷ βασιλεῖ· « ἐρώτησον αὐτὸν εἰ δύναταί τι ποιῆσαι σημεῖον. » ἐρώτησεν οὖν αὐτὸν ὁ βασιλεύς· « τί δύνασαι ποιῆσαι σήμερον ἵνα πιστεύσωμεν ὅτι προφήτης εἶ; » καὶ ἀπεκρίθη αὐτὸς λέγων ὅτι « ἔχω δακτυλίδιον ἔχον διβλημίδ(ιον?), φορῶ αὐτὸ καὶ οὐκ ἀλλοιοῦμαι, ἐὰν δὲ φορέσῃ ἄλλος, γελᾷ διηνεκῶς, κἂν μὴ θέλῃ, καὶ οὐ παύσεται γελᾶν μέχρι ἂν ἐκβάλῃ ἐκ τῆς χειρὸς αὐτοῦ τὸ δακτυλίδιον· καὶ ἔχω κονδύλιον καὶ ὅτε θέλω γράφω μετ' αὐτοῦ, ἄλλος δὲ εἰ βούλεται γράψαι μετ' αὐτοῦ, οὐ δύναται, ἀλλὰ ναρκᾷ ἡ χεὶρ αὐτοῦ. » εἶπον οὖν τῷ βασιλεῖ· « αὕτη ἡ πρᾶξις, ἡ μέν ἐστιν Ἀφροδισιακή, ἡ δὲ Ἑρμαϊκή, καὶ ταῖς τοιαύταις μεθόδοις ἐντετύχηκεν οὗτος ὁ ἀνὴρ ἐν ταῖς στοιχειωματικαῖς βίβλοις. » καὶ ὡμολόγησεν ὁ ἄνθρωπος τὸ τοιοῦτο καὶ κατέλειψε τὸ ὀνομάζειν ἑαυτὸν προφήτην. ἐχαρίσατο οὖν αὐτῷ ὁ βασιλεὺς ι' ͵α· μετὰ δὲ τὸ ἐξελθεῖν ἡμᾶς ἐκ τοῦ βασιλείου ὡμίλησα τῷ τοιούτῳ ἀνδρὶ καὶ εὗρον αὐτὸν πάντων τῶν ἐπιστημόνων ἀκριβέστερον καὶ ἐπιστημονικώτερον. ἐποίησεν οὗτος <ὁ> ἀνὴρ ἐν τῷ Βαγδᾷ στοιχειωματικὰ τῶν καλλιγράφων. εἶπε δὲ ὁ Ἀπομάσαρ· « εἰ παρῆν ἐγὼ τότε μετὰ τῶν ἐπιστημόνων, εἶπον ἂν ἅπερ ἔλαθον ἐκεῖνοι καὶ ὅτι ψεύδεται ὁ τοιοῦτος ἀνὴρ προφήτην ἑαυτὸν ἀποκαλῶν διὰ τὸ τυχεῖν τὸν ὡροσκόπον τροπικὸν ζῴδιον καὶ διὰ τὸ τυχεῖν τὸν Δία ἐν τῷ ἰδίῳ ἐναντιώματι καὶ τὴν Σελήνην εἶναι ὑπ' αὐτοῦ, ἔτι δὲ καὶ διὰ τὸ τυχεῖν τὸν Ἑρμῆν καὶ τὴν Ἀφροδίτην ἐν πλαστικῷ ζῳδίῳ ὅπερ ἐστὶ Παρθένος. » F. C.

F. 43ᵛ. Ζ'. Περὶ τοῦ ὅτι τὴν θρησκείαν τοῦ προφήτου τῶν Σαρακηνῶν οὐκ ἔγνω τις τῶν μαθηματικῶν σημαινομένην ἄλλοθεν ἢ ἀπὸ τοῦ Ζυγοῦ.

Εἶπεν ὁ Ἀποσαίτ[1] ὅτι εἶπον τῷ Ἀπομάσαρ ὅτι εἰπέ μοι ὁ Μουχοῦμετ ὁ υἱὸς τοῦ Μωσέως τοῦ Χορασμιάτ[2] ὅτι « ἀνεπόδισα καὶ

2 εἷς scripsi : εἰς cod. 12 σήμερον cod., corr. Dyroff. 14 An ἐμβλημίδιον? 22 mille nummorum? 25 ὁ suppl. 27 ἐκεῖνων cod. 31 L. πλαγίῳ cf. infra excerptum Dorothei ex codice 11. 34 σημαινομένων cod.

[1] Aposait est 'Abû-Sa'id Shâdhân, scriptor huius operis (cf. p. 143).
[2] Muhamed ben Mûsâ al-Chowarezmi. Cf. supra p, 89, n. 5.

ἐποίησα τὰ θεμάτια τῆς ἑσπέρας ἐν ᾗ ἐγεννήθη ὁ προφήτης ἡμῶν καὶ οὐχ εὗρον ὡροσκόπον δηλοῦντα τὴν τοιαύτην ἐξουσίαν εἰ μή γε τὸν Ζυγόν.» εἶπε δὲ ὁ Ἀπομάσαρ ὅτι «κἀγὼ ἐζήτησα τὸ τοιοῦτον καὶ οὐχ εὗρον ἕτερον ὡροσκόπον δηλοῦντα τὴν τοιαύτην θρησκείαν ἢ τὸν Ζυγόν». F. C.

η'. Περὶ τοῦ ὅτι οὐκ ἔγνω τις παυθησομένην τὴν τοιαύτην θρησκείαν.

Εἶπεν ὁ Ἀπομάσαρ ὅτι ἤκουσα τοῦ Μουχοῦμετ τοῦ υἱοῦ τοῦ Θεοδούλου[1] λέγοντος ὅτι «ἐντετύχηκε τοῖς μυστηρίοις τῆς ἀστρονομίας ὅτι ὁ Ἑρμῆς ὅτε τύχῃ ἐν γενεθλίῳ τινὸς ἐν τῷ ἀπογείῳ σημαίνει πρόγνωσιν τῶν μελλόντων· ὁ δὲ Ἑρμῆς ἐν τῷ γενεθλίῳ τῶν ψευδοπροφητῶν ἔτυχεν ἐν τῇ ι' μοίρᾳ τοῦ Σκορπίου κατὰ τὴν ψῆφον τῶν αἰωνίων κανόνων καὶ διὰ τοῦτο ἐναντιώθησαν αὐτῷ οἱ συγγενεῖς καὶ οἱ φίλοι.» εἶπε δὲ ὁ Ἀπομάσαρ ὅτι ἔτυχεν ἐν τῷ γενεθλίῳ αὐτοῦ ἡ Ἀφροδίτη ἐν τῷ Σκορπίῳ καὶ ὁ Ἄσταχυς ἐν τῷ ὡροσκόπῳ. ἡ δὲ προγενομένη σύνοδος τοῦ Κρόνου καὶ τοῦ Διὸς ἦν ἐν τῷ Σκορπίῳ, ὁ δὲ Ἥλιος πάλιν ἐν τῷ Σκορπίῳ, ὁ δὲ Ἄρης ἐν τῷ Καρκίνῳ. εἶπε δὲ οὗτος ὅτι σημαίνει τὸ τοιοῦτον γενέθλιον ὅτι ἡ βασιλεία αὐτοῦ ἀκμάσει εἰς τοὺς διαδόχους αὐτοῦ μέχρι ἐτῶν σκ', εἶτα οὐκ ἀκμάσει· εἶπε δὲ καὶ τοῦτο ὅτι διαμενεῖ αὐτοῦ ἡ βασιλεία ἐν τῷ γένει αὐτοῦ μετὰ τὴν τελευτὴν αὐτοῦ μέχρι ἐτῶν τλ'. εἶπον δὲ τῷ Ἀπομάσαρ «ἆρά γε ἔγνως καὶ πότε μεταστήσεται ἡ θρησκεία αὕτη εἰς ἑτέραν θρησκείαν;» καὶ ἀπεκρίθη μοι «οὔ». πλὴν εἶπε ὅτι πόλεμοι ἔσονται μέγιστοι καὶ κατακυριευθήσονται αἱ ἄκραι τῶν Σαρακηνῶν. F. C.

F. 44v. κ'. Περὶ τοῦ πότε εὐχομένων ἀκούει ὁ Θεὸς κατὰ τὴν Ἑλλήνων δόξαν, ἥτις ἀσεβής.

Εἶπεν ὁ Ἀπομάσαρ· ὅτι οἱ τῶν Ἑλλήνων βασιλεῖς ὅτε ἐβούλοντο παρακαλέσαι τὸν Θεὸν διά τινα ὑπόθεσιν, ἐποίουν τὸν Ἀναβιβάζοντα μεσουρανήματι μετὰ τοῦ Διὸς ἢ καὶ ἐφορώμενον ὑπ' αὐτοῦ εὐαποδέκτῳ σχήματι· καὶ τὴν Σελήνην συνάπτουσαν τῷ Διῒ ἢ ἀπορρέουσαν αὐτοῦ καὶ συνάπτουσαν τῷ κυρίῳ τοῦ ὡροσκόπου ἢ τὸν κύριον τοῦ ὡροσκόπου συνάπτοντα τῷ Διΐ, ἔτι δὲ καὶ τῷ Ἀναβιβάζοντι φιλίῳ σχήματι, καὶ τηνικαῦτα ἔλεγον εἰσακουσθῆναι τὴν δέησιν αὐτῶν. F. C.

9 ἐντετύχηκα coni. Kroll. 10 L. ὑπογείῳ? 13 αὐτῷ] sc. Muhamet prophetae. 16 προγινομένη cod. 23 πολέμους cod. 31-32 ὁ κύριος ... συνάπτων cod.

[1] Sine dubio Muhamed ben 'Abdallâh (= Θεόδουλος) ben el-Bâzjâr, astrologus cui Apomasar librum suum de coniunctionibus dedicavit. Cf. Suter, *Mathematiker und Astronomen der Araber*, p. 16, n° 30.

Cod. Bruxell., f. 64r: Dixit Albumasar quod Graecorum reges quum volebant obsecrare deum propter aliquod negotium ponebant caput Draconis in medio caeli cum Iove, recedens ab eo figura amicabili et Lunam coniunctam Iovi recedentem ab ipso et coniunctionem petentem cum domino ascendentis aut dominum ascendentis coniunctionem petentem cum Iove adhuc aut cum Capite amicabili figura et tunc dicebant exaudiri petitionem suam.

F. 45. κς'. Περὶ τοῦ ὅτι ἐν τοῖς φρέασιν ἀμβλύνονται αἱ δυνάμεις [οὐ] τῶν ἀγαθοποιῶν.

Εἶπεν ὁ Ἀπομάσαρ· « τὰ λεγόμενα φρέατα [1] ἐκ τῶν μυστηρίων εἰσὶ τῆς ἀστρονομίας, καὶ διαφωνοῦσι περὶ αὐτῶν οἱ λόγιοι· πλὴν οἱ πλείονες λέγουσιν ὅτι τυχόντος ἀγαθοποιοῦ ἐν αὐτοῖς ἀμβλύνεται ἡ δύναμις αὐτοῦ· ἄλλοι δὲ λέγουσιν ὅτι ὅτε τύχῃ ἀγαθοποιὸς ἐν αὐτοῖς, δίδωσι μὲν εὐτυχίαν, ὕστερον δὲ δυστυχίαν. L. P.

F. 45v. λβ'. Περὶ τοῦ ποία θρησκεία πρώτη καὶ ποία δευτέρα εὗρε τὴν ἀστρονομίαν [2].

Εἶπεν ὁ Ἀπομάσαρ ὅτι οἱ Χαλδαῖοι πρῶτοι ἐφεῦρον τὴν ἀστρονομίαν, εἶτα οἱ Ἰνδοί, εἶτα οἱ Αἰγύπτιοι, εἶτα οἱ Πέρσαι, εἶτα οἱ Ῥωμαῖοι, εἶτα οἱ Σύροι, εἶτα οἱ Σαρακηνοί.

F. 47. μ'. Περὶ ἀφετῶν.

Εἶπεν ὁ Ἀποσαίτ [3] ὅτι· εἶπον τῷ Ἀπομάσαρ· « ἀνέμαθον ὅτι ἔγραψας περὶ ἀφετῶν καὶ ὅτι οὐκ ἔγραψας ἐν τῷ τοιούτῳ λόγῳ τὴν δόξαν Ἰωάννου τοῦ υἱοῦ Μουσούρ [4] οὔτε μὴν τὴν δόξαν τοῦ Μουχοῦμετ τοῦ υἱοῦ Ζάχμ [5], οὔτε τὴν δόξαν τοῦ Φιζύρη [6], οὔτε

8 οὐ seclus.

---

[1] Cf. Introductorium Apomasaris, V, 18 (*e*, 2, edit. 1506): ***De puteis stellarum.*** — ***Sunt varii per diversa signa gradus inter adminicula stellarum et obstacula versantes quorum qui obstant arabica lingua putei stellarum vocantur, quos nos precipitia dicere solemus.***

[2] Paulo ab his differunt quae Stephanus philosophus de populis qui astrologiam coluerunt docet, *Catal.*, II. p. 182.

[3] Cf. supra p. 146, n. 1.

[4] Ἡ βίβλος Ἰωάννου τοῦ υἱοῦ Μουσοὺρ περὶ ἀναποδισμῶν καὶ ταπεινώσεων laudatur in catalogo librorum prohibitorum qui in bibliotheca Chalipharum servabantur. *Catal.*, I, p. 84, 6. Notus est Jaḥjâ (= Iohannes) ben Abî Manṣûr astrologus Persa Chalifae el Man.ûr. Cf. Suter, *op. cit.*, p. 8, n° 14.

[5] Muhamed ben el Djâm, aequalis Apomasaris, qui saepe eo auctore utitur, cf. Suter, *Mathematiker der Araber*, p. 18, n° 36.

[6] Fortasse Ibrahim ben Habîb el Fazârî, primus musulmanorum qui de astrologia scripserit, et qui simul cum Omare el Tabarî Bagdadam construxisse fertur; cf. Suter, *op. cit.*, p. 3, n° 1 et p. 7.

τὴν δόξαν τοῦ ἐπιστήμονος τοῦ ἀπὸ τῆς εὐδαίμονος Ἀραβίας[1].» ἀπεκρίθη μοι ὅτι «ἐγὼ ἐμνήσθην ἐν τῷ περὶ ἀφετῶν λόγῳ τῶν ἀρχαίων ἐπιστημόνων· οὓς δὲ λέγεις ἀρτίως, νεώτεροί εἰσιν ἐπιστήμονες καὶ ταῖς μεθόδοις αὐτῶν ἐχρῶντο οἱ βασιλεῖς τῆς εὐδαίμονος Ἀραβίας ἀγνοοῦντες τὰς τῶν παλαιῶν μεθόδους.» εἶπον δὲ τῷ Ἀπομάσαρ· «πάντως εἰ ἐπενδύσομαι ἐγὼ τὴν δόξαν αὐτῶν τῶν νεωτέρων καὶ διαλεχθῶ μετὰ σοῦ, οὐ μὴ ὀργισθῇς;» εἶπεν· «οὔ.» εἶπον δὲ αὐτῷ ὅτε τύχῃ ὁ ιβ' τόπος ἀρρενικὸν ζῴδιον, ἔχει τὸ ἀρρενοειδὲς ὁ Ἥλιος διττῶς κ. τ. λ. F. C.

F. 49. νδ'. Περὶ τοῦ γνῶναι εἰ γνησία ἐστὶν ἡ μετά τινος γυνὴ ἢ ἐπείσακτος.

Παρήμην ποτὲ ἐνώπιον τοῦ Ἀπομάσαρ, καὶ ἐρωτηθεὶς παρά τινος περί τινος γυναικὸς ἆρα καθ' ἑταιρίαν ἐστὶ μετὰ τοῦ ἀνδρὸς ἢ νόμιμος γυνὴ αὐτοῦ ἐστι· καὶ εἶπέ μοι· «κράτησον ὡροσκόπον καὶ ἰδὲ τί ἐστι ὁ ὡροσκόπος.» εὗρον οὖν ὡροσκόπον τοῖς Διδύμοις. καὶ εἶπέ μοι· «λαβὲ τὰς μεταξὺ μοίρας τοῦ Διὸς καὶ τῆς Ἀφροδίτης, καὶ ἀπόλυσον ταύτας ἀπὸ τοῦ ὡροσκόπου.» ἐποίησα τοῦτο καὶ κατήντησεν ὁ τοιοῦτος κλῆρος εἰς τὴν Παρθένον· καὶ ἐφορᾶτο ὑπὸ τοῦ Ἑρμοῦ φιλ(ίῳ) σχήματι· εἶπεν ὁ Ἀπομάσαρ ὅτι νόμιμος γυνὴ αὐτοῦ ἐστι· καὶ πάλιν εἶπέ μοι· «λάχε τὰς μεταξὺ μοίρας τοῦ Ἄρεος καὶ τῆς Ἀφροδίτης, καὶ ἀπόλυσον ταύτας ἀπὸ τοῦ ὡροσκόπου.» καὶ ἐποίησα τὸ τοιοῦτο, καὶ πέπτωκεν ὁ κλῆρος ἐν τῷ Ζυγῷ· καὶ ἠρώτησέ με «ἆρα γε ἐφορᾷ τὸν κλῆρον ὁ κύριος τοῦ ὡροσκόπου;» καὶ εἶπον αὐτῷ· «οὔ.» καὶ εἶπεν· «ὁ μὲν πρῶτος κλῆρος σημαίνει τὸ πρῶτον συνάλλαγμα νόμιμον εἶναι, ὁ δὲ β' κλῆρος σημαίνει τὸ δεύτερον συνάλλαγμα παρανόμιμον εἶναι.» L. P.

F. 50. νη'. Περὶ τοῦ ὅτι οὐκ εἰσὶν οἱ ἀστέρες αὐτεξουσίως ἐνεργοῦντες ἀλλὰ φυσικῶς.

Εἶπεν ὁ Ἀπομάσαρ· εὑρίσκομεν ἐν τῷ τοῦ Ἑρμοῦ τοῦ τρισμεγίστου συγγράμματι[2] ὅτι «εἶπον τῷ Διῒ καὶ εἶπέ μοι ὁ Ζεύς» καὶ τί λογισόμεθα τὸ τοιοῦτον; ὅτι ὁ Ἑρμῆς ἔγραψε τὰ τοιαῦτα ἵνα εὐχεροῦς χάριν διδάσκαλος διὰ παραδειγμάτων ὁδηγήσῃ τοὺς μανθάνοντας ἵνα γνῶσι τὴν φύσιν τοῦ Διός· ἐγὼ γὰρ γινώσκω καὶ διϊσχυρίζομαι ὅτι οἱ ἀστέρες οὐκ εἰσὶ αὐτεξούσιοι· ἡ διαφορὰ γὰρ μεταξὺ τοῦ αὐτεξουσίου

3 λέγω cod., corr. 12 ἑταιρίας cod. 29 εὐχερείας coni. Parmentier. διδασκαλίας coni. Kroll. 31 τοῦ] τῶν ut vid. cod.

[1] In catalogo supra scripto vocatur ὁ ἀπὸ τῆς εὐδαίμονος Ἀραβίας (I, p. 84, l. 8). — Alius liber eiusdem catalogi, scilicet l. 6: Ἡ βίβλος τοῦ περὶ ἐμπορίας, sic citatur in principo cap. ξς' Apomasaris [f. 51v]: Ἀνέγνων ἐν τῷ (sic) ἐμπειρικοῖς βίβλοις ὅτι εἰ βούλει γνῶναι τὴν ὥραν κ. τ. λ. Legendum est igitur περὶ ἐμπειρίας.

[2] In libro Hermetis τῶν μυστηρίων, ut videtur, qui in catalogo Apomasaris commemoratur (I, p. 84, 14).

καὶ τοῦ φύσει διενεργοῦντος τοῦτό ἐστι ὅτι ὁ μὲν αὐτεξούσιος δύναται ποιῆσαι καὶ τὸ ἐναντίον αὐτοῦ, τὸ δὲ φύσει διενεργοῦν οὐ δύναται μεταναστῆναι ἀπὸ τῆς ἰδίας τάξεως, ἣν ἐτάγη παρὰ τοῦ δημιουργοῦ· ἡ γὰρ κίνησις τῶν ἀστέρων ἡ αὐτή ἐστι διηνεκῶς καὶ ἀπαράλλακτος· οὐ δύνανται γὰρ μίαν σπιθαμὴν μετακινηθῆναι ἀπὸ τοῦ τόπου ἐν ᾧ ἐτάχθη ἡ κίνησις αὐτῶν. F. C.

F. 50v. ξα'. Ὅτι ὁ Εὐκλείδης ὁ γεωμέτρης πεποίηκε τὰ σχήματα τῆς γεωμετρίας διὰ ξύλου καὶ ἐτελεύτησε, ὁ δὲ ἀνεψιὸς αὐτοῦ ἐπὶ χρόνου πολλοῦ μογήσας εἰς τὴν αὐτῶν κατανόησιν ἐποίησε τὸ περὶ αὐτῶν σύγγραμμα.

Εἶπεν ὁ Ἀπομάσαρ· ὁ Εὐκλείδης ὁ γεωμέτρης πεποίηκε τὰ σχήματα τῆς γεομετρίας διὰ ξύλου καὶ ἐτελεύτησε· ὁ δὲ ἀνεψιὸς αὐτοῦ ἐπεμελήθη τῆς γεωμετρίας καὶ κατηνάλωσε χρόνους πολλοὺς εἰς τὴν κατανόησιν αὐτῶν καὶ κατένοησε ταῦτα, καὶ ἐποίησε περὶ αὐτῶν σύγγραμμα καὶ προσήνεγκε τὸ σύγγραμμα αὐτοῦ καὶ τὰ σχήματα τῷ βασιλεῖ τῶν Περσῶν· ὁ δὲ ἠμείψατο αὐτὸν μετὰ δωρεαῖς. L. P.

F. 51v. ξθ'. Περὶ τοῦ ὅτι οἱ κομῆται μεγάλα ἀποτελοῦσιν συμπτώματα.

Εἶπον τῷ Ἀπομάσαρ· λέγουσιν οἱ φιλόσοφοι καὶ αὐτὸς ὁ Ἀριστοτέλης ὅτι οἱ κομῆται τοῦ οὐρανοῦ συνίστανται ἐν τῇ τοῦ πυρὸς σφαίρᾳ καὶ οὐδὲ εἷς αὐτῶν ἐν τῷ οὐρανῷ γίνεται καὶ ὅτι ἀνεπίδεκτος ὁ οὐρανός ἐστι τινος πάθους· ἀλλ' ἐσφάλησε πάντη περὶ τὴν τοιαύτην δόξαν, ἐγὼ γὰρ οἰκείοις ὀφθαλμοῖς εἶδον κομήτην ἄνωθεν τῆς Ἀφροδίτης καὶ ἔγνων ὅτι « εἴδομεν κομήτην ἄνωθεν τοῦ Διὸς καὶ ἕτερον ἄνωθεν τοῦ Κρόνου. » πλὴν τοῦτο γίνωσκε ὅτι πάντες οἱ κομῆται πάντοτε τέρας εἰσὶ πονηρὸν καὶ μεγάλα ἀποτελοῦσι συμπτώματα καὶ τὰ συμπτώματα ἀνάλογα γίνονται τῷ μεγέθει αὐτῶν· εἰ μὲν γὰρ μέγας ἐστὶν ὁ κομήτης, μεγάλα ἀποτελεῖ συμπτώματα, εἰ δὲ μικρός, ἐλάχιστα.

F. 53. πδ'. Περὶ διαγνώσεως χρόνων ζωῆς ὅτε ἡ Σελήνη μικρὸν ἀπέχει τοῦ Ἄρεως.

Εἶπεν ὁ Ἀπομάσαρ· ἦν Οὔμαρ ὁ Τιβεριώτης[1] πάνυ γνωστικὸς καὶ παρηκολούθησε τῷ Ἰωάννῃ τῷ υἱῷ Λάλε[2], εἶτα παρηκολούθησε

5 δύναται cod. 9 et 10 αὐτοῦ cod., sed cf. v. 14. 9 μολήσας cod., corr. Bidez. 19 Cf. Aristot., *Meteorol.*, 7. 21 εἷς scripsi : ἐξ cod.

---

[1] Omar el Tabari. Cf. supra p. 95, n. 3 et p. 143, n. 1.

[2] Idem, ut videtur, in *Catal.*, I, p. 84, 5, Ἰωάννης ὁ υἱὸς Χαλέτ appellatur quem aut Jaḥjâ beu Châlid, amicum Omaris, esse nos docuit Suter (cf. *Mathem. der*

τῷ Φάδαρ [1], καὶ ὁ Φάδαρ ὑπέδειξεν αὐτῷ τὸ γενέθλιον αὐτοῦ καὶ εὗρε τὴν Σελήνην ἀπέχουσαν τοῦ Ἄρεως ὀλίγας μοίρας, ἃς ἐπολλαπλασίασεν ἐπὶ ιβ' καὶ ἀπετέλεσεν ὅτι ὁ χρόνος τῆς ζωῆς αὐτοῦ ἔσται ἰσάριθμος ταῖς πολλαπλασιασθείσαις μοίραις ἐπὶ β' καὶ ἠλήθευσεν· ἐν γὰρ ἐκείνῳ τῷ ἔτει ἐτελεύτησε· καὶ τούτου τοῦ κεφαλαίου οὐδεὶς ἐμνήσθη τῶν ἀρχαίων ἐπιστημόνων οὔτε μὴν ἐπεχείρησε τῇ τοιαύτῃ μεθόδῳ πλὴν τοῦ Οὔμαρ. τοῦτο δὲ τὸ θεώρημα ἀποτέλεσαι, ὅτε ἡ Σελήνη ἐστὶ μετὰ τοῦ Ἄρεως ἐν τῷ αὐτοῦ ζῳδίῳ ἢ ἐν ἑτέρῳ ζῳδίῳ, ὅσον εἰκός ἐστι ζῆσαι τὸν γεννηθέντα. F. C.

F. 54. πη'. Περὶ τοῦ ὅτι οὐ δεῖ τὸν ἐπιστήμονα πάντα ὅσα οἶδε διδάσκειν τὴν οἰκείαν πραγματευόμενος δίκην.

Εἶπον τῷ Ἀπομάσαρ ὄντων ἡμῶν ἐν τῷ Βαγδᾷ· « καὶ πῶς οὐκ ἐμνήσθης τῶν τοιούτων θεωρημάτων ἐν τοῖς οἰκείοις συγγράμμασιν, ἀναγκαίων ὄντων εἰς τὴν ἀστρονομικὴν ἐπιστήμην; » καὶ ἀπεκρίθη μοι ὅτι « θαυμαστὸς ἄνθρωπος εἶ, οὐκ οἶδας ὅτι ὁ ἐπιστήμων ἐὰν πάντα ὅσα οἶδε συγγράψηται, ποιεῖ ἑαυτὸν κενὸν ἀγγεῖον καὶ οὐδὲ χρείαν αὐτοῦ ἕξει τις, ἀλλὰ καὶ τὸ ἀρχικὸν αὐτοῦ ἀξίωμα πεσεῖται καὶ ἀντ' οὐδενὸς λογισθήσεται· ἀλλὰ τὰ τοιαῦτα ὑψηλὰ θεωρήματα δεῖ κατέχειν τὸν ἐπιστήμονα παρ' ἑαυτοῦ καὶ μὴ ποιεῖν ταῦτα κοινὰ καὶ δεξιοῦσθαι τοῖς τοιούτοις τοὺς οἰκειοτάτους φίλους. » F. C.

F. 54v. ϟϛ'. Περὶ τοῦ ὅτι παρακμάζει ἡ ἐπικράτεια τῶν Ἀράβων.

Εἶπον τῷ Ἀπομάσαρι· « ἆρά γε ἐλπίζει ἐπικράτεια τῆς βασιλείας τῶν Ἀράβων; » καὶ εἶπέ μοι ὅτι ἡ ἀκμὴ τῆς βασιλείας τῶν Ἀράβων γέγονε μέχρι τῆς βασιλείας τοῦ Ῥασίτ [2]· ἐκ τότε γὰρ παρακμάζει· ἠναγκάσθη γὰρ ὁ τοιοῦτος Ῥασὶτ ἵνα ποιήσῃ ἀγάπην μετὰ τῶν ἀποστησάντων ἐν τῇ Φακῇ [3]. καὶ ἐστὶν ἐν παρακμῇ ἡ δόξα αὐτῶν. F. C.

7 ἀποτέλεσε cod. 8 αὐτῷ cod. 16 συγγράψεται cod. 19 ἑαυτῷ coni. Parmentier. 23 ἐλπίζει vix sanum ; ἐκλείπει coni. Boll : ἐλπίζεις ἐπικράτειαν coni. Bidez. 27 ἀποστήτων σάντων ut vid. cod. Fort. ἀποστασιασάντων.

Araber, p. 7, n° 13, p. 10, n° 17) aut Jaḥjâ ben Gâlib discipulum Masallae (cf. ibid., p. 9, n° 17).

[1] Φάδαρ est, ni fallimur, Fadl (Fadal) ben Sachl el Sarachsi, minister (vizir) Chalifae el Mamûn, idemque astrologus, quem Omaris el Tabâri familiarem fuisse scimus, cf. p. 143, n. 1. Vide Suter, *op. cit.*, p. 7, n°° 11 et 13 qui ipse hunc virum nobis indicavit.

[2] Harun al-Rašid.

[3] « Cum apostatis verae theologiae » (fikh = theologia, fakih = theologus) [Suter]. Sed potius de Africa loqui videtur Apomasar quae regnante Rašido defecit; cf. Weil, *Gesch. der Khalifen*, II, p. 151 ss.

F. 54v. ϛζ'. Περὶ τοῦ ὅτι οὐκ ἔστι διττὸς ὁ θάνατος καθὼς εἶπεν ὁ Στέφανος[1].

Εἰπέ μοι ὁ Ἀπομάσαρ· ἐσφάλη ὁ ἐπιστήμων ὁ Στέφανος εἰς ὃ εἶπε θεώρημα ὅτι ὁ θάνατός ἐστι διττός, ὁ μὲν φυσικὸς ὑπὸ πολλῶν χρόνων καὶ τῆς ἀδυναμίας, ὁ δὲ ὑπὸ νόσων· καὶ τὸ ὑπὸ τῶν νόσων νόσημά ἐστι διττόν, τὸ μὲν Κρονικόν, τὸ δὲ Ἀρεϊκόν. καὶ τὸ μὲν Κρονικὸν χρονίζει, τὸ δὲ Ἀρεϊκὸν συντομώτερον, καὶ εἴ γε παραφυλάξει τις τὸ Ἀρεϊκον μέχρι τῆς ιδ' ἡμέρας, παρέρχεται ὁ κλιμακτήρ· καὶ ὁ τοιοῦτος Στέφανος ἠγνόησεν ὅτι ὅταν σύννομος <ᾖ> ἡ σημασία τοῦ Κρόνου καὶ τοῦ Ἄρεως ἐπὶ τῶν κλιμακτήρων, ὁ μὲν κωλύει τὰς θεραπείας τοῦ νοσήματος, ὁ δὲ Ἄρης ἐπιτυγχάνει τῆς ἀπωλείας καὶ τελευτᾷ ἐκεῖνος ὁ ἄνθρωπος. F. C.

F. 63v. ροε'. Περί τινος ζητήσαντος σπάθην.

Ἠρώτησέ τις ἐπιζητῶν σπάθην ἆρά γε δοθήσεται αὐτῷ ἢ οὔ. καὶ εὑρέθη ἡ Σελήνη ἐν τῷ ὡροσκόπῳ συνάπτουσα τῷ Ἄρει· ὁ δὲ Ἄρης ἦν ἐν τῷ μεσουρανήματι ἀκάκωτος, καὶ ἐπεὶ ὁ Ἄρης σημαίνει τὰ τοῦ σιδήρου καὶ τὰ τῶν ὅπλων, εἶπον ὅτι τεύξεται τῆς σπάθης, ὃ δὴ καὶ γέγονεν. F. C.

F. 68v, lib. III. α'. Περὶ τοῦ ὅτι διαδίδοταί τις δύναμις ἀπὸ τῶν οὐρανίων ἐπὶ τὰ ἐπίγεια.

Ὅτι μὲν διαδίδοταί τις δύναμις ἀπὸ τῶν οὐρανίων ἐπὶ τὰ ἐπίγεια παντὶ ἐχέφρονι δῆλόν ἐστι· καὶ γὰρ ὁ Ἥλιος, ὅτε ἀπὸ τοῦ ὡροσκόπου ἔλθῃ μέχρι τοῦ μεσουρανήματος, κινοῦνται σχεδὸν πάντες οἱ ἄνθρωποι ἐπὶ τὴν ἐργασίαν αὐτῶν· ὅτε δὲ ἀπὸ τοῦ μεσουρανήματος ἀποκλίνει, ἐλαττοῦται ἡ κίνησις αὐτῶν μέχρι τῆς ἑσπέρας· ὅτε δὲ ἑσπέρα γένηται, ἠρεμοῦσιν οὐ μόνον οἱ ἄνθρωποι ἀλλὰ καὶ τὰ ἄλογα ζῷα μέχρι ἂν αὖθις ἀνατείλῃ· ἀνατέλλοντος δὲ πάλιν τὸ αὐτὸ γίνεται. καὶ οὐ μόνον περὶ τὰ ἄλογα ζῷα φαίνεται ἡ τοῦ Ἡλίου ἐνέργεια ἀλλὰ καὶ ἐπὶ τῶν φυτῶν· ὁρῶμεν γὰρ τὴν νυμφαίαν ἐν ταῖς λίμναις γινομένην, ὅτε ὁ Ἥλιος ἀνατέλλει, ἐξέρχεται ἐκ τοῦ ὕδατος, καὶ τὰ φυτὰ δὲ ὅσα οὐκ ἐλλάμπονται ὑπὸ τοῦ Ἡλίου, φθίνει. καὶ τὰ μέταλλα δὲ καὶ οἱ τίμιοι λίθοι καὶ οἱ μαργαρῖται, ἔνθα πλησιάζει ὁ Ἥλιος, γίνονται. καὶ ἡ Σελήνη μεγίστας ἐνδείκνυται ἐνεργείας εἰς τὸν καθ' ἡμᾶς κόσμον, καὶ αὐξιφωτοῦσα μὲν ἑτέραν ἐνδείκνυται ἐνέργειαν, λειψιφωτοῦσα δὲ ἑτέραν. F. C.

9 σύνομος ut vid. cod.; corr. Kroll. 30 ἐξέρχεται del. Kroll. 31 ἀπὸ cod.

---

[1] Stephanus Alexandrinus, ut videtur, de quo cf. *Catal.*, I, p. 83, n. 2. Saepe in Apomasaris Mysteriis nominatur, cf. indicem s. v. — Titulus falsus est nam de duplici mortis genere non ambigitur.

F. 68v. γ'. Περὶ τοῦ ὅτι καὶ οἱ γεωργοὶ γινώσκουσι τοὺς ἐπιτηδείους καιροὺς εἰς τὰ ἀνήκοντα αὐτοῖς.

Τινὲς δὲ τῶν γεωργῶν γινώσκουσι τοὺς ἐπιτηδείους καιροὺς πρὸς τὸ σπείρειν ἢ φυτεύειν, καὶ ἡ πεῖρα τῶν ἰδιωτῶν πολλὰ οἶδε χωρὶς τῆς ἐπιστήμης· αἱ γὰρ μαῖαι γινώσκουσι διὰ πείρας εἴπερ συνέλαβεν ἡ γυνὴ ἢ μή, καὶ εἰ ἄρρεν ἐστὶ τὸ συλληφθὲν ἢ θῆλυ, καὶ ἀπὸ τοῦ πρωτοτόκου γινώσκεται τί τέξεται μετέπειτα ἡ γυνή. γινώσκουσι δὲ τὴν γυναῖκα εἰ συνέλαβεν ἢ μή· ὁρῶσι τὸν μαστὸν τῆς γυναικὸς καὶ εἴπερ εὕρωσι τὴν θηλὴν αὐτῆς ἐξαπλωθεῖσαν καὶ ἀλλοιωθεῖσαν παρὰ τὸ κατὰ φύσιν σχῆμα, λέγουσι ὅτι ἔγκυός ἐστιν ἡ γυνὴ ἢ μή. τεκμαίρονται δὲ καὶ διὰ τούτου εἰ ἄρρενος ἔγκυός ἐστιν ἡ γυνὴ ἢ μή· ὁρῶσι γὰρ τοὺς ὀφθαλμοὺς αὐτῆς καὶ εἴπερ ἴδωσι τούτους καθαροὺς καὶ ὀξυδερκεῖς καὶ παχὺ τὸ τῶν ὀφθαλμῶν λευκόν, λέγουσιν ὅτι συνέλαβεν· ἄρρεν δὲ ἢ θῆλύ ἐστι διαγινώσκουσι τὸ τεχθησόμενον διὰ τοῦ τοιούτου τρόπου· ὁρῶσι γὰρ τὴν κοιλίαν τῆς γυναικὸς καὶ εἴπερ ἴδωσι ταύτην στρογγύλην καὶ ἐμπλήθη καὶ ὡραίαν καὶ ἔχουσαν σκληρότητά τινα, διαγινώσκουσιν ὅτι τὸ συλληφθέν ἐστιν ἄρρεν· εἰ δὲ ἴδωσι τὴν κοιλίαν τῆς γυναικὸς ἐπιμήκη καὶ χαῦνον καὶ ἄσχημον, καὶ πολλοὺς εἰ ἕξει πρεκνάσσας ἐν τῷ προσώπῳ αὐτῆς, γινώσκουσιν ὅτι θῆλυ ἔσται τὸ γεννηθέν· τινὲς δὲ ὁρῶσι τὴν θηλὴν τῶν μαστῶν καὶ εἴπερ εὕρωσι ταύτην ἐπὶ τὸ μέλαν ῥέπουσαν, θῆλυ λέγουσιν εἶναι τὸ συλληφθέν. εἰ δὲ ἐπὶ τὸ ἀληθινὸν χρῶμα ῥέπει, λέγουσιν ἄρρεν εἶναι τὸ συλληφθέν· καὶ πάλιν τινὲς τεκμαίρονται διὰ τοῦ τοιούτου· λαμβάνουσι τὸ γάλα τῆς γυναικὸς μεταξὺ δύο δακτύλων αὐτῶν, καὶ εἴπερ εὕρωσι τοῦτο παχὺ καὶ γλίσχρον, λέγουσιν ἄρρεν εἶναι τὸ συλληφθέν· εἰ δὲ ἴδωσι τοῦτο λεπτὸν καὶ χαῦνον, λέγουσι θῆλυ. τινὲς δὲ λαμβάνουσι τὸ γάλα ἐπὶ τοῦ κατόπτρου καὶ τιθέασι τοῦτο ἐπὶ τὸν Ἥλιον καὶ εἴπερ συσφαιρωθῇ καὶ γένηται ὡς μαργαρίτης, λέγουσιν ἄρρεν, εἰ δὲ ἐξαπλωθῇ, θῆλυ. F. C.

F. 69. ε'. Περὶ τῆς ἐκτέξεως τῶν προβάτων ὅτι ἔχουσι σημεῖα οἱ ποιμένες.

Ἔχουσι καὶ οἱ ποιμένες σημεῖα τῆς ἐκτέξεως τῶν προβάτων καὶ τί τέξονται ἄρά γε ἀρρενικὰ ἢ θήλεα διὰ τῆς πολλῆς πείρας. οἱ δὲ ἰατροὶ γινώσκουσι τὰ ἐπιγινόμενα νοσήματα διὰ τῆς καταστάσεως τοῦ ἀέρος· πλὴν ἡ ἀστρονομικὴ ἐπιστήμη κρείττων ἐστὶ τῆς ἰατρικῆς· οἱ μὲν γὰρ ἰατροὶ τεκμαίρονται τὰ νοσήματα διὰ τῆς καταστάσεως τοῦ ἀέρος, οἱ δὲ ἐπιστήμονες διὰ τῶν οὐρανίων κινήσεων. ἔτι δὲ καὶ τὸ ὑποκείμενον τῇ ἀστρονομικῇ ἐστι τὰ οὐράνια σώματα, τὸ δὲ ὑποκείμενον τῇ ἰατρικῇ ἐστι τὰ φθαρτὰ σώματα. F. C.

4 οἶδε dubium in cod. 9 θηλὺν cod. περὶ τὸ cod. 10 et 11 ἔγγυος cod. 11 ἄρρεν cod. 12 ὀξυδερκοὺς cod., corr. Parmentier. 19 πρεκνάσσας] " cf. πρέκνα neogr. lentigo " [Boll]. 22 ἀληθινόν = rubrum. 33 ἀέρος] αε e corr., cod. 34 κρεῖττον cod. 34 ss. Cf. Stephan. philos. in *Catal.*, II, p. 186. 37 εἰσὶ cod. 38 εἰσι cod.

F. 71r. ιδ'. Περὶ τῆς φύσεως τῶν ζ' πλανητῶν.

Μετὰ τὴν τοῦ βασιλέως Ἀλεξάνδρου βασιλείαν, ἐβασίλευσαν τῆς Αἰγύπτου βασιλεῖς θ', ὀνόματι Πτολεμαῖοι, καὶ μετὰ τούτους ἡ Κλεοπάτρα, καὶ ἐκράτησεν ἡ βασιλεία αὐτῶν ἔτη σοε'. ἐπεμελοῦντο καὶ τῆς γνώσεως κατὰ πολύ, καὶ ἐπλήθυνεν ἡ γνῶσις· ἐπὶ δὲ τῶν ἡμερῶν αὐτῶν γέγονεν ὁ Πτολεμαῖος ὁ τὴν μεγάλην Σύνταξιν ποιήσας· περὶ δὲ τῆς Τετραβίβλου ἀμφιβάλλεται· οἱ μὲν λέγουσιν τοῦ αὐτοῦ Πτολεμαίου εἶναι, οἱ δὲ ἑτέρου Πτολεμαίου [1]· λέγει δὲ ὁ τοιοῦτος Πτολεμαῖος ὅτι ὁ Ἥλιος θερμαίνει καὶ ξηραίνει, καὶ αὕτη ἡ ἐνέργεια δήλη τοῖς πᾶσίν ἐστι. δυναμικώτερος γάρ ἐστι παρὰ τοὺς λοιποὺς ἀστέρας· φησὶ γὰρ ὅτι ἡ Σελήνη ὑγρά ἐστι διὰ τὸ πλησιάζειν τῇ γῇ καὶ δέχεσθαι τοὺς παρ' αὐτῆς ἀτμούς. λέγει δὲ τὸν Κρόνον ψυχρὸν καὶ ξηρόν, τὸ μὲν γὰρ ψυχρὸν διὰ τὸ πόρρωθεν κεῖσθαι τοῦ Ἡλίου, τὸ δὲ ξηρὸν διὰ τὸ πολὺ ἀπέχειν τῶν ἀτμῶν τῆς γῆς. καὶ ὁ Ἄρης θερμός ἐστι καὶ ξηρὸς διὰ τὴν πρὸς τὸν Ἥλιον ἐγγύτητα· φαίνεται δὲ ἐναργῶς καὶ τὸ χρῶμα αὐτοῦ πύρινον. λέγει δὲ καὶ τὸν Δία σύμμετρον εἶναι διὰ τὸ κεῖσθαι μέσον δύο ἐναντίων ἀστέρων ψυχροῦ καὶ θερμοῦ, τοῦ Κρόνου καὶ Ἄρεως. λέγει δὲ τὴν Ἀφροδίτην θερμὴν καὶ ὑγράν, θερμὴν μὲν διὰ τὸ ἐγγίζειν τὸν Ἥλιον, ὑγρὰν δὲ διὰ τοὺς ἀναφερομένους ἀπὸ τῆς γῆς ἀτμούς. λέγει δὲ τὸν Ἑρμῆν ποτὲ μὲν ξηρόν, ποτὲ δὲ ὑγρόν· ξηρὸν μὲν διὰ τὸ μὴ ἀφίστασθαι τοῦ Ἡλίου ἱκανὴν διάστασιν, ὑγρὸν δὲ διὰ τὸ πλησίον εἶναι τῆς γῆς καὶ τῶν παρ' αὐτῆς ἀτμῶν.

Τινὲς δὲ τὰς [f. 71v] τοιαύτας τοῦ Πτολεμαίου ἀποδείξεις ἀνέτρεψαν· δέχονται μὲν πάντες τὸν Ἥλιον θερμαίνειν καὶ ξηραίνειν, καὶ πάντες τὴν τοιαύτην δέχονται δόξαν. τὸ δὲ λέγειν τὴν Σελήνην ὅτι ἐστὶν ὑγρὰ διὰ τὸ δέχεσθαι τοὺς παρὰ τῆς γῆς ἀτμούς, πάντες ἄτοπον λογίζονται. τετήρηται γὰρ ἡ μεταξὺ διάστασις τῆς γῆς καὶ τῆς Σελήνης ρ' χιλιάδες μιλίων καὶ κη' χιλιάδες καὶ ϛδ' ἔγγιστα. τὸ δὲ μίλιόν ἐστι ,γ πήχεις.

Τὸ μὲν ὕψωμα τοῦ Ἡλίου πεποίηκε ταπείνωμα τοῦ Κρόνου, τὸν δὲ Ζυγὸν ὕψωμα αὐτοῦ. πεποιήκασι δὲ τὸν Ταῦρον ὕψωμα τῆς Σελήνης, ὅτι ὅτε ἐστὶν ὁ Ἥλιος ἐν τῷ Κριῷ, φάσιν ποιεῖται ἡ Σελήνη ἐν τῷ Ταύρῳ. τὸν δὲ Σκορπίον πεποίηκασι ταπείνωμα αὐτῆς ὡς διαμε-

4 ἐκράτευσεν cod. 7-8 αὐτοῦ τοῦ cod.; cf. versionem lat. 8 ss. Ex Ptolem., *Tetrab.*, I, 3. 15 ἔναργος cod., corr. Kroll. 22 τοὺς π. ἀ. ἀτμούς cod. 30 ss. Ex Ptolem., *Tetrab.*, I. 17. 31 πεποίηκασι pluries pro πεποίηκε scripsit librarius. 32 φαῦσιν π. τῆς Σελήνης cod. At cf. Ptolem., *ibid.*, p. 42, 3 ed., 1553.

---

[1] Arabes Tetrabiblum a Ptolemaeo saepe abiudicasse notum est; cf. Steinschneider, *Hebr. Uebersetzungen des Mittelalters*, p. 525 et *Zeitschr. Morg. Gesellsch.*, L (1896), p. 210.

τροῦντα τὸν Ταῦρον. πεποίηκασι δὲ τὸν Καρκίνον ὕψωμα τοῦ Διός, διότι ὁ Ζεὺς φῦσαν σημαίνει τοῦ εὐκράτου ἀνέμου τοῦ βορείου· ἐτήρησαν γὰρ ὅτι ὅτε ἐστὶν ὁ Ζεὺς ἐν τῷ Καρκίνῳ, πληθύνουσιν οἱ βόρειοι ἄνεμοι· διὰ τοῦτο ἀπένειμαν τῷ Καρκίνῳ τὸ ὕψωμα τοῦ Διός. πεποίηκε δὲ τὸν Αἰγόκερων ὕψωμα τοῦ Ἄρεως ὅτι ἐστὶ ταπείνωμα τοῦ Διός, τὸν δὲ Καρκίνον ταπείνωμα αὐτοῦ ὡς διαμετροῦντα τὸ ὕψωμα αὐτοῦ. τοὺς δὲ Ἰχθύας πεποιήκασιν ὕψωμα τῆς Ἀφροδίτης διὰ τὴν ὑγρότητα καὶ τὴν ὁμοιότητα. τὴν δὲ Παρθένον πεποιήκασι ταπείνωμα αὐτῆς διὰ διαμέτρησιν. τοῦ δὲ Ἑρμοῦ τὸ ὕψωμα πεποιήκασιν ἐν τῇ Παρθένῳ διότι ἐστὶ ξηρὸς καὶ γειτνιάζει τῷ φθινοπώρῳ ξηρῷ ὄντι. ἔστι δὲ καὶ ὁ Ἑρμῆς ξηρὸς καὶ διὰ τὴν ὁμοιότητα ἀπένειμεν αὐτῇ τὸ ὕψωμα. L. P.

Albumasaris, *Introductorii* lib. IV, cap. 1 (C. 4, ed. 1506) : Post Alexandrum Macedonem Graeciae reges Aegypto 275 annis imperasse narrantur, quorum decem continuo succedentes omnes uno Ptholomeus nomine vocati sunt. Ex quibus unus ex Philadelphia ortus in Aegypto regnans astronomiae libros Almagesti Graeca Ionica lingua scripsit : eidem nonnulli et astrologiae tractatus quattuor partium ascribunt, plerique unicuique ex aliis, quod nihil ita confirmare vel aliter esse nostra nihil interest, excepto in meo libro stellarum naturas differat (*sic*) minus accurate rerum causas executus est. A sole siquidem incipiens cum experto ut est calidum affirmat, accedendo namque calorem affert, recedendo frigus relinquit; Lunam humidam quod terra (l. terrae) vicina ascendente vapore eius efficiatur, Saturnum frigidum siccum, quoniam et a solis calore et terrae vapore longe remotus sit, Martem calidum siccum prout calor (l. color) igneus firmat, quoniam soli propinquius calore accendente fervet, Iovem temperatum quia inter Saturnum et Martem medius sit, Venerem etiam calidam humidam illud pro solis vicinia hinc pro terrae vapore usque ad ipsam perveniente, Mercurium autem nunc siccum nunc humidum prout nunc ad solem ascendit, nunc ad lunae circulum devergit.

Quam nonnulli rerum naturam altius rimati tanti viri tam improvisam eventionem (*sic*) sine admiratione transire nequeunt. Constat enim ex libris intervallorum caelestium corporum lunae circulum, quo terrae proximus est, a terrae superficie 128 miliarium milibus ac vere 94 miliaribus distare, singula miliaria ex ternis cubitorum milibus. Philosophus autem mensus est terrae vapores a superficie eius non plus quam 17 stadiis exaltari. Stadium vero quadringentorum cubitorum quae sunt duo miliaria et unum stadium. Quae cum ita sint, quae tanta lunae terraeque vicinia quae hic ait " naturam lunae terrae vaporibus infici... „

Pergit Apomasar Ptolemaei doctrinas de singulis stellis refutare, quae omnia omisit graecus excerptor. De altitudinibus vero et deiectionibus planetarum silet hoc caput " Introductorii „.

3-4 τοὺς βορείους cod. Cf. Ptolem., *ibid.*, v. 8. 4 τοῦ ♃ cod.

Apomasaris de imaginibus cum 36 decanis consurgentibus liber.

Apomasaris librum de imaginibus cum 36 decanis consurgentibus arabice et germanice Carolus Dyroff in *Sphaera* mea p. 482-539 edidit, qui praeter codices duos arabicos et memoriam ab Achmete et Avenare servatam versionibus duabus latinis et nonnusquam etiam versione graeca usus est. Huius versionis graecae specimen sane exiguum exhibui in illo libro p. 489, verbis Teucri Babylonii, qui fons est et caput huius doctrinae, iuxta positis, ut quantum Persae Arabes Byzantinus interpolaverint omiserint perperam interpretati sint, uno aspectu manifestum fieret. Sed Apomasar cum Teucri sphaera " barbarica ", quae apud eum nuncupatur persica, et indicam quandam et graecam Ptolemaei coniunxit. Igitur hic integra haec capitula eius libri edere visum est, quod eorum quoque qui linguae graecae medii aevi operam dant, ex usu esse arbitramur.

Trium sphaerarum ab Apomasare descriptarum longe monstruosissima videtur sphaera Indica, ut de fide et aetate earum imaginum olim me dubitasse profitear. Atque Apomasar quidem ipse quo ex fonte illam hausisset, silentio praeteriit; sed ab Avenare Benecam v. potius Kanakam (Kankah) astronomum incertae, ut equidem putabam, aetatis testem laudari, l. c., p. 414 monui. Nunc I. Iolly, collega doctissimus, ad Colebrookii opusculum de divisionibus zodiaci indica et arabica (*Asiatic Researches*, vol. IX, Lond., 1809, p. 323 sqq.) me delegavit, unde iam Varâha-Mihiram, astrologum celeberrimum Indorum [1], hac sphaera in libro, cui inscribitur Bṛhaj-Iâtaka, usum esse edoctus sum : cf. versionem Colebrookii, l. c., p. 367 sqq., quae crebro cum Apomasare fere ad verbum consentit. Igitur iam saeculo VI p. Chr. n. ineunte, quo tempore Varahamiriha vixit, talia ab astronomis Indorum tradita esse et Apomasarem revera doctrinae indicae vestigia pressisse nemo iam negabit. Porro medio aevo doctrinae Varahamihirae per versiones Arabicorum astrologorum inter Europae populos proseminatae sunt.

Neque vero Kanaka sive Kankah ille quo tempore vixerit, adhuc in medio relinquendum esse videtur. Eum enim cum Ia'qûb ben Târiq astronomo et astrologo circa annum 150 hegirae = 767 p. Chr. n. in aulam regiam chalifae Al-Mansûr receptum esse atque Siddhânta quendam, i. e. opus astronomicum Indico sermone scriptum, secum ex India portavisse ex Albîrûnî libro Tarich el-hind narrat Henr. Suter, *Die Mathematiker und Astronomen der Araber*, p. 4. Hunc Siddhânta Al-Mansûr chalifa ab Abu Abdallah Al-Fazârî in linguam Arabicam vertendum curavit (vide Suter, l. c., p. 5; cf. etiam Brockelmann, *Gesch. der arab. Litteratur*, I, p. 220). Novum testimonium de Kanaka invenit F. Cumont apud Albîrûnî (*Chronology*, p. 129, 19, versionis Sachau) : " ... The same was distinctly declared by the

[1] Cf. H. Iacobi, *De Astrologiae Indicae " Horâ " appellatae originibus*, Bonn. 1872, p. 5 sq.; Albr. Weber, *Ind. Stud.*, II, p. 236 sqq.; G. Thibaut, *Astronomie, Astrologie und Mathematik* in *Grundriss der Indoarischen Philologie*, vol. III, fasc. 9, p. 56 sq. et 65.

Hindu Kanaka, the astrologer of Al-Rashid; for he maintained that the reign of Bani-'Abbas would be transferred to a man who would come from Ispahan etc. „

Nomine Siddhânta quinque opera astronomica apud Indos nuncupantur, quae Varahamihira sexto p. Chr. n. saeculo excerpsit (cf. Thibaut, l. c., p. 31 sqq.). Quis fuerit ille Siddhânta quo Kanaka usus est, nescimus; neque tamen dubito quin Kanaka et Varahamihira eundem Siddhânta in describendis decanis secuti sint. Apomasar autem utrum ex ipso Siddhânta arabice verso, an ex Varahamihira, an vero ex Kanaka hauserit, nondum diiudicare licet.

Ceterum Vaharamihira et alii astrologi indici Graecorum astrologiam imitati vocabula ἐπαναφορά, ὥρα, κενόδρομος, alia huiusmodi receperunt (cf. Thibaut, l. c., p. 67). Similem in modum etiam haec " Sphaera indica „ Varahamihirae et Kanakae saepius doctrinam graecam redolet.

Textum edidi ab initio usque ad primum Leonis decanum et deinde ab altero Librae decano usque ad tertium Capricorni ex codice Angelico; cetera ex codice Laurentiano XXVIII, 33, qui ex codice Angelico fluxit. Laurentianum ipse descripsi; in describendo Angelico comiter mihi sucurrerunt Dominicus Bassi, Franciscus Cumont, Iosephus Sickenberger amici probatissimi; Carolus Dyroff hanc versionem Graecam passim cum archetypo Arabico contulit et multa praeclare extricavit. F. B.

F. 73. Περὶ τῶν παρανατελλόντων ἑνὶ ἑκάστῳ δεκανῷ, ἃ λέγονται καὶ πρόσωπα ἀστέρων.

Τῷ α' δεκανῷ τοῦ Κριοῦ κατὰ Πέρσας παρανατέλλει γυνή, ἣν ὀνομάζουσι Κασσιέπειαν, καὶ ἡ οὐρὰ τοῦ θαλασσίου ἰχθύος καὶ ἡ ἀρχὴ τοῦ τριγώνου καὶ ὁ κυνοκέφαλος, ὃς ἐν μὲν τῇ ἀριστερᾷ αὐτοῦ χειρὶ κατέχει λύχνον, ἐν δὲ τῇ δεξιᾷ ἀνοικτήριον.

Οἱ δὲ Ἰνδοὶ λέγουσι, ὅτι παρανατέλλει τῷ α' δεκανῷ τοῦ Κριοῦ ἀνὴρ μέλας ἐρυθρόμματος, μέγας τῇ ἡλικίᾳ, δυνατός, σαγίον περιειλημμένος λευκόν, ὅπερ περιεζώσατο διὰ σχοινίου, καί ἐστι θυμώδης, τῷ ἰδίῳ ἐφεστὼς ποδί, καί ἐστι φρουρός.

Τῷ δὲ β' δεκανῷ τοῦ Κριοῦ παρανατέλλει ἡ Ἀνδρομέδα καὶ τὰ μέσα τοῦ ἰχθύος καὶ τὸ μέσον τοῦ τριγώνου καὶ τὰ μέσα τοῦ τραγελάφου καὶ τὸ ἥμισυ τοῦ ὄφεως καὶ χώρα καὶ πλοῖον θαλάττιον καὶ ἱππότης κατέχων λόγχην καὶ γυνὴ συμπεφυρμένη τὰς τρίχας καὶ σιδηροῦν λωρίκιον καὶ ὁ Περσεὺς περιφερόμενος κεφαλήν.

Οἱ δὲ Ἰνδοὶ λέγουσι, ὅτι παρανατέλλει τῷ τοιούτῳ δεκανῷ γυνὴ

3 In marg. κ(εφάλαιον) α' Κριοῦ α' δεκανός. 4 Κασσιέπεια : apud Teucrum et in codd. Apomasaris arabicis habetur Ἀθηνᾶ; cf. *Sphaera*, p. 495. 8 ἐρυθρόμματος non invenitur in lexicis; cf. μελανόμματος (Foerster, *Scriptores physiognom.*, II, 402). 9 θυμῶ cod. 10 Ptolemaei παρανατολάς librarius hic omisit. 14 συμπεφυρμένη : Apomasar scripsit " mulier quae capillos pectit „. Interpres graecus legit " tamaššaṭa ra'suhâ „ et de significatione " miscuit „ vocabuli " mašaṭa „ cogitavit „ (Dyroff).

ἐνδεδυμένη σακκίον καὶ ἱμάτια ἐρυθρά, ἔχουσα ἕνα πόδα καὶ ἐπιζητοῦσα ἱματισμὸν καὶ κόσμον γυναικεῖον καὶ τέκνα.

Κατὰ δὲ Πτολεμαῖον παρανατέλλει τῷ τοιούτῳ δεκανῷ μηρὸς γυναικὸς καὶ σκέλη καὶ πόδες καὶ ἡ κεφαλὴ τοῦ Περσέως καὶ ἡ ἄκρα τῆς δεξιᾶς αὐτοῦ χειρὸς καὶ γυναικὸς ἀφθόρου πόδες καὶ ἡ κεφαλὴ τοῦ Κριοῦ καὶ λίνεον σχοινίον.

Τῷ δὲ γ' δεκανῷ παρανατέλλει ἀνὴρ νέος ἐπὶ δίφρου καθεζόμενος, διὰ κέρατος κατέχων β' ζῴδια, κατόπισθεν δὲ τοῦ δίφρου ἀνὴρ ἐγκεκυφὼς καὶ ἐφιέμενος θεότητος καὶ τὸ στῆθος καὶ ἡ κεφαλὴ τοῦ ἰχθύος καὶ τὰ κάτω μέρη τοῦ τριγώνου καὶ ἡ οὐρὰ τοῦ τραγελάφου καὶ τὸ πρόλοιπον ἥμισυ τοῦ ὄφεως.

Κατὰ δὲ Ἰνδοὺς παρανατέλλει τῷ τοιούτῳ δεκανῷ ἀνὴρ λευκός, ἔχων τρίχας ἀληθινὰς καὶ θυμώδης, φορῶν βραχιόλιον ξύλινον καὶ κατέχων κλάδον ἐν τῇ χειρὶ καὶ φορῶν ἐρυθρὰ ἱμάτια καὶ γινώσκων τὴν κοσμοδρομικὴν τέχνην καὶ ἐπιζητῶν ποιῆσαι ἀγαθὸν καὶ μὴ δυνάμενος· καὶ ἀγαθὸν μὲν ποιῆσαι βούλεται, διότι ἐστὶν ὁ τοιοῦτος δεκανὸς τοῦ Διός, παρεμποδίζεται δὲ παρὰ τοῦ Ἄρεως, διότι οἶκος αὐτοῦ ἐστιν ὁ Κριός.

Κατὰ δὲ Πτολεμαῖον παρανατέλλει τῷ τοιούτῳ δεκανῷ τὸ στῆθος τοῦ Περσέως καὶ ἡ ἀριστερὰ αὐτοῦ χείρ, ἥτις ἐπιφέρεται τὴν κεφαλήν, καὶ τὸ πλεξίδιον καὶ ἡ κεφαλὴ τοῦ κήτους.

Τῷ δὲ α' δεκανῷ τοῦ Ταύρου παρανατέλλει γίγας, κατέχων ἐν τῇ ἀριστερᾷ αὐτοῦ χειρὶ ξίφος καὶ τῇ δεξιᾷ ῥάβδον. καὶ ἐπὶ τῶν ὤμων αὐτοῦ β' λαμπάδες ὁμιλοῦσαι αὐτῷ καὶ ὀνομαστὶ τοῦτον ἐπικαλοῦσαι. παρανατέλλει καὶ πλοῖον μέγα, ἐν ᾧ ἐπιβαίνει λέων καὶ ἀνὴρ γυμνὸς καθήμενος καὶ ἥμισυ γυναικὸς νεκρᾶς. <καὶ παρανατέλλει> ἀνὴρ συγκεκυφὼς καὶ κεφαλὴ κυνός.

Κατὰ δὲ Ἰνδοὺς παρανατέλλει τῷ τοιούτῳ δεκανῷ γυνὴ πολύμορφος ὡραία καὶ σγουρά, ἔχουσα τέκνα καὶ φοροῦσα ἱμάτια, ὧν μέρος τι κεκαυμένον ἐστὶν ὑπὸ πυρός, φροντίζουσα δὲ ἱματισμοῦ καὶ κόσμου εἰς τὰ τέκνα αὐτῆς.

Κατὰ δὲ Πτολεμαῖον παρανατέλλει τῷ τοιούτῳ δεκανῷ τὰ μέρη τοῦ Περσέως καὶ ἡ κεφαλὴ ἡ κατεχομένη παρὰ τῆς ἀριστερᾶς αὐτοῦ χειρὸς καὶ ἡ οὐρὰ τοῦ Κριοῦ καὶ αἱ σιαγόνες τοῦ κήτους.

4 Περσέω cod. 6 λίνιον cod. 8 διὰ κέρατος in codd. Arabicis non habetur sed ex Κασσιέπεια ortum esse videtur. Ceterum cum his duobus ζῳδίοις s. " imaginibus „ (sic Arab.), cf. ἄγαλμα γυμνόν, quod cynocephalus tenet (*Sphaera*, p. 218). 13 ἀληθινός cod.; ἀληθινός = purpureus. 15 κοσμοδρομικήν non intellego : κοσμοποιητικήν (sc. artem mundum muliebrem conficiendi)? " Fabricae ferreae peritus „ Arab. 21 πλεξοίδιον, ni fallor, codex : " Stirnhaar ... (des Widders) „ vertit Dyroff ex Arab. Πλεξίδα s. πλεξίδιον = πλόκαμος. 22 γίγας i. e. Orion. 26 post νεκρᾶς spatium fere 20 litterarum : supplevi ex Arab. 27 κεφαλήν cod. 29 σγουρά non " obscura „ (sic Du Cange), sed " crispa „ (Dyroff); hodie quoque verbum hoc sensu usurpatur.

Τῷ δὲ β' δεκανῷ παρανατέλλει πλοῖον καὶ ἀνὴρ γυμνὸς ἀπερχόμενος εἰς τὸ πλοῖον ἐκεῖνο, ἄνω αἴρων τὰς χεῖρας καὶ κατέχων ἐν τῇ μιᾷ χειρὶ ἀνοικτήριον, καὶ τὸ πρόλοιπον τοῦ ἡμίσεως τῆς νεκρᾶς γυναικὸς καὶ τὸ ἥμισυ τοῦ κυνοκεφάλου, ὃς κατέχει ἐν τῇ δεξιᾷ αὐτοῦ χειρὶ ῥάβδον καὶ εἴδωλον γυμνὸν καὶ ματτίλιον, ἐν δὲ τῇ ἀριστερᾷ αὐτοῦ χειρὶ κατέχει ἀνοικτήριον, ὃς καὶ σπιθαμίζει διὰ τῆς ἀριστερᾶς αὐτοῦ χειρὸς καὶ τῆς δεξιᾶς.

Κατὰ δὲ Ἰνδοὺς παρανατέλλει τῷ τοιούτῳ δεκανῷ ἀνὴρ ὅμοιος κριῷ καὶ γυνὴ ταυρόμορφος· οἱ δὲ δάκτυλοι τοῦ ἀνδρὸς ὅμοιοι χηλαῖς αἰγός· καὶ δυνατὰς ἔχων τὰς χεῖρας, πολλὴν ἔχων θερμασίαν ἐν τῷ στομάχῳ καὶ τῷ σώματι, πάνυ πολύφαγος, ἐνδεδυμένος σαγίον διερρηγμένον, φροντίζων τῆς οἰκοδομήσεως τοῦ τε οἴκου καὶ τῆς γῆς καὶ ἐκβάλλων βόας ἐπὶ τὸ ἀροτριάσαι καὶ σπεῖραι. ἔτι δὲ καὶ γυνὴ συγκεκυφυῖα, κατέχουσα ἐν τῇ δεξιᾷ αὐτῆς χειρὶ κλάδον καὶ αἴρουσα τὴν ἀριστερὰν χεῖρα.

Κατὰ δὲ Πτολεμαῖον τῷ τοιούτῳ δεκανῷ παρανατέλλει τοῦ Περσέως τὰ γόνατα καὶ τὰ σκέλη καὶ οἱ πόδες καὶ τὰ μέσα τοῦ Ταύρου καὶ ἡ κοιλία καὶ ἡ ἀρχὴ τοῦ ποταμοῦ καὶ τὰ μέσα.

Τῷ δὲ γ' δεκανῷ παρανατέλλει τὰ ὀπίσθια μέρη τοῦ κυνοκεφάλου καὶ ἀνὴρ ὄφιν κατέχων ἐν τῇ χειρὶ καὶ ἅμαξαι β', ἐφ' ὧν ἐπιβαίνει νέος ἀνήρ· ἕλκονται δὲ <αἱ> ἅμαξαι ὑπὸ β' ἵππων καὶ στράτορος κατέχοντος τράγον ἐν τῇ ἀριστερᾷ χειρί.

Κατὰ δὲ Ἰνδοὺς παρανατέλλει ἀνὴρ πάνυ λευκὸς τοὺς ὀδόντας καὶ τοὺς πόδας ἔχων μακρούς· οἱ δὲ ὀδόντες αὐτοῦ ὑπερέχουσι τοῦ χείλους· ἐρυθροπρόσωπος, ἔχων τὸ σῶμα ὅμοιον ἐλέφαντος ἢ λέοντος, τεταραγμένος τὴν φρόνησιν καὶ κακίας ἐνδομυχῶν καὶ καθήμενος ἐπὶ πεύκι· παρανατέλλει δὲ αὐτῷ ὁ βόρειος ἵππος καὶ κύων καὶ μοσχάριον.

Κατὰ δὲ Πτολεμαῖον παρανατέλλει ὁ δεξιὸς ποὺς τοῦ Περσέως καὶ ὁ ὦμος καὶ τοῦ ἡνιόχου ἡ ἀριστερὰ χεὶρ καὶ τοῦ Ταύρου ὁ τράχηλος καὶ ἡ κεφαλὴ καὶ ἡ ποδέα τοῦ ἱματίου τοῦ Ὠρίωνος καὶ ἡ ἀρχὴ τοῦ ποταμοῦ καὶ τὰ μέσα τοῦ ποταμοῦ.

Τῷ δὲ α' δεκανῷ τῶν Διδύμων παρανατέλλει ἡ οὐρὰ τοῦ κυνοκεφάλου καὶ ἀνὴρ κλάδον κατέχων ἐν τῇ χειρί· κατὰ δὲ τὸ νότιον μέρος παρανατέλλουσι δύο ἅμαξαι ἑλκόμεναι ὑπὸ ἵππου ἑνός, αἷς ἐπιβέβηκεν ἀνὴρ ἡνιοχῶν, καὶ ὄφις κέρατα ἔχων.

Κατὰ δὲ Ἰνδοὺς παρανατέλλει γυνὴ ὡραία καὶ ἀγαθὸν ζητοῦσα

5 ματτίλιον, alias μαντήλιον s. μανδύλιον, " mantele ". 9 ὅμοιος κριῷ : Arab. et Lapidarium Alfonsi (cf. *Sphaera*, p. 501, n. 8) hanc figuram camelo similem esse dicunt; at Varahamihira (l. c., p. 368, num. 5) capri capite eam ornatam esse vult. " Secundum Varahamihiram apud Arab. " alhamala " (arietem); non " algamala " (camelum) legendum esse videtur " (Dyroff). 13 βολάς cod., corr. Dyroff. 27 πεύκι i. e. tapes. 37 ἀγαθή Dyroff.

κόσμον καὶ τέκνα, ἀρίστη περὶ τὴν ῥαπτικὴν τέχνην καὶ τὰς ὁμοίας τέχνας.

Κατὰ δὲ Πτολεμαῖον ἡ τοῦ ἡνιόχου κεφαλὴ καὶ ὁ ἐπὶ τοῦ δεξιοῦ αὐτοῦ γόνατος, ἔτι δὲ καὶ τοῦ ποδός· πλησιάζει δὲ τῷ κέρατι τοῦ Ταύρου· καὶ ὁ ἀριστερὸς ὦμος τοῦ Ὠρίωνος καὶ ὁ ἀριστερὸς ποὺς καὶ ἡ κεφαλὴ τοῦ Λαγωοῦ καὶ αἱ χεῖρες αὐτοῦ.

Τῷ δὲ β' δεκανῷ τῶν Διδύμων παρανατέλλει ἀνὴρ ζαμάραν χρυσῆν κατέχων καὶ μελῳδῶν δι' αὐτῆς καὶ ἀνὴρ ἐπιγονατίζων καὶ ὄφις ἐπὶ δένδρου ἕρπων καὶ τὰ μέρη τοῦ κερατωτοῦ ὄφεως καὶ λύκος ἔχων σημεῖον ἐπὶ τῆς χειρός.

Κατὰ δὲ Ἰνδοὺς παρανατέλλει ἀνὴρ ἀεροειδής, ἔχων στέφανον μολίβδινον ἐπὶ τῆς κεφαλῆς καὶ ὅπλα ἐνδεδυμένος καὶ φορῶν ἐπὶ τῆς κεφαλῆς κασίδιον σιδηροῦν καὶ ἐπὶ τῷ κασιδίῳ στέφανον βλάττινον, κατέχων ἐν τῇ χειρὶ τόξον καὶ βέλη καὶ σὺν τούτοις ἀποδεχόμενος τὰ μετριάσματα καὶ κῆπος μέγας πολλὰ ἔχων εὐώδη φυτὰ καὶ ἄνθρωπον τέμνοντα ἐκεῖ τὰ φυτά.

Κατὰ δὲ Πτολεμαῖον ἡ δεξιὰ χεὶρ τοῦ ἡνιόχου καὶ τὰ ὀπίσθια μέρη τοῦ Ταύρου καὶ ἡ χεὶρ τοῦ Ὠρίωνος καὶ ἡ κεφαλὴ καὶ τὸ στῆθος καὶ τὸ γόνατον καὶ τὸ στῆθος τοῦ λαγωοῦ καὶ τὰ ὀπίσθια μέρη αὐτοῦ.

Τῷ δὲ τρίτῳ δεκανῷ τῶν Διδύμων παρανατέλλει Ἀπόλλων ἔχων ἐπὶ τῆς κεφαλῆς κεράμου σκεῦος καὶ κατέχων ἐν τῇ χειρὶ σείστρας καὶ ζαμάραν χρυσῆν. παρανατέλλει δὲ αὐτῷ καὶ κύων ὑλακτῶν καὶ δελφὶς καὶ πάρδος καὶ ῥάπτης καὶ ἡ πρώτη ἡμίσεια τῆς μικρᾶς ἄρκτου καὶ ἡ οὐρὰ τοῦ ὄφεως τοῦ κερατωτοῦ, ἐντετυλιγμένη ἀστάχυι.

Κατὰ δὲ Ἰνδοὺς ἀνὴρ ἐπιζητῶν ὅπλα φορέσαι καὶ κατέχων τόξον καὶ τοξοκούκουρον καὶ κατέχων βέλη ἐν τῇ χειρὶ καὶ ἱμάτιον καὶ κόσμον, ἀποδεχόμενος τὰ μουσικὰ μέλη καὶ τὰς παιδιὰς καὶ τὰς τρυφάς.

Κατὰ δὲ Πτολεμαῖον ὁ ὦμος τῶν Διδύμων καὶ αἱ χεῖρες καὶ τὰ ὀπίσθια μέρη αὐτῶν καὶ οἱ μηροὶ καὶ οἱ πόδες. καὶ ἡ τοῦ λαγωοῦ οὐρὰ καὶ τὸ στόμα τοῦ κυνὸς καὶ αἱ χεῖρες αὐτοῦ καὶ ὁ δεξιὸς ποὺς τοῦ κυνὸς καὶ ἡ πρώτη κώπη τοῦ πλοίου καὶ ἡ ἄκρα τῆς δευτέρας κώπης.

Τῷ δὲ α' δεκανῷ τοῦ Καρκίνου παρανατέλλει ἡ ἡμίσεια τῆς μικρᾶς ἄρκτου καὶ ὅλος ὁ Σάτυρος ὁ ἐπιστρεφόμενος πρὸς τὰ ὄπισθεν· ἐστὶ δὲ πλησίον τοῦ † δέρκου τοῦ κινοῦντος τὰς σείστρας καὶ μελίζοντος, οὗτινος οἱ σπόνδυλοί εἰσι σιδηροῖ, ἡ δὲ κεφαλὴ χαλκῆ· καὶ ἡ μία τῶν τριῶν παρθένων καὶ ἡ οὐρὰ τοῦ ἀσκαλαβώτου.

3 ὁ scil. ἀστήρ. 7 ζαμαραρι· ζαμάραν cod.: " secundum vocabulum Arabicum " zammâra ", i. e. tibia (pro " mizmâr "), quod legitur in nostris codicibus Arabicis Apomasaris " (Dyroff). 9 κυράτου τοῦ cod. 11 ἀραιόδους cod. Ambros. 15 μετριάσματα a μετριάζειν, iocari. 21 κεράμου σκεῦος: i. e. " iggâna ". 35 δέρκου Angel.: δράκοντος ex coniect. Laurent.; " Musa " Teucer et Apomasar Arab.: An τῆς κέρκου?

Κατὰ δὲ Ἰνδοὺς παρανατέλλει ἀνὴρ νέος, ὡραῖος, ἐνδεδυμένος στολὴν κοσμίαν, ἔτι δὲ καὶ κόσμον καμπυλώτατον ἔχων ἐν τοῖς ἰδίοις δακτύλοις, ἔχων ὁμοιότητα πρὸς ἵππον, ἔτι δὲ καὶ ἐλέφαντα. ἐστὶ δὲ τοὺς πόδας λευκὸς καὶ ἐπιφερόμενος ὀπώρας πολλὰς καὶ φύλλα δένδρων, κατοικῶν δὲ ἐν τόπῳ ὁμοίῳ τοῖς τόποις ἐν οἷς γίνεται τὸ σάνδαλον.

Κατὰ δὲ Πτολεμαῖον παρανατέλλει τὸ πρόσωπον τῆς μεγάλης ἄρκτου καὶ ἡ κεφαλὴ καὶ ὁ ὀφθαλμὸς καὶ ἡ χεὶρ τῶν Διδύμων καὶ ὁ μικρὸς κύων καὶ τὰ πρόλοιπα τοῦ μεγίστου κυνός.

Ὁ Καρκίνος ἐστὶ φύσει ὑδατώδης καὶ φλεγματικός, ἡ δὲ γεῦσις αὐτοῦ ἁλυκώδης.

Τῷ δὲ β′ δεκανῷ τοῦ Καρκίνου παρανατέλλει ἡ β′ παρθένος καὶ νεφελοειδὴς συστροφὴ καὶ τὸ ἥμισυ τῶν ἐμπροσθίων μερῶν τοῦ κυνὸς καὶ ὁ ὄνος ὁ βόρειος καὶ τὸ ἥμισυ τοῦ ἀσκαλαβώτου.

Κατὰ δὲ Ἰνδοὺς παρανατέλλει γυνὴ ὡραία στέφανον φέρουσα ἐπὶ τῆς κεφαλῆς καὶ βασιλικόν, κατέχουσα κλάδον ἐν τῇ χειρὶ καὶ ἀγαπῶσα τὸ οἰνοποτεῖν καὶ τὰ μέλη τὰ θυμελικὰ καὶ τοὺς ἱεροὺς ναούς.

Κατὰ δὲ Πτολεμαῖον παρανατέλλει ἡ μεγάλη ἄρκτος καὶ τὰ ὄπισθεν τοῦ Καρκίνου καὶ ἡ πρώρα τοῦ πλοίου.

Τῷ δὲ γ′ δεκανῷ τοῦ Καρκίνου παρανατέλλει ἡ τρίτη παρθένος καὶ τὸ ἥμισυ τῶν ὀπισθίων μερῶν τοῦ κυνὸς καὶ τὸ ἥμισυ τοῦ ὄνου τοῦ νοτίου καὶ ἡ κεφαλὴ τοῦ ἀσκαλαβώτου.

Κατὰ δὲ Ἰνδοὺς παρανατέλλει ἀνὴρ ἔχων τὸν πόδα ὅμοιον ποδὶ χελώνης, ἔχων ἐπὶ τοῦ σώματος αὐτοῦ ὄφιν, ἔτι δὲ καὶ κόσμια χρυσᾶ καὶ φροντίζων διὰ θαλάττης πλόος, ὥστε τι κερδῆσαι.

Κατὰ δὲ Πτολεμαῖον παρανατέλλει ὁ τράχηλος τῆς μεγάλης ἄρκτου καὶ ἡ δεξιὰ αὐτῆς χεὶρ καὶ ἡ κεφαλὴ τοῦ Ὠρίωνος.

Τῷ δὲ α′ δεκανῷ τοῦ Λέοντος παρανατέλλει λύκος καὶ κύων τοξεύων καὶ εἶδος Λέοντος καὶ τὸ ἥμισυ τοῦ πλοίου καὶ τὸ ἥμισυ τοῦ πηδαλιούχου καὶ ἡ κεφαλὴ τοῦ μέλανος ἰχθύος καὶ ὑδατώδους καὶ ἡ τοῦ ὄνου κεφαλή.

Κατὰ δὲ Ἰνδοὺς παρανατέλλει δενδροστέλεχος μέγας ἔχων ἐπὶ τῶν κλάδων αὐτοῦ κύνα καὶ λυκοπάνθαρον καὶ ἄνδρα φοροῦντα λεπτὰ ἱμάτια καὶ λυπούμενον ἐπὶ τοῖς ἰδίοις γονεῦσι. παρανατέλλει δὲ αὐτῷ ὁ ἱππεὺς ὁ βλέπων πρὸς τὸ βόρειον μέρος, οὗ τὸ εἶδος λυκόμορφόν ἐστι, κατέχων βέλος ἐν τῇ χειρί, ἔτι δὲ ἡ κεφαλὴ αὐτοῦ κυνός.

2 κόσμον καμπυλώτατον: " an seinen Fingern u. seinem Gesicht ist etwas Krummes " vertit Dyroff ex Arab. 5-6 τὸ σάνδαλον hic idem ac *Sandelholz* (cf. *Sphaera*, p. 507). 24 ὄφιν: " serpens " teste Varahamihira; etiam textui Arabico restituendum est (Dyroff). 25 πλοός cod. 27 Ὠρίωνος : Arab. " caput hydrae ". Interpres Graecus al-šagā' = " fortis " legit (Dyroff). 30 ὑδατῶδες cod. Scribendum ὄφεως pro ἰχθύος, cf. infra p. 161, 9. 32 δενδροστέλυχος cod. : correxi sec. Laurent. (δενδροστέλεχος ex δένδρον et στέλεχος). 35 λυκόμορφον: " ursae similis " Arab.

Κατὰ δὲ Πτολεμαῖον παρανατέλλει ὁ τράχηλος τοῦ μεγάλου ἄρκτου καὶ ἡ ἀριστερὰ αὐτοῦ χεὶρ καὶ αἱ χεῖρες τοῦ Λέοντος καὶ τὸ ἥμισυ τοῦ πλοίου.

Τῷ δὲ β' δεκανῷ τοῦ Λέοντος παρανατέλλει παῖς ἄνω ἔχων τὴν χεῖρα καὶ μεγάλα φωνῶν καὶ πέντε ἔχων παρ' αὐτοῦ σείστρας καὶ ὀρχηστὴν καὶ τραγούδια διάφορα· παρανατέλλει δὲ αὐτῷ καὶ ποτήριον οἴνου καὶ ζαμάρα καὶ κέρατα γαζελίου δορκάδος καὶ νῆσσα καὶ ἄρκος ἡπλωμένας ἔχουσα τὰς χεῖρας καὶ τὸ ἥμισυ τοῦ πλοίου καὶ τὸ ἥμισυ τοῦ ὄφεως τοῦ ὑδατώδους καὶ μέλανος καὶ τὸ ἥμισυ τοῦ ἵππου καὶ τὸ ἥμισυ τοῦ ὄνου.

Κατὰ δὲ Ἰνδοὺς παρανατέλλει ἀνὴρ λεπτός, ἔχων ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον λευκὸν συντεθειμένον ἀπὸ φυτῶν εὐωδῶν, ἔχων ἐπὶ τῆς χειρὸς αὐτοῦ τόξον, ἔριδας ἔχων μετὰ κλεπτῶν, πονηρός, θυμώδης, καὶ ὅτε θυμώδης, ὅμοιος γίνεται λέοντι.

Κατὰ δὲ Πτολεμαῖον παρανατέλλει ὁ ὦμος τῆς μεγάλης ἄρκτου καὶ ὁ δεξιὸς αὐτῆς ποὺς καὶ ὁ τράχηλος τοῦ Λέοντος καὶ τὰ μέσα τοῦ Ὠρίωνος.

Τῷ δὲ γ' δεκανῷ τοῦ Λέοντος παρανατέλλει ἀνὴρ νέος ἱπποκράτωρ κατέχων μαγκλάβια ἐν τῇ χειρί, ἔχων ἅμαξαν, ἐφ' ἧς ἐπιβαίνουσι ἄνθρωπος καὶ παῖς· παρανατέλλει δὲ αὐτῷ καὶ κόραξ καὶ τὸ ἥμισυ τοῦ ὄφεως τοῦ μέλανος καὶ ὑδατώδους καὶ τὰ ὀπίσθια τοῦ τε ἵππου καὶ τοῦ ὄνου.

Κατὰ δὲ Ἰνδοὺς παρανατέλλει ἀνὴρ ἔχων τὸ εἶδος τῶν Ζιγγῶν, ἀσχημοπρόσωπος, πολύκοπος, πολυφρόντιστος, τρώγων ὀπώρας καὶ κρέας, κατέχων ἐν τῇ χειρὶ αὐτοῦ ξέστα.

Κατὰ δὲ Πτολεμαῖον παρανατέλλει τὸ στῆθος τῆς μεγάλης ἄρκτου καὶ τὸ β' ἥμισυ τοῦ Λέοντος καὶ μέρος τι τοῦ Ὠρίωνος.

Τῆς δὲ Παρθένου τῷ α' δεκανῷ παρανατέλλει γυνὴ γραῖς παρθένος καθαρωτάτη, μακρόθριξ, ὡραία, κατέχουσα ἐν τῇ χειρὶ δύο ἀστά-

4 παῖς: " deus „ Arab. Interpres Graecus legit " ṣabijj „ (Dyroff). 6 ὀρχηστήν: " cymbala qualia saltatores habent „ Arab. 6 τραγωδή cod. 7 ζαμάρα: cf. supra p. 159, 33. δορκάδες cod. ἄρκος frequenter pro ἄρκτος, cf. Crönert, *Mem. Gr. Herculan.*, p. 87, 1. 8 ἡπλωμένας: " brachiis ad caelum porrectis „ Arab.; cf. neogr. ἁπλόνω. 11 λεπτός debebat esse nasus huius hominis. In textu Arabico signum corruptelae delendum et vocabulum alriqqa suis signis diacriticis instituendum est; in translatione scribas " ein Mann mit ziemlich dünner Nase „; Achmes, *Catal.*, II, p. 154, 32: ῥὶς αὐτοῦ οἷον σινάπεως vel συνάπεως: Dyroff coniecit σπάνιος. Nunc a Varahamihira genuinam lectionem discimus (p. 370, num. 14): " vir insignis naso adunco „. 18 ἱπποκράτωρ scripsi, cf. *Sphaera*, p. 282: ἱπποκράτης cod.; eadem corruptela in Excerpto Barocciano altero, *Sphaera*, p. 466, 7. 19 μεγηλάβια cod.; correxi: " flagellum „ Arab. 23 Ζιγγῶν cod.: Arab. al-Zing i. e. " nigritae „, Zingitae unde nomen Zanzibar; " simiae similis „ Varahamihira; " nigritae similis „ Apomasar Arab. 24 πολυφρό cod. 25 ξέστον = " aquimanile „ Du Cange: " Giesskanne „ vertit Dyroff ex Arab. 28 γραῖς i. e. gārija " puella „ textus Arabici (Dyroff).

χυας, καθημένη ἐπὶ δίφρου ἔχοντος στρῶμα καὶ τρέφουσα παιδίον μικρὸν καὶ παραβάλλουσα αὐτῷ ζωμούς, τὸ δὲ ὄνομα τοῦ παιδὸς Ἰησοῦς. παρανατέλλει δὲ αὐτῷ ἀνὴρ καθήμενος ἐπὶ σκαμνίου καὶ τὰ ὄπισθεν μέρη τοῦ ὑδατώδους ὄφεως καὶ ἡ κεφαλὴ τοῦ Λέοντος.

Κατὰ δὲ Ἰνδοὺς γυνὴ παρθένος ἐντετυλιγμένη σάγιον καὶ φοροῦσα ἱμάτια παλαιὰ καὶ ἔχουσα τὴν χεῖρα ἀπωρεγμένην· ἱσταμένη μέσον κήπου καὶ ἐπιζητοῦσα τὰ πατρικὰ αὐτῆς σκηνώματα, ἔτι δὲ καὶ ἱματισμοὺς καὶ κόσμια.

Κατὰ δὲ Πτολεμαῖον ἡ ἄκρα τῆς οὐρᾶς τοῦ Λέοντος καὶ τὰ ὀπίσθια μέρη τῆς ἄρκτου, ἔτι δὲ καὶ ὁ ποὺς καὶ τὰ ὀπίσθια μέρη τοῦ Λέοντος καὶ οἱ πόδες καὶ ἡ οὐρά.

Τῷ δὲ β' δεκανῷ τῆς Παρθένου παρανατέλλει ἀνὴρ κρούων σείστρας καὶ τραγωδῶν καὶ ἔχων πλεξίδιον καὶ εἶδος ἀνθρώπου ῥωμαϊστὶ ὀνομαζομένου βάτ, περσικῶς δὲ ἰάνινα· ἔστι δὲ ταυροκέφαλος, κατέχει δὲ ἐν τῇ αὐτοῦ χειρὶ ἥμισυ ἀνθρώπου γυμνοῦ καὶ ἥμισυ ὄφεως, οὗ ἐν τῇ κεφαλῇ ἐστι σίδηρος, τὴν γῆν ἀροτριῶν, καὶ ἡ οὐρὰ τοῦ ὄφεως τοῦ μέλανος.

Κατὰ δὲ Ἰνδοὺς ἀνὴρ μέλας ἐν παντὶ τῷ σώματι αὐτοῦ ἔχων τρίχας καὶ φορῶν τρία ἱμάτια καὶ τὸ μὲν ἐνδερμάτινον, τὸ δὲ ἕτερον † χιάριον, τὸ δὲ ἕτερον ἀληθινόν, καὶ κατέχων ἐν τῇ χειρὶ αὐτοῦ πλεξίδι, ἐπιμελόμενος ψήφων καὶ εἰσόδων καὶ ἐξόδων.

Κατὰ δὲ Πτολεμαῖον ἡ οὐρὰ τοῦ δράκοντος καὶ οἱ νεφροὶ τοῦ ἄρκτου καὶ ἡ κεφαλὴ τοῦ κόρακος καὶ τὰ πτερὰ καὶ ἡ οὐρὰ τοῦ κήτους.

Τῷ δὲ γ' δεκανῷ παρανατέλλει τὸ ἥμισυ τοῦ βάτου, οὗ προείπομεν, καὶ τὸ ἥμισυ τοῦ γυμνοῦ ἀνθρώπου καὶ τὸ πρόλοιπον ἥμισυ τοῦ ὄφεως τοῦ ἔχοντος ἐν τῇ κεφαλῇ σίδηρον καὶ ἡ οὐρὰ τοῦ Λέοντος καὶ ὁ στάχυς καὶ οἱ β' ταῦροι καὶ ἥμισυ ἀνδρὸς ποιμένος.

Κατὰ δὲ Ἰνδοὺς γυνὴ κωφὴ καὶ σπαστρική, μεγαλόψυχος, φοροῦσα σάγιον βεβαμμένον καὶ σαπουνισμένον καὶ μὴ ἐξηραμμένον ἀλλ' ἔτι ὑγρόν, ἔχουσα λέπρας περὶ τὰς χεῖρας αὐτῆς, ἐφιεμένη ἀπέρχεσθαι εἰς ναοὺς ἐν οἷς ἐπιτελοῦνται εὐχαί.

Κατὰ δὲ Πτολεμαῖον μέρος τι τῆς οὐρᾶς τοῦ δράκοντος καὶ ἡ οὐρὰ τῆς μεγάλης ἄρκου καὶ ὁ ὦμος τῆς Παρθένου καὶ τὸ στῆθος τοῦ κόρακος καὶ τὰ ὀπίσθια μέρη τοῦ Κενταύρου.

1 παιδία μικρά cod. 2 αὐτά cod. 3 Ἰησοῦς : cf. *Sphaera*, p. 428 sq. σκανίου cod. 13 πλεξίδιον = πλόκαμος v. supra p. 158, 21; latere videtur coma Berenices. 14 βάτ i. e. Βοώτης. περσικός cod. 16 ὄφεως falsum pro ξύλου. 19 φορὸν cod. χιάριον corruptum; an χιόνιον? " sericatum " Arab. 20 πλεξίδι(ον) : apud Varahamihiram legitur " calamus ", apud Apomasarem Arab. " atramentarium ", " dawât ", quod vocabulum Byzantinus pro " du'āba ", " crinis propendulus in fronte " sumpsit (Dyroff). 24 βάτου cf. supra v. 14. 25 τοῦ ἥμισυ cod. 28 σπαστρική " munda ". 29 σηπουνιμένον cod. : corr. σαπουνισμένον = vulgo " sapone lavatum " (Cumont). ἐξκραμένον ἀλλότε cod. : ἐξηραμμένον (a ξηραίνω), ἀλλ' ἔτι scripsi.

Ὁ δὲ Ζυγός ἐστι ζῴδιον ἀερῶδες, αἱματῶδες καὶ εὔκρατον, ἐφ' ᾧ ὅτε γένηται ὁ Ἥλιος ἄρχεται ἡμέρα ἐλαττοῦσθαι τῆς νυκτός· ἔστι δὲ καὶ πολυανάφορον, δίχρωμον, διπρόσωπον, προμήκη ἔχον τὴν ἡλικίαν.

Τῷ δὲ α' δεκανῷ αὐτοῦ παρανατέλλει ἀνὴρ θυμώδης κατέχων ἐν τῇ ἀριστερᾷ χειρὶ αὐτοῦ ζυγόν, ἐν δὲ τῇ δεξιᾷ κάμηλον. παρανατέλλουσι δὲ αὐτῷ καὶ τὰ γράμματα καὶ τρεῖς γνωστικοί, ἔτι δὲ ἀνὴρ ἐπὶ στρωμνῆς ἀνακείμενος καὶ μέλεσι μουσικοῖς χρώμενος. παρανατέλλει δὲ αὐτῷ ἡ κεφαλὴ τοῦ δράκοντος καὶ ἡ ἀρχὴ τῆς Ἀχερουσίας λίμνης καὶ μέρος τι πλοίου.

Κατὰ δὲ Ἰνδοὺς ἀνὴρ κατέχων μόδιον καὶ ζυγὸν καὶ καθήμενος ἐν ἐργαστηρίῳ καὶ μετρῶν καὶ σταθμῶν καὶ πωλῶν καὶ ἀγοράζων καὶ πεῖραν ἔχων τῶν τοιούτων.

Κατὰ δὲ Πτολεμαῖον τὸ ἥμισυ τῆς οὐρᾶς τῆς μεγάλης ἄρκτου καὶ τὸ ἥμισυ τῆς κοιλίας τῆς Παρθένου καὶ ἡ ἀριστερὰ αὐτῆς χείρ.

Τῷ δὲ β' δεκανῷ τοῦ Ζυγοῦ παρανατέλλει στράτωρ, ὃν οἱ Ῥωμαῖοι καλοῦσιν ἡνίοχον, καὶ ἅρμα ἔχον ἄνδρα αὐτῷ ἐπικαθήμενον καὶ κατέχοντα ἐν τῇ χειρὶ αὐτοῦ μαγκλάβιον καὶ καλάθιον ἀληθινὸν πραγματευτοῦ τινος, ἐν ᾧ ἔγκειται βλαττίον καὶ πουγγίον· παρανατέλλουσι δὲ αὐτῷ καὶ ῥάπται καὶ μυρεψοὶ καὶ ἀνὴρ ἐπὶ κλίνης καθήμενος καὶ παιδίον μικρὸν καὶ τὰ μέσα τοῦ πλοίου καὶ τὰ ὀπίσθια μέρη τοῦ Κενταύρου καὶ τὰ μέσα τοῦ δράκοντος καὶ τὰ μέσα τῆς Ἀχερουσίας λίμνης.

Κατὰ δὲ Ἰνδοὺς ἀνὴρ τερατοειδής, γυμνὸς καὶ διψῶν, ἀσθενεῖς ἔχων τὰς χεῖρας, ἐπιχειρῶν εἰς τὸν ἀέρα πετάσαι καὶ φροντίζων γυναικῶν καὶ παιδίων.

Καὶ κατὰ Πτολεμαῖον μέρος τι τῆς οὐρᾶς τοῦ δράκοντος καὶ ἡ ἄκρα τῆς οὐρᾶς τῆς μεγάλης ἄρκτου καὶ τὸ ἀριστερὸν σκέλος τοῦ ὀφιούχου καὶ τὸ κράσπεδον τῆς Παρθένου.

Τῷ δὲ γ' δεκανῷ παρανατέλλει τὰ ὀπίσθια μέρη τοῦ δράκοντος καὶ τὰ πρόλοιπα μέρη τοῦ πλοίου καὶ τὰ τέλη τοῦ Κενταύρου καὶ τὰ πρόλοιπα μέρη τῆς Ἀχερουσίας λίμνης καὶ καυκάλου κεφαλὴ καὶ ἀνὴρ γυμνὸς τραγωδῶν καὶ τὰς χεῖρας κατὰ τῆς κεφαλῆς ἐπιτιθείς· παρανατέλλει δὲ αὐτῷ καὶ στέφανος ἐπὶ β' κεφαλῶν δικεράτων. παρανατέλλει δὲ αὐτῷ καὶ εἶδός τι οὐράνιον.

Κατὰ δὲ Ἰνδοὺς ἀνὴρ ἔχων πρόσωπον ἵππου, πήραν ἐνειμμένος, κατέχων ἐν τῇ χειρὶ αὐτοῦ τόξον καὶ βέλος καὶ ἐν βάλτῃ ἀναστρεφόμε-

3-4 ἔχων ἡλικίαν "staturam", cf. supra p. 157, 8. 6 κάμηλον : cf. Dyroffii notam in *Sphaera*, p. 516, 13. παρανατέλλον cod. 7 γνωστικοί : Byzantinus legit "ulamâ" (Dyroff). 9 ἀχαιροῦ cod. 15 αὐτοῦ cod. 18-19 πραγματευτής cod. ἐγγεῖται cod. 20 ῥάπται : Byzantinus legit "ḫajjâṭîn". 23 τερατοειδής : an ἀετοειδής? (Dyroff). 28 ὀφιούχου] cf. infra ad 165, 20. 31 καυκάλου (Dyroff vertit : "das Gehirn eines Kopfes und ein Schädel getrennt vom Gehirn") : τὸ καύκαλον = neogr. "cranium". 36 ἐνβαλτ cod. : i. e. ἐν βάλτῃ, in palude.

νος καὶ ἐφιέμενος κυνηγεῖν καὶ μόνος ἀποδεχόμενος καθέζεσθαι καὶ καθ' ἑαυτὸν διαλογίζεσθαι.

Κατὰ δὲ Πτολεμαῖον μέρος τι τῆς οὐρᾶς τοῦ δράκοντος καί ἡ χεὶρ καὶ μέρος τι τοῦ κρασπέδου τῆς Παρθένου καὶ ἡ ἀριστερὰ χεὶρ τοῦ Κενταύρου καὶ ὁ πoὺς τοῦ Λεόντος.

Τῷ δὲ α' δεκανῷ τοῦ Σκορπίου παρανατέλλει μέρος τι τοῦ ἵππου τοῦ λεγομένου Κενταύρου καὶ τὰ ὀπίσθια μέρη τοῦ ταύρου.

Κατὰ δὲ Ἰνδοὺς γυνὴ ὡραία καὶ εὐτυχής, φροντίζουσα πλούτου, καὶ πολυφάγος καί πλοῦτον ἐπιζητοῦσα καὶ ἐρίζουσα ἕνεκεν αὐτοῦ.

Κατὰ δὲ Πτολεμαῖον ὁ βραχίων τῆς μικρᾶς ἄρκτου καὶ μέρος τι τῆς οὐρᾶς τοῦ †Ὠρίωνος καὶ τὸ στῆθος καὶ οἱ ὦμοι τοῦ Ζυγοῦ καὶ ἡ χεὶρ τοῦ λέοντος καὶ ὁ πoὺς τοῦ Κενταύρου.

Τῷ δὲ β' δεκανῷ τοῦ Σκορπίου παρανατέλλει Ἀσκληπιὸς γυμνὸς καὶ τὸ ἥμισυ τοῦ Κενταύρου.

Κατὰ δὲ Ἰνδοὺς γυνὴ ξένη καὶ ὡραία καὶ γυμνὴ μὴ ἔχουσα ἱματισμὸν μήτε κόσμον ἢ πλοῦτον, ἐντετυλιγμένη τοὺς πόδας διὰ ὄφεως, καὶ ἐν θαλάσσῃ οὖσα καὶ ἐπιζητοῦσα ἐξελθεῖν ἐπὶ τὴν γῆν.

Κατὰ δὲ Πτολεμαῖον ὁ πoὺς τῆς μικρᾶς ἄρκτου καὶ μέρος τι τῆς οὐρᾶς τοῦ δράκοντος καὶ ὁ ῥάβδος τοῦ ὀφιούχου καὶ ὁ βόρειος στέφανος καὶ ἡ κεφαλὴ τοῦ ὄφεως, ἣν κατέχει ὁ ὀφιοῦχος, καὶ ὁ μηρὸς τοῦ ζυγοῦ καὶ τὰ ὀπίσθια τοῦ λέοντος.

Τῷ δὲ γ' δεκανῷ τοῦ Σκορπίου παρανατέλλει τὰ ἔμπροσθεν μέρη τοῦ Κενταύρου τοῦ ἐπιφερομένου λαγωὸν δάκνοντα αὐτὸν καὶ ἄνδρα ἐπιφερόμενον ἰχθύας.

Κατὰ δὲ Ἰνδοὺς κύων καὶ λυκοπάνθηρος καὶ χοῖρος ἄγριος καὶ πάρδος μέγας λευκόθριξ καὶ ἀγρίμια διάφορα κατοικοῦντα ἐν βάλταις.

Κατὰ δὲ Πτολεμαῖον τὸ στῆθος τῆς μικρᾶς ἄρκτου καὶ ἡ λοξότης τοῦ δράκοντος καὶ ἀνὴρ ἐπιγονατίζων καὶ ὁ βραχίων τοῦ νοτίου ὀφιούχου καὶ ἡ κοιλία τοῦ λέοντος καί ἡ ἀρχὴ τοῦ θυτηρίου.

Ὁ δὲ Τοξότης ἐστὶ ζῷον δισώματον καὶ ἐλλεῖπον κατὰ τὸ μῆκος καὶ διχότομον.

5 λέοντος scil. bestiae a Centauro gestatae. 6 λέοντος cod. falso pro σκορπίου. 11 οὐρᾶς τοῦ Ὠρίωνος: falso Byzantinus pro "alšugâ" (hydra) posuit "alšagâ" (fortis i. e. Orion) (Dyroff). 12 λέοντος iterum cod. falso pro σκορπίου. 16 ὄφεως: hanc virginem cum serpente Hygieam esse etiam clarius e Varahamihira elucet, qui eam figuram sic describit: "mulier serpentibus circumvoluta". Vides eum, qui Sphaeram illam indicam invenit, Graecorum deos introduxisse. De Hygiea in sidus ophiuchi transfigurata, cf. *Sphaera*, p. 113 sq. 20 ὀφιούχου falso pro βοώτου ut iam supra p. 164, 28. 21 λέοντος cod. 23 δάκνυντα cod.; cf. p. 168, 23. ἰχθύας frequenti errore pro serpentibus etiam in versionibus Apomasaris latinis usurpatur (nempe Arab. "ḥitân" (pisces) pro "ḥajjatân" (serpentes duo), ut adnotat Dyroff. 28 νοτίου error interpretis pro δεξιός (βραχίων). 29 λέοντος: leg. σκορπίου. 30 ἔνιπον (?) cod.: ἐλλεῖπον scripsi ("unvollständig" vertit Dyroff ex Arab.): ἔλλιπον dixisse videtur interpres.

Τῷ δὲ α' δεκανῷ αὐτοῦ παρανατέλλει ἀνὴρ πνευματικὸς γυμνὸς ὑποκλίνων τὴν κεφαλὴν καὶ ἡ κεφαλὴ τοῦ κυνός.

Κατὰ δὲ Ἰνδοὺς ἀνὴρ γυμνὸς ἀπὸ κεφαλῆς καὶ μέχρι τοῦ μέσου σώματος· τὰ δὲ πρόλοιπα τοῦ σώματος αὐτοῦ εἰσιν ἵππεια· κατέχων ἐν τῇ χειρὶ αὐτοῦ τόξον καὶ βέλος καὶ πλοῦτον ἐπιζητῶν, ἵνα θησαυρίσῃ αὐτόν.

Κατὰ δὲ Πτολεμαῖον ὁ τράχηλος τῆς μικρᾶς ἄρκτου καὶ μέρος τι τοῦ δράκοντος καὶ τὰ ὀπισθία μέρη τοῦ ἐπιγονατίζοντος ἀνδρὸς καὶ ὁ δεξιὸς ὦμος τοῦ ὀφιούχου καὶ ὁ ἀριστερὸς μηρὸς καὶ ὁ ἀριστερὸς πούς.

Τῷ δὲ β' δεκανῷ τοῦ Τοξότου παρανατέλλει ἀνὴρ τῇ ἀριστερᾷ χειρὶ κατέχων τὸ ἴδιον στόμα, τῇ δὲ δεξιᾷ κατέχων κέρας αἰγός, ἀποτείνων τὴν χεῖρα ὡς πρὸς λέοντα· παρανατέλλει δὲ αὐτῷ ἡ κεφαλὴ τοῦ λέοντος ἐκείνου καὶ τὸ ἥμισυ τῆς Ἀργοῦς ἤτοι τοῦ πλοίου καὶ τὸ ἥμισυ τοῦ ἱέρακος.

Κατὰ δὲ Ἰνδοὺς γυνὴ ὡραία καὶ πολύτριχος ᾗ τινι παράκειται καλάθιον ἐμπεπλησμένον γυναικείων κόσμων.

Κατὰ δὲ Πτολεμαῖον τὸ στῆθος τῆς μικρᾶς ἄρκτου καὶ μέρος τι τοῦ δράκοντος καὶ τὸ ἀριστερὸν γόνατον τοῦ ἐπιγονατίζοντος ἀνδρὸς καὶ ἡ κεφαλὴ τοῦ ὀφιούχου καὶ ὁ ἀριστερὸς ὦμος καὶ τὸ βέλος καὶ μέρος τι τοῦ νοτίου στεφάνου.

Τῷ δὲ γ' δεκανῷ τοῦ Τοξότου παρανατέλλει κύων κατέχων εἶδός τι ἐν τῷ στόματι αὐτοῦ καὶ πρόλοιπον μέρος τοῦ λαγωοῦ καὶ ταλαίπωρος ἀνὴρ ἐγκεκυφυῖαν ἔχων τὴν κεφαλὴν καὶ τὸ πρόλοιπον μέρος τοῦ πλοίου καὶ μέρος τι τοῦ δελφῖνος καὶ τὸ ἥμισυ μέρος τῆς μεγάλης ἄρκτου καὶ δράκων καὶ ὄφις.

Κατὰ δὲ Ἰνδοὺς ἀνὴρ χρυσοειδής, φορῶν ἐν τῇ χειρὶ αὐτοῦ βραχιόλιον ξύλινον, ἐντετυλιγμένος σαγίον πεποιημένον ἀπὸ λεπίων δένδρων, ἐπὶ κραββάτου καθήμενος καὶ ὡραῖος ὤν.

Κατὰ δὲ Πτολεμαῖον τὸ ἥμισυ τῆς μικρᾶς ἄρκτου καὶ ἡ κεφαλὴ τοῦ δράκοντος καὶ μέρος τι τῆς χελώνης καὶ ἡ οὐρὰ τοῦ ὄφεως τοῦ κατεχομένου ὑπὸ τοῦ ὀφιούχου καὶ ἡ κεφαλὴ τοῦ Τοξότου καὶ ὁ ἐμπρόσθιος ποὺς καὶ ὁ νότιος στέφανος.

Τῷ δὲ α' δεκανῷ τοῦ Αἰγόκερω παρανατέλλει τὸ ἥμισυ τῆς μεγάλης ἄρκτου καὶ γυνὴ ὑδατώδης ὁμοιοῦσα ταῖς θαλαττίαις γυναιξί· παρανατέλλει δὲ καὶ ἡ λύρα, ἣν κατέχει ἤτοι <βαστάζει> αὕτη ἡ γυνὴ καὶ μελωδεῖ δι' αὐτῆς, καὶ κεφαλὴ μεγάλου ἰχθύος καὶ τὰ ἔμπροσθεν μέρη

12 κατέχων τὸ ἴδιον στόμα : cf. lectionem codicum Arabicorum, *Sphaera*, p. 524 ad versum 14 (Dyroff). αἰγοί cod. 13 λέοντα : " bestia ", postea " canis " Arab. ut iam supra saepius. Vocabulo " sabu' " Arabes et " bestiam " et " leonem " significant (Dyroff). 14 Ἀργῶ. 22-23 εἶδός τι : scil. manum Cephei, cf. *Sphaera*, p. 527; 106 sq. 24 ἐνκεκύφυτον (sic) cod. 28 ἐντετυλιγμένον cod. 31 τῆς ὄφεως cod. 36 lacunam statui et βαστάζει e. g. supplevi. 37 μελωδῶν cod. μεγάλη cod.

τοῦ πονηροῦ λέοντος, οὗ τὸ σῶμα πιθηκόμορφόν ἐστιν, ἡ δὲ κεφαλὴ αὐτοῦ ὁμοία ἐστὶ κεφαλῇ κυνός· ὀνομάζεται δὲ ὁ λέων περσιστὶ σάκσαρ.

Κατὰ δὲ Ἰνδοὺς ἀνὴρ μέλας, θυμώδης, ὅμοιος τὸ σῶμα χοίρῳ ἀγρίῳ, ἔχων ἐν ὅλῳ τῷ σώματι τρίχας πολλάς, προμήκεις ἔχων τοὺς ὀδόντας καὶ ὀξεῖς κατὰ τὰς ἀκάνθας, <κατέχων> δεσμοὺς βοῶν καὶ ἀλόγων καὶ δίκτυον, δι' οὗ σαγηνεύει ἰχθύας.

Κατὰ δὲ Πτολεμαῖον τὸ ἥμισυ τῆς μικρᾶς ἄρκτου καὶ μέρος τι τοῦ δράκοντος καὶ ὁ τράχηλος αὐτοῦ καὶ τὸ πρόλοιπον τῆς λύρας.

Τῷ δὲ β' δεκανῷ τοῦ Αἰγόκερω παρανατέλλει γυνὴ καθημένη ἐπὶ κραββάτου, ἔτι δὲ καὶ κλίμα καὶ τὸ ἥμισυ τοῦ μεγάλου ἰχθύος καὶ τὸ ἥμισυ τοῦ πονηροῦ λέοντος τοῦ λεγομένου σάκσαρ· ἔτι δὲ καὶ τῆς ἀμάξης τὸ ἥμισυ.

Κατὰ δὲ Ἰνδοὺς γυνή, μέλανα φοροῦσα <ἱμάτια> καὶ σάγιον περιτετυλιγμένη, οὗ ἥψατο τὸ πῦρ, ἐργαζομένη σιδηρᾶ ὄργανα· παρανατέλλει δὲ αὐτῇ γαλῆ καὶ βορδώνιον.

Κατὰ δὲ Πτολεμαῖον τὰ ὀπίσθια τῆς μικρᾶς ἄρκτου καὶ μέρος τι τοῦ δράκοντος καὶ τὸ δεξιὸν πτερύγιον τῆς ὄρνιθος καὶ ὁ τράχηλος αὐτοῦ καὶ ἡ μίτυς καὶ τὸ βέλος καὶ τὸ σῶμα τοῦ ἀετοῦ καὶ τὸ κέρατον τοῦ Αἰγόκερω, πρὸς δὲ καὶ ἡ κεφαλὴ καὶ ἡ ἄκρα τοῦ πλεξιδίου τοῦ Τοξότου.

Τῷ δὲ γ' δεκανῷ τοῦ Αἰγόκερω παρανατέλλει ἡ οὐρὰ τοῦ μεγάλου ἰχθύος καὶ τὰ ἔμπροσθεν μέρη τοῦ πονηροῦ λέοντος τοῦ πιθηκομόρφου, ὅς ἐστι κυνοκέφαλος, καὶ τὸ πρόλοιπον ἥμισυ τῆς ἀμάξης καί τι δαιμονικὸν εἴδωλον ἀκέφαλον κατέχον ἐν τῇ χειρὶ τὴν ἰδίαν κεφαλήν.

Κατὰ δὲ Ἰνδοὺς γυνὴ ὡραία τὸ εἶδος καὶ τοὺς ὀφθαλμούς, μέλαινα τὸ εἶδος, λεπτόχειρ καὶ ἐργαζομένη διάφορα ἔργα, φροντίζουσα κόσμων σιδηρέων.

Κατὰ δὲ Πτολεμαῖον τὰ ὀπίσθια μέρη τῆς μικρᾶς ἄρκτου καὶ ἡ λοξότης τῆς οὐρᾶς τοῦ δράκοντος καὶ ἡ τῆς ὄρνιθος οὐρὰ καὶ ὁ δεξιὸς αὐτῆς ποὺς καὶ τὸ ἀριστερὸν πτερύγιον καὶ ὁ δελφὶς καὶ τὰ μέσα τῆς αἰγὸς και ἡ οὐρὰ τοῦ νοτίου ἰχθύος.

Τῷ δὲ α' δεκανῷ τοῦ Ὑδροχόου παρανατέλλει ὁ ποταμὸς καὶ ἀνὴρ κατέχων ἐν τῇ χειρὶ αὐτοῦ λαγένι καὶ ἡ κεφαλὴ τοῦ ἡνιόχου καὶ ἡ κεφαλὴ πτηνοῦ μέλανος, ἐξ ὕδατος δι' ἰχθύων τρεφομένου.

1 λέοντος : interpres ut supra p. 166, 13 vertit vocabulum arabicum " sabu' ", i. e. θηρίον. 3 σάκσαρ = κυνοκέφαλος, cf. *Sphaera*, p. 501, 4. 6 ὀξεῖς κατὰ τὰς ἀκάνθας " acuti velut spinae ". Post ἀκάνθας " sequitur in cod. ni fallor, lacuna unius verbi " (Bassi) : supplevi κατέχων. 11 κλίμα pro κλῆμα neogr. = vitis; " vitis " Arab. : ἄμπελος Teucer (Dyroff). 14 ἱμάτια supplevi. 16 αὐτῷ cod. γάλα cod. βορδώνιον: Arab. praebet " lacerta ". 19 μίτυς " nasus "; apud Arab. " caput ". 20 πλεξειδίου cod. 26 μέλανας cod. 32 αἰγός : immo αἰγόκερω. 34 λαγένει cod.; Dyroff confert neogr., λαγένα, λαγένιον; latine " lagena ".

Κατὰ δὲ Ἰνδοὺς ἀνὴρ ὅμοιος ζιγγῷ ἐπιφερόμενος σάγιον καὶ πεύκι, φροντίζων ποιῆσαι σκεῦος χάλκιον καὶ ξύλινον, ὥστε χρυσὸν αὐτοῦ ἐμβαλεῖν καὶ οἶνον καὶ ὕδωρ.

Κατὰ δὲ Πτολεμαῖον ἡ ῥίζα τῆς οὐρᾶς τῆς μεγάλης ἄρκτου καὶ τοῦ Κηφέως ὁ ποὺς καὶ ἡ χεὶρ ἡ δεξιὰ καὶ ὁ ἀριστερὸς ποὺς τῆς ὄρνιθος καὶ ἡ ἄκρα τοῦ ἀριστεροῦ αὐτοῦ πτέρυγος καὶ ἡ κεφαλὴ τοῦ Ὑδροχόου καὶ ὁ δεξιὸς ὦμος καὶ τὰ ὀπίσθια μέρη τοῦ Αἰγόκερω καὶ ἡ τούτου οὐρὰ καὶ τὰ ὀπίσθια μέρη τοῦ νοτίου ἰχθύος.

Τῷ δὲ β' δεκανῷ παρανατέλλει τὸ ἥμισυ τοῦ ἀνθρώπου τοῦ κρατοῦντος τὸν ἵππον διὰ τῆς ἀριστερᾶς χειρός, ἐν δὲ τῇ δεξιᾷ κατέχοντος χοῖρον ἄγριον· ἔτι δὲ καὶ δύο ἰχθύας καὶ τὸ ἥμισυ τοῦ Κενταύρου καὶ τὸ πτερύγιον τοῦ προειρημένου πτηνοῦ τοῦ ἀγρεύοντος ἰχθύας ἀπὸ τοῦ ὕδατος· παρανατέλλει δὲ αὐτῷ καὶ ὁ δράκων.

Κατὰ δὲ Ἰνδοὺς ἀνὴρ μακρόγενυς· οὗτος εἶδος ὅμοιος ζιγγῷ, ἱππότης, κατέχων τόξον καὶ βέλη ἐν τῇ χειρὶ καὶ μαρσίπιον ἔχον λιθίον ὑακίνθου καὶ σμάραγδον καὶ μαργαρίτην καὶ τὰ λοιπὰ τῶν τιμίων λίθων, ἔτι δὲ καὶ χρυσόν.

Κατὰ δὲ Πτολεμαῖον τὰ μέσα τῆς μικρᾶς ἄρκτου καὶ ὁ μηρὸς τοῦ Κηφέως καὶ ὁ δεξιὸς ὦμος καὶ ἡ κεφαλὴ τοῦ β' ἵππου καὶ τὸ ἀγγεῖον τὸ κατεχόμενον παρὰ τοῦ Ὑδροχόου καὶ τὰ μέσα τοῦ νοτίου ἰχθύος.

Τῷ δὲ γ' δεκανῷ τοῦ Ὑδροχόου ὁ μέγας ὄρνις καὶ τὰ ὀπίσθια τοῦ ἡνιόχου καὶ τὰ ὀπίσθια μέρη τοῦ Κενταύρου καὶ λύκος κατέχων τὴν χεῖρα τοῦ Κενταύρου καὶ δάκνων αὐτήν.

Κατὰ δὲ Ἰνδοὺς ἀνὴρ μέλας, θυμώδης καὶ πονηρός, τρίχας ἔχων ἐν τῷ ὠτίῳ αὐτοῦ καὶ στέφανον ἐπὶ τῆς κεφαλῆς ἀπὸ φύλλων δένδρου καὶ ὀπωρῶν καὶ ἀνὴρ ψηλαφῶν σίδηρον καὶ μετακομίζων αὐτὸν ἀπὸ τόπου εἰς τόπον.

Κατὰ δὲ Πτολεμαῖον τὸ ἥμισυ τῆς μικρᾶς ἄρκτου καὶ ὁ μηρὸς τοῦ Κηφέως καὶ ὁ ἀριστερὸς αὐτοῦ ὦμος καὶ ἡ κεφαλὴ καὶ ὁ ἐμπρόσθιος τοῦ ἵππου ποὺς καὶ τοῦ Ὑδροχόου τὸ σκέλος τὸ δεξιὸν καὶ ὁ ἀριστερὸς αὐτοῦ ποὺς καὶ ἡ κεφαλὴ τοῦ νοτίου ἰχθύος.

Τῷ δὲ α' δεκανῷ τῶν Ἰχθύων παρανατέλλει τὸ ἥμισυ τοῦ πτερωτοῦ ἵππου καὶ ἡ κεφαλὴ τοῦ ἐλάφου, ἥστινος ἐπὶ τοὺς ῥώθωνας ἐκρέμανται β' ὄφεις· τινὲς δὲ λέγουσιν ὅτι κεφαλὴ σκορπίου, ἐν ᾗ ἐκρέμανται ὄφεις β'· καὶ ἡ ἀρχὴ τοῦ ῥύακος, ἣν ὀνομάζουσίν τινες Πηλέα, καὶ ἡ οὐρὰ τοῦ κροκοδείλου.

1 ζυγγῶ (supra υ script. ι) cod.: cf. supra p. 162, 23. 2 πεύκι: codicis scriptura incerta (πευκ vel πλυκ); πεύκιον s. πεύκι (lapes) Dyroff secundum Arab. recte coniecit, cf. supra p. 159, 27. 3 οἶον cod. 11 ἰχθύας pro " serpentes ": cf. supra p. 165, 24. Κενταύρου: cf. Dyroff, *Sphaera*, p. 533, 6. 14 μακρόγονος cod.: μακρογένης coniecit Dyroff = neogr. " vir cum longa barba " sic etiam Arab. ζιγγῷ: cf. supra v. 1. 15 ἔχων cod. λίθινον cod. 30 σκέλη cod. 35 Πηλέα: corruptum ex vocabulo Arab. pro " Nilo ", quod pro λίνον scripserant; cf. *Sphaera*, p. 489.

Κατὰ δὲ Ἰνδοὺς ἀνὴρ ἐνδεδυμένος στολὴν ὡραίαν καὶ σίδηρον, διὰ πυρὸς ἐργαζόμενος καὶ κατέχων ἐν τῇ χειρὶ αὐτοῦ ἰχθύας γ' ἐνώπιον αὐτῷ τεθειμένους, σὺν αὐτῷ δὲ καὶ παιδίον, περιπατῶν δὲ εἰς τὴν ἰδίαν οἰκίαν.

Κατὰ Πτολεμαῖον δὲ ἡ ἄκρα τῆς οὐρᾶς τῆς μικρᾶς ἄρκτου καὶ ὁ ἀριστερὸς βραχίων τοῦ Κηφέως καὶ ἡ κοιλία τοῦ β' ἵππου καὶ ἡ ἀρχὴ τοῦ α' ἰχθύος καὶ ἡ κοιλία τοῦ Ὑδροχόου.

Τῷ δὲ β' δεκανῷ τῶν Ἰχθύων παρανατέλλει τὸ ἥμισυ τῆς ἐλάφου, ἧς ἐν τῇ ῥινὶ ἐκρέμανται β' ὄφεις, καὶ τὸ ἥμισυ τοῦ ποταμοῦ καὶ τὸ ἥμισυ τοῦ κροκοδείλου καὶ τὸ α' ἥμισυ τοῦ ἀνδρὸς ἐπὶ τῶν γονάτων.

Κατὰ δὲ Ἰνδοὺς γυνὴ ὡραία τὸ εἶδος, λευκοτάτη τὴν σάρκα, ἐν πλοίῳ διάγουσα θαλαττίῳ, ἔχουσα μεθ' ἑαυτῆς τοὺς συγγενεῖς αὐτῆς καὶ τοὺς φίλους καὶ ἐπιζητοῦσα ἅψασθαι τῆς γῆς.

Κατὰ δὲ Πτολεμαῖον τὰ στήθη τῆς μικρᾶς ἄρκτου καὶ τὰ σκέλη καὶ ὁ ποὺς τοῦ Κηφέως καὶ κεφαλὴ γυναικὸς καὶ ἡ τοῦ κήτους οὐρά.

Τῷ δὲ γ' δεκανῷ τῶν Ἰχθύων παρανατέλλει τὰ ὄπισθεν μέρη τοῦ σκορπίου καὶ τὰ τέλη τοῦ ποταμοῦ καὶ τὸ β' ἥμισυ τοῦ ἐπὶ τῶν γονάτων.

Κατὰ δὲ Ἰνδοὺς ἀνὴρ γυμνὸς κοντάριον ἔχων ἐν τῇ κοιλίᾳ αὐτοῦ καὶ καθήμενος ἐν ἐρήμῳ καὶ βοῶν διὰ φόβον λῃστῶν καὶ διὰ φόβον πυρός.

Κατὰ δὲ Πτολεμαῖον ἡ ἄκρα τῆς οὐρᾶς τοῦ μικροῦ ἄρκτου καὶ τὰ μέσα τῆς γυναικὸς τῆς καθημένης ἐπί θρόνου καὶ τὸ ἥμισυ τῆς γυναικὸς τῆς ζητούσης τὸν ἄνδρα καὶ μέρος τι τοῦ λινοῦ ῥάμματος καὶ τὰ ὀπίσθια μέρη τοῦ κήτους. F. B.

F. 78. λβ'. Περὶ σινωτικῶν ζῳδίων τῶν ὀφθαλμῶν καὶ μοιρῶν[1].

Σινωτικὰ δὲ τῶν ὀφθαλμῶν εἰσιν αἱ ἐν τῷ Ταύρῳ Πλειάδες καὶ αἱ ἐν τῷ Καρκίνῳ νεφελοειδεῖς συστροφαὶ καὶ ͺτὸ κέντρον τοῦ Σκορπίου καὶ τὸ ἐν τῷ Τοξότῃ βέλος καὶ ἡ ἄκανθα τοῦ Αἰγοκέρωτος καὶ ἡ ῥύσις

2 ἐνύπιον cod. 3 παιδίον: cf. Dyroff, *Sphaera*, p. 536, ad vers. 7. 11 Haec femina in sphaera Indorum collocata sine dubio Andromeda Graecorum est. 14 τὸ στήθη et infra τὸ σκέλη cod. 17 σκορπίου in cod. sign. astronomico scriptum : cf. de hac constellatione *Sphaera*, p. 257 et 539. τὰ β' ἥμισυ τὸ cod. 19 κοντιάριον (sic cod.) ἐν τῇ κοιλίᾳ αὐτοῦ: haec iam in codd. Arab. corrupta sunt; " neque vocabulum " rumḥaṇ „ (lanceam) mutari potest, cum verbum " rakaza „ de lancea dicatur „ (Dyroff). Varahamihira habet " with serpents entwined round his body „ ex versione Colebrookii; Achmes, cuius translatio non de Apomasare pendet (v. *Sphaera*, p. 485), recte : τανύσας εἰς τὸν πόδα αὐτοῦ ὄφιν. 23-24 γυναικὸς τῆς ζητούσης τὸν ἄνδρα i. e. Ἀνδρομέδα, cf. *Sphaera*, p. 429 not. et 489, 14.

[1] Hanc de stellis perniciosis doctrinam ex auctore anni 379 p. C., qui infra edetur (p. 208) hausisse videtur Apomasar, qui tamen, ut ipse vel interpres graecus dicit,

τῶν ὑδάτων ἢ ἐν τῷ Ὑδροχόῳ. σημαίνουσί τι ἀπόστημα ἐν τοῖς ὀφθαλμοῖς. καὶ αἱ μὲν Πλειάδες εἰσὶ κατὰ τὸν παρόντα καιρὸν ἐν τῇ ιγ′ μοίρᾳ τοῦ Ταύρου καὶ λς′ λεπτῷ· ἡ δὲ νεφελοειδὴς συστροφὴ ἡ ἐν τῷ Καρκίνῳ ἐπέχει τὴν κα′ μοῖραν τοῦ Καρκίνου μέχρι τῶν η′ λεπτῶν· τὸ δὲ κέντρον τοῦ Σκορπίου ἐπέχει τὴν κ′ μοῖραν τοῦ Σκορπίου καὶ τὴν κα′· τὸ δὲ βέλος τὸ ἐν τῷ Τοξότῃ ἐπέχει τὴν ε′ μοῖραν τοῦ Τοξότου καὶ λεπτὰ κ′ καὶ τὸ πλάτος αὐτοῦ ἐστι νότιον μοῖρα ς′ λεπτὰ κ′· ἡ ἄκανθα τοῦ Αἰγόκερω ἐπέχει τὴν κβ′ μοῖραν τοῦ Αἰγόκερω καί ἐστι τὸ πλάτος αὐτῆς βόρειον μοῖρα ρθ′ λεπτὰ ιε′· ἡ δὲ ἐκροὴ τοῦ Ὑδροχόου ἐπέχει τὴν κ′ μοῖραν τοῦ Ὑδροχόου καὶ λεπτὰ ι′ ἄχρι τῆς κδ′ μοίρας τοῦ Ὑδροχόου καὶ τῶν κ′ λεπτῶν. αἱ δὲ μοῖραι καὶ τὰ λεπτά, ἃ προείπομεν, εἰσὶ κατὰ τὰς ἐποχὰς τῶν ἀστέρων ἐν τῷ καθ' ἡμᾶς χρόνῳ· δεῖ δὲ μετακινεῖν ταῦτα κατὰ τὴν πρόφασιν τῶν ἐτῶν. εἰσὶ δὲ καὶ ἕτεροι σινωτικοὶ ὀφθαλμῶν, ὧν μνημονεύσομεν εἰς τὰ μετέπειτα. F. C.

---

positiones quas astra in suo tempore obtinebant indicavit. Ad eorum longitudines inveniendas non computationem adhibuisse videtur, ita ut secundum Ptolemaei normam pro centenis annis differentiam gradus unius statueret, sed ad observationem caeli recurrisse parum accuratam, nisi numeri a librario omnino corrupti sint. Certe falsi sunt quos codex praebet, nec quicquam inde ad tempus definiendum quo Apomasaris opus graece versum est, eruere potuimus. Quod ut manifestius fiat, longitudines huius scriptoris et Ptolemaei conferamus.

	Apomasar.	Ptolemaeus.	Differentia
Πλειάδες . .	♉ 13° 36′	♉ 2° 10′ — 3° 40′	11° 26′ — 9° 56′
Νεφελοειδὴς συστροφή.	♋ 21° 8′	♋ 10° 20′ — 7° 40′	10° 48′ — 13° 28′
Κέντρον τοῦ Σκορπίου .	♏ 20° — 21°	♏ 27° 40′ — 27°	— circa 7°
Βέλος τοῦ Τοξότου .	➻ 5° 20′ — 6° 20′	➻ 4° 30′ — 4° 9′	circa 2° — 1°
Ἄκανθα τοῦ Αἰγόκερω .	♑ 22°	♑ 23° 20′	— 1° 20′
Ἐκροὴ τοῦ Ὑδροχόου.	♒ 20° 10′ — 24° 20′	♒ 14° 50′ — 23° 10′	maxim. 5° 20′

Ex Palchi libro apotelesmatico.

Palchus, cuius liber in bibliotheca secreta Chalipharum simul cum aliis astrologis graecis Bagdadae saeculo IX servabatur (*Catal.*, I, p. 84, 1 : Ἡ βίβλος τοῦ ἑρμηνευτοῦ Πάλχου), exeunte V et ineunte VI floruisse videtur. Nam responsa apotelesmatica refert quae ipse Alexandriae vel Smyrnae dedit annis 475-488 (*Catal.*, I, p. 100 ss.; VI, p. 63 ss.). Iuliani autem Laodicensis " Introductionem „, quae observationem caeli mensis octobris a. 497 continet, aliaque scripta eiusdem auctoris excerpsit (cf. Cumont et Stroobant, *Bull. Acad. Belg.*, 1903, p. 572 s.).

Quisquis Palchus ille est, opus eius, quamvis misere decurtatum et interpolatum ad nostram pervenerit aetatem (v. infra p. 180, n. 1), maximi tamen est momenti ad veterum astrologorum doctrinam operaque cognoscenda. Capita nonnulla eius iam in Catalogo nostro (I, p. 94 ss.; VI, p. 63 ss.) praebuimus; plura ex codice Angelico nunc proferre iuvabit, donec totus liber, quod optandum est, cum commentariis a viro philologo edatur. — Primum in hoc codice obtinet locum :

Dodecaeteris chaldaica.

De ratione dodecaeteridis " chaldaicae „ quam vocant (Censorinus, *De die nat.*, XVIII, 6) dixi in *Catal.*, II, p. 139 sqq.; apud Wissowa, *Realencyklopaedie* s. v.; in *Sphaera* mea, p. 329 sqq.; *Berl. Philol. Wochenschr.*, 1904, p. 1219. Novam huius cycli descriptionem edituro indicem omnium exemplarium hucusque mihi notorum hic proferre mihi visum est:

1. *Geoponic.*, I, 12 (ed. Beckh, p. 21). Δωδεκαετηρὶς τοῦ Διός, καὶ ὅσα ἀποτελεῖ περιπολεύων τοὺς δώδεκα οἴκους τοῦ ζῳδιακοῦ κύκλου Ζωροάστρου. Inc. Ὁ ζῳδιακὸς κύκλος τέτμηται εἰς δώδεκα οἴκους. Des. μὴ γενέσθαι σεισμούς. Cum hac dodecaeteride artissimo vinculo cohaerere videtur cod. Vindobon. 108, f. 237, cap. ος' (cf. *Catal.*, VI, p. 8) : Ἀποτελέσματα εἰς τέσσαρας καιροὺς τοῦ ἐνιαυτοῦ. Inc. Ὁ ζῳδιακὸς κύκλος τέτμηται. Des. μὴ γένωνται σεισμοί.

2. Dodecaeteris saeculi I p. Chr. n., edita in *Catal.*, II, p. 144-150 ex codd. Paris. 2420, f. 205 et Marc. 324, f. 89 : Δωδεκαετηρὶς ἀκριβὴς ἔτους ͵ςφδ' κτλ. Inc. Ἔτος α' Κριοῦ. Ἔσται τὸ ἔτος τοῦτο ἀπὸ βορρᾶ τραχῦνον. Des. ἡ θάλασσα χειμέριος.

3. Ex iisdem codicibus Paris. 2420, f. 209, et Marc. 324 (cf. *Catal.*, II, 139) edidi, *Catal.*, II, 150-152, alteram dodecaeterida, quae sit incipit: Κριοῦ τὸ ἔτος· χειμὼν ψυχρός. Des. καὶ ζῴων ἔκλειψις.

4. Περὶ τῆς τῶν ζῳδίων βασιλείας edd. Bassi et Martini in *Catal.*, III, p. 30 sq. ex cod. Ambros. B 33 sup. Inc. Δεῖ γινώσκειν ὅτι τῶν καθ' ἕνα καιρῶν. Des. σπανίως πλασθήσονται. καὶ ταῦτα περὶ τῆς βασιλείας τῶν ζῳδίων.

5. In cod. Bononiensi 3632, f. 325 (cf. *Catal.*, IV, p. 45) : Περὶ ποίῳ ζῳδίῳ περιπολεύει τὸν χρόνον. Inc. Ἔτους Κριοῦ ἐστι ἀνοχὴ καὶ χυμῶνες. Des. ὁ δὲ Διονυσιακὸς καρπὸς πλῖον πάντων. Nondum editum est.

6. Monac. gr. 287, f. 92ʳ; Vatic. gr. 1290, f. 69ʳ; Mutinens. 85 (III, C 6), f. 23ʳ (cf. *Catal.*, IV, p. 29) : Περὶ τῆς φύσεως τῶν ιβ' ζῳδίων καὶ πρὸς τὰ ἐνιαύσια κατα-

στήματα τῶν φυσικῶν ἰδιωμάτων. Inc. Τὸ δωδεκάστοιχον μόφωμα. Des. ἀναπληροῦσιν. Haec dodecaeteris quae in codicibus cum excerptis e Ptolemaei Tetrabiblo lib. II, cap. 13 coniuncta est, infra p. 241 edetur.

7. Vindobon. gr. 262, f. 158-162. Inc. Ἐὰν γεννᾶται ἐν Κριῷ ὁ χρόνος. Des. ἥξουσι Φρυγία Γαλατία καὶ τὰ λοιπά. Nondum editum est.

8. In codice Taurinensi, C VII, 15, nunc quidem, ut timendum est, igni consumpto, olim (cf. *Catal.*, IV, p. 16) inveniebatur capitulum, f. 83ʳ : Περὶ τοῦ πῶς εὑρίσκειν τὸ βασιλεύων (sic) ζῴδιον κατ' ἐνιαυτὸν ἤγουν τὸν καθ' ἕνα χρόνον ; quod sequebatur alterum capitulum : Περὶ τῆς τῶν ζῳδίων βασιλείας (cf. supra nº 4). In eodem codice f. 64 inveniebatur capitulum cui inscriptum erat : Περὶ τοῦ πῶς δεῖ εὑρίσκειν τὸν βασιλεύοντα ἀστέρα τοῦ χρόνου ; inc. Ἔστω σοι δῆλον καὶ τοῦτο. Hoc idem capitulum ni fallor praebet cod. Neapolitanus, II, C 33, f. 15ʳ (cf. *Catal.*, IV, p. 50 : Περὶ πῶς δεῖ εὑρίςκειν τὸν βασιλεύοντα ἀστέρα ἐκ τῶν ζῳδίων κατὰ ἐνιαυτῶν. Inc. Ἔστε (!) δῆλον ὅτι τὰ ιβ' ζῳδία. Nihil horum iam editum est.

9. In cod. Angel. 29, f. 36 (cf. supra p. 12) invenitur Apomasaris libri primi cap. ρμε' : Περὶ τοῦ γνῶναι ὀπωρῶν ιβ' ἔμπροσθεν σου, μὴ ὁρῶντός σου εἰπεῖν ποῖόν ἐστι καλὸν καὶ ποῖον φαῦλον. Inc. Δώδεκα ὀπωρῶν προτεθέντων. Des. καὶ καλήν. Videtur Dodecaeteris chaldaica. Nondum typis impressa est.

10. Deperditum est capitulum syntagmatis astrologici in codice Angel. 29, num. σμδ' signatum (cf. supra p. 50) : Περὶ τοῦ γνῶναι καθ' ἕκαστον ἐνιαυτὸν ποῖον ζῴδιον ἄρχει αὐτοῦ ἤτοι ὡροσκόπου (l. ὡροσκοπεῖ?).

11. Orphei dodecaeteridis versu heroico scriptae fragmenta invenies apud Abel, *Orphica*, fr. 12, 21-23, 285 ; cf. *Sphaera*, p. 330, 1.

12. Praeterea cf. quae Salmasius, *De annis climacter.*, p. 238, e Valente excerpsit. De cyclo duodecim annorum qua planeta Iovis cursum peragit, cf. etiam Cleomedes, p. 30, 22, ed. Ziegler, qui verbo δωδεκαετία usus est.

Haec de cyclo XII annorum ab astrologis descripto usque ad hunc diem comperire potui. Nunc publici iuris faciam Palchi capitulum primum quod invenitur in cod Angelico 29, f. 92ʳ (cf. supra p. 28 = A). Usus sum quoque imaginibus photographicis codicis Ambrosiani (= Mediolanensis 8) quas mihi benigne misit Achilles Ratti, Bibliothecae Ambrosianae subpraefectus ; codicis Angelici photogrammata Christiani Huelseni humanitati debeo. F. B.

F. 92ᵛ. α'. Περὶ τῶν ιβ' ζῳδίων καὶ τῶν δ' καιρῶν.

Δέον τιθέναι τὰ ἀπὸ Ἀδὰμ ἔτη μετὰ τοῦ ζητουμένου καὶ ταῦτα ἀναλύειν εἰς τὰ ιβ' καὶ τὰ μένοντα λαμβάνειν ἀπὸ Κριοῦ καὶ κατὰ τὸ ζῴδιον ἐν ᾧ καταλήξει, λέγε τὸν χρόνον ἐκεῖνον γίνεσθαι. καὶ εἰ μὲν τῆς ἐαρινῆς τροπῆς ἐστι τὸ ζῴδιον, ἔσται ὁ χρόνος ἐκεῖνος θερμὸς καὶ ὑγρός, εἰ δὲ τῆς θερινῆς, θερμὸς καὶ ξηρός, εἰ δὲ τῆς μετοπωρινῆς, ψυχρὸς καὶ ξηρός, εἰ δὲ τῆς χειμερινῆς, ψυχρὸς καὶ ὑγρός.

1-7 Num haec quae ipsam descriptionem circuli XII annorum antecedunt ab ipso Palcho scripta sint, iure dubitaveris. 2 'Αέον A. τοῦ 'Αδὰμ M. 3 λαμβάνειν omis. A. 4 καταλήξει : supra ει script. η in cod. 7 ξηρὸς και ψυχρός M.

Πρῶτον ἔτος Κριοῦ. Ἔσται τὸ ἔτος τοῦτο τὸ μὲν ὅλον ὀμβρῶδες, ὁ δὲ χειμὼν κατάψυχρος καὶ χιονώδης, ἐπιτεταμένος δὲ καὶ πνευματώδης. ἐν δὲ τῷ ἔτει τούτῳ <δεῖ τὸν σπόρον> ἐπιτελεῖν πάντοτε ἀπὸ μηνὸς Φοίνικος, ὅ ἐστι Δίου μέσου, ἐν ἡμέραις μ', ὡς τοῦ μετὰ ταῦτα σπόρου ἐσομένου καταδεεστέρου· ἔσονται γὰρ ποταμοὶ μεγάλοι καὶ συνεχεῖς καὶ σφοδροὶ ὄμβροι. ἐν δὲ τῷ ἔτει τούτῳ οἱ ἀέρες οὐκ εὖ διακείμενοι ἔσονται· καὶ κατὰ μέσον τὸν χειμῶνα πνεύματα μεγάλα ἀπὸ χειμερινῆς ἀνατολῆς ἔσονται <........>, κατὰ δὲ τὴν Ζεφύρου γένεσιν ὥστε μετὰ τὴν ἐαρινὴν ἰσημερίαν μεταλλάσσει ὁ ἀὴρ ἐν ἡμέραις <...> ἐν ὑστέρῳ δὲ ἔσονται ὕδατα μαλακὰ καὶ πυκνά, καὶ πολλὰ δὲ ἀπὸ Πλειάδος ἀνατολῆς. δεῖ δὲ ποιεῖσθαι τὴν τῶν ἀμπέλων ἐργασίαν ὀψιαίτερον· ἐν τούτῳ δὲ τῷ ἔτει ἔσται ὁ Δημητριακὸς ἢ ὁ Διονυσιακὸς καρπὸς <......> ἔσται δὲ καὶ τὰ βοσκήματα ἔννοσα.

Δεύτερον ἔτος Ταύρου. Ἔσται τὸ ἔτος τοῦτο τοῖς μὲν ἐγγὺς ἐπικρατούμενον πνεύμασι, τοῖς δὲ ἄποθεν πέρας. ὁ χειμὼν δὲ ἀρχόμενος ἀπὸ ψυχροῦ· μάλιστα δὲ χειμάσει ἀπὸ μέσου χειμῶνος ἕως ἰσημερίας ἐαρινῆς· ἡ δὲ ἐπίτασις ἔσται τοῦ χειμῶνος εὔκρατος καὶ ἔφυδρος. † διὰ δὲ τὸ ἀσυντελὲς τῶν σπόρων ἐν τούτῳ τῷ ἔτει ἀπὸ Πλειάδος δύσεως αὐτῶν ἐν ἡμέραις λ'· καὶ τὸν ἐρχόμενον σπόρον ἤτοι τὸν ἐσόμενον καὶ τὸ ἔαρ ἀπαλυνεῖ. καὶ τῶν τόπων οἱ πεδινοὶ ἔσονται

1 Πρῶτον ἔτος Κριοῦ in marg. codd. recte add. man. 2 et sic semper numeros et nomina singulorum signorum praenotaverunt. τὸ μὲν M : τὸ omis. A. 2 Cf. *Geopon.*, p. 22, 8; *Catal.*, II, p. 144, 6. 3 Post τούτῳ sequitur in A et M lacuna fere decem litterarum. δεῖ τὸν σπόρον inserui. 4 Pro μηνός suspicatus eram πνοῆς (de vento Phoenice, cf. Plin. N. H., II, 47, 120. Timosthen. apud Agathemerum, II, 7 apud Müller, *Geogr. min.*, II, 473) sed cf. infra p. 175, 13 ἀπὸ Φοινίκου (?) μέσου. Habemus igitur nomen mensis adhuc ignotum, nisi excerptor vocabulum Φοῖνιξ falso interpretatus rem ita perturbavit, ut pro Dio mense Phoenicum, i. e. Tyriorum et Sidoniorum (cf. Dittenberg in Wissowa, *Realencycl.*, V, 1081) mensem quendam Phoenicem nomine insereret. 5 Cf. *Geopon.*, p. 22, 9; *Catal.*, II, p. 144, 45. 7 καὶ omis. A. 8 Cf. *Catal.*, II, l. c., κατὰ μέσον δὲ χειμῶνα ... συμβήσονται μεγάλα πνεύματα ἀπὸ χειμερινῆς ἀνατολῆς· κατὰ δὲ τὴν τοῦ Ζεφύρου πνοὴν μετὰ τὴν ἐαρινὴν ἰσημερίαν ... μεταβάλλεται ὕστερον ὁ ἀὴρ ἡμέρας γ' εἰς ὕδατα καὶ πνεύματα πυκνὰ καὶ μαλακὰ καὶ μετὰ γ' ἔτι ἕως Πλειάδος ἀνατολῆς. Igitur apud Palchum multa corrupta esse crediderim; pro κατὰ τὴν Ζεφύρου γένεσιν lacunam statui; supplendum videtur fere ἕως ἰσημερίας ἐαρινῆς. 9 Post ἡμέραις spatium unius litterae in cod. vacuum : in marg. A : Ζήτ(ει) πόσας. 12 ἔτει omis. M. δημητριανός codd. 13 Post καρπός in codd. lacuna significatur; *Catal.*, II, l. c., 14, ὁ δὲ σιτικὸς πλείων τοῦ Διονυσιακοῦ ἔσται. βοσκήματα ἔννοσα : cf. *Geopon.*, p. 22, 12, ἔσονται ... νοσήματα. Aliter *Catal.*, II, l. c., τοῖς βοσκήμασιν εὐετηρία ὑπάρχει. 15 ἐπικρα̅ codd.; *Catal.*, II, 145, 1 ἐπικρατούμενον πνεύμασιν ἑσπερίοις. πέρας om. M lacuna significata. An scribendum τὰ μὲν ἔγγυς? 16 ἀπὸ ψυχροῦ : aliter *Catal.*, l. c., et *Geopon.*, l. c. κατὰ μέσον χειμῶνα M. 18 διὰ δὲ usque ad αὐτῶν corrupta: scribendum puto δεῖ δὲ συντελεῖν τὸν σπόρον ἐν τούτῳ τῷ ἔτει (τῷ ἔτει τούτῳ M) ἀπὸ Πλειάδος δύσεως [αὐτῶν] ἐν ἡμέραις λ'; cf. *Catal.*, II, 145, 9, δεῖ δὲ τὸν σπόρον συντελεῖν ἀπὸ μηνὸς Νοεμβρίου καὶ Ἀγριππαίου ἐν ἡμέραις λ'. 20 ἀπαλύνει A. Cf. *Catal.*, l. c., 12, τῶν δὲ τόπων τὰ πεδινώτερα φοριμώτερα; eadem in *Geopon.*, p. 23, 2.

φόριμοι, οἱ δὲ ὀρεινοὶ ἄφοροι· καὶ τῶν ξυλίνων καρπῶν φθορά· καὶ τὰ φυτευθέντα τῷ ἔτει τούτῳ προστήσεται· ἔσται δὲ τοῖς βοσκήμασιν εὐετηρία· ἔσται δὲ τὸ θέρος καυματῶδες.

Τρίτον ἔτος Διδύμων. Ἔσται τὸ ἔτος τοῦτο τὸ μὲν ὅλον νότιον, ἔχον δὲ καὶ χειμῶνα μάλκιον καὶ πυκνὸν καὶ σφοδρόν· καὶ χειμῶνος σπάνις τούτῳ τῷ ἔτει καὶ πνευμάτων ἔκλειψις· ἔχει δὲ καὶ σπόρους καλοὺς πάντας καὶ εὐκαίρους· γενέσθαι δὲ εἴωθεν ὡς ἐπίπαν φόριμον κατὰ πάντα διὰ τὴν τῶν ἀνέμων ἔκλειψιν· πλεῖστος δὲ γίνεται Δημητριακὸς καρπός· τὸ δὲ ἔαρ εὔκρατον καὶ λεπτὰ ἔχον ὕδατα. πάντα δὲ τὰ ἔργα προλαμβάνειν δεῖ, μὴ καταλάβωσιν οἱ καρποὶ τὰ ἔργα. τὸ δὲ θέρος ἔσται εὔκρατον. τούτῳ τῷ ἔτει ἀνέμους λαμπροὺς ἔσεσθαι ἐπίδηλον· ἔχει δὲ καὶ ξύλων φθορὰν καὶ βοσκημάτων εὐετηρίαν· ἀπὸ δὲ Κυνὸς ἀνατολῆς νότοι λαμπροὶ καὶ ὄμβροι ἐπὶ ἡμέρας <...>. ἐπιτήδειον δὲ τὸ ἔτος τοῦτο καὶ πρὸς φυτείαν καὶ πᾶσαν ἐργασίαν εὐάρμοστον καὶ ἔσονται τὰ ἔγγονα τῶν τετραπόδων ζῴων πρὸς αὔξησιν.

Τέταρτον ἔτος Καρκίνου. Ἔσται τὸ ἔτος τοῦτο τὸ μὲν ὅλον βορέας ἔχον πλείστους ἀπὸ τοῦ ἄρκτου. ὁ δὲ χειμὼν ἔχει πάντα <ἢ> τὰ πλεῖστα ἀπὸ ἀνατολῶν· ἔσονται δὲ χειμῶνες ψυχροὶ καὶ χαλαζώδεις καὶ χιονώδεις καὶ ἄκαιροι. ἕξει <δὲ> καὶ πνεύματα μοχθηρὰ καὶ ποταμοὺς μεγάλους· ἄρξει τε καὶ προχειμάσει καὶ παύσεται ὀψέ·

1 εὔφοροι M. τῶν δὲ ὀρεινῶν codd. ξύλινων A : δένδρων τῶν M. 2 προιστήσεται A : προκόψει M. 2 et 3 δὲ καὶ M. 3 θέρος καυματῶδες : cf. *Geopon.*, p. 22, 26; *Catal.*, l. c. 4 Cf. *Geopon.* et *Catal.*, l. c. 5 χειμῶνα μαλακόν codd. (καὶ μαλ. A) : scripsi μάλκιον ut in *Catal.*, l. c., 19, ubi item μαλακόν codd. tradunt. 5-6 χειμῶνος σπάνις : i. e. tempestatis (non hiemis) defectus; *Catal.*, l. c., 17, secundum P scripsi σπανία καὶ πνεύμασιν ἔκλειψις (cod. M. : σπανία πνευμάτων), sed locus corruptus videtur. 7 Eadem fere verba *Catal.*, l. c, 22, ἕξει δὲ καὶ τοὺς σπόρους καὶ εὐκαιρίους· εὐφορία δὲ κατὰ πάντα ἔσται διὰ τὴν τῶν πνευμάτων πρός τινα <καιρὸν> ἔκλειψιν (καιρόν supplendum esse me monuit Theod. Preger.) 8 διὰ τὴν τῶν ἀνθρώπων θλίψιν codd. : scripsi ἀνέμων ἔκλειψιν. 9 τὸ δὲ ἔαρ (δὲ omis. A) κτλ.; cf. *Geopon.*, p. 23, 15. 9-10 Cf. *Catal.*, l. c., 25, πᾶσαν δὲ ἐργασίαν προλαμβάνειν, μὴ προλάβωσιν οἱ καρποὶ τὰ ἔργα. 11 εὔκρατον κτλ.; cf. *Geopon.*, p. 23, 16, τὸ θέρος εὔκρατον διὰ τὸ τοὺς ἐτησίας ἀνέμους λαμπροὺς ἐπιπνεῦσαι ἐπὶ πολὺν χρόνον; *Catal.*, l. c., 19, διὰ τὸ τοὺς ἀνέμους λαμπροὺς εἶναι καὶ ἐπὶ πολὺν χρόνον παραμένοντας. 12 ξύλων A : καρπῶν τῶν δένδρων, ut supra p. 173, 21, M. 12-13 Cf. *Catal.*, l. c., 20, ἀπὸ Κυνὸς ἀνατολῆς ... ἔσονται νότοι λαμπροὶ καὶ ὑδάτων ἐπισημασίαι. 13 Post ἡμέρας numerum omis. codd. ἐπιτήδειον κτλ.; cf. *Catal.*, l. c., 27 : ἐπιτήδειον τὸ ἔτος πρὸς φυτείαν καὶ τὰς λοιπὰς ἐργασίας. 14-15 Post εὐάρμοστον lacuna fere 18 litterarum in A significatur; desunt verba καὶ ἔσονται, et in fine πρὸς αὔξησιν, quae recepi ex M, ubi τὰ omissum. 16 Cf. *Catal.*, l. c., 146, 1 : ἔχον πνεύματα ἀρκτικὰ ἐκ καιροῦ (? nisi scribendum ἀρκτικά (i. e. incipientia) ἐξ ἄρκτου?). 17 Cf. *Geopon.*, 23, 28, ὁ χειμὼν τὰ πλεῖστα ἀπὸ τῶν ἀνατολικῶν ἔσται ψυχρός τε καὶ χαλαζώδης καὶ γνοφώδης. ἢ inserui. 19 ἄκαιροι : cf. *Catal.*, l. c., 2, χειμῶνα ... χιονώδη καὶ ἄκαιρον κατὰ τὸ πλεῖστον καὶ χαλαζώδη. δὲ inserui. 20 ποταμοὺς μεγάλους : cf. *Geopon.*, p. 24, 2, ἔχων καὶ ποταμοὺς μεγάλους προχειμάσει κτλ.; cf. *Catal.*, l. c., 4, προχειμάσει δὲ καὶ βραδέως παύσεται. De vocabulo προχειμάζειν, cf. Plinium, XVIII, 207.

ἀπὸ τροπῆς δὲ χειμερινῆς ἀνοχὴ ἔσται ἐπὶ χρόνον τινά· μετὰ δὲ τὴν ἐαρινὴν ἰσημερίαν ἔσονται πυκναὶ καὶ συνεχεῖς χάλαζαι· ἀκαταστατήσει δὲ ὁ ἀὴρ ἕως τροπῶν θερινῶν, πυκνὰς ἔχων ἐπισημασίας ὄμβρους τε καὶ χαλάζας. εἶναι δὲ καὶ τὸν σπόρον τῷ ἔτει τούτῳ ἐν ἡμέραις κε΄ ταῖς πρώταις ἀπὸ Πλειάδος ἀνατολῆς, ἀφ' ἧς ἂν ἡ γῆ πρῶτον ὑπὸ τῶν ὄμβρων ποτισθῇ. τῶν δὲ τόπων οἱ στεινοὶ καὶ τραχεῖς μᾶλλον εὐφορήσουσι τούτῳ τῷ ἔτει· παντὸς γὰρ καρποῦ ἀφορία καὶ ἔλλειψις καὶ βοσκημάτων φθορά· ἔσται γὰρ τὸ φθινόπωρον ξηρόν, τὸ δὲ θέρος <. . . .> ὑπό<θερ>μον ἔσται.

Πέμπτον ἔτος Λέοντος. Ἔσται τὸ ἔτος τοῦτο πνεύματα μεγάλα ἔχον ἀπὸ Πλειάδος ἀνατολῆς· ὁ δὲ χειμὼν ἔσται κατάψυχρος καὶ συνεχὴς καὶ ἀδιάλειπτος· χειμάσει δὲ ὀψὲ καὶ οὐ ψαύσεται τοῦ σπόρου ἀρξάμενος ἀπὸ Φοινίκου μέσου ἕως ἡμερῶν λε΄· οἱ γὰρ ἐπιγενόμενοι μετὰ ταῦτα σπόροι ἔσονται καταδεέστεροι· καὶ ὁ μὲν χειμὼν ἔσται ὑπὸ τροπὴν χειμερινὴν αὐχμώδης· τὸ δὲ ἔαρ ἔπομβρον· πνεύσουσι γὰρ βορέαι συνεχεῖς σχεδὸν ὅλον τὸ ἔτος· πάντες δὲ οἱ καρποὶ πεσοῦνται σύμμετροι· καὶ οὔτε φόριμον τὸ ἔτος τοῦτο οὔτε ἄφορον· πάσῃ δὲ ἐργασίᾳ δεῖ προσιέναι τοῖς εἰωθόσι <καιροῖς>· καὶ μὴ φυτεύειν· διαψεύσονται γὰρ τὰ φυτευθέντα· τῷ δὲ θέρει καὶ πηγαὶ ἐκλείψουσι τῶν ὑδάτων· τοῖς δὲ βοσκήμασιν εὔθετον τὸ ἔτος τοῦτο.

Ἕκτον ἔτος Παρθένου. Ἔσται τὸ ἔτος τοῦτο ὅλον ἔχον πνεύ-

1 ἀπὸ τροπῆς : cf. *Catal.*, l. c., 3, εἰ μὴ <κατὰ> τροπὰς χειμερινὰς ... ἀνοχὴ ἔσται ὑδάτων ἐπὶ χρόνον τινά. ἀνοχή A : ἀνομβρία M. μετὰ A : κατὰ M. 1-2 Cf. *Geopon.*, p. 24, 4, μετὰ δὲ τὴν ἐαρινὴν ἰσημερίαν συνεχεῖς ἔσονται χάλαζαι. 2 Cf. *Catal.*, l. c., 10, καὶ μεταστήσεται ὁ ἀὴρ χρώμενος πυκναῖς ἐπισημασίαις ὄμβροις τε καὶ χαλάζαις. 6 τῶν δὲ τόπων οἱ (οἱ omis. A) κτλ. : cf. *Catal.*, l. c., 14, τὰ τραχύτερα φοριμώτερα et *Geopon.*, l. c., 24, 5, οἱ δὲ τραχεῖς τόποι μᾶλλον οἴσουσι καρπόν. 7 παντός κτλ. : cf. *Catal.*, l. c., 14, καὶ τῶν λοιπῶν καρπῶν δεῖ διὰ τὸ σύμμετρον φθοράν (sic scribendum cum Marciano, ut iam video : φοράν P) ἔσεσθαι καὶ βοσκημάτων φθοράν. 8-9 Post θέρος et ante μον in codd. lacunae significantur : suppleas e. g. <εὔκρατον καὶ> ὑπό<θερ>μον. 11 Πλειάδος ἡλίου (signo astrol.) codd. : scripsi ἀνατολῆς quod simili quodam signo librarii notant. ὁ δὲ χειμών κτλ. : cf. *Catal.*, l. c., 21, ὁ μὲν χειμὼν ἀδιάλειπτος ... ψυχρός τε. 12 Cf. *Catal.*, l. c., 23, χειμά (sic) in fine versus A. παύσεται τὸν σπόρον M. 13 De vocabulo φοινίκου, cf. supra p. 173, 4. 15-16 Cf. *Catal.*, l. c., 23, τὸ δὲ ἔαρ ἔσται ἔπομβρον· ἀπὸ δὲ ἰσημερίας ἐαρινῆς ... πνεύσουσι βορραῖ συνεχεῖς διόλου. *Geopon.*, p. 24, 15, τὸ ἔαρ ἔπομβρον. 16 βορέαι M : βροχαὶ A. 17 σύμμετροι : cf. *Geopon.*, p. 24, 20, ὁ σῖτος ἔσται σύμμετρος; *Catal.*, p. 147, 1, πάντες δὲ οἱ καρποὶ φανήσονται σύμμετροι· καὶ τὸ ἔτος οὔτε εὔφορον οὔτε ἄφορον. πνεύματα μεγάλα : eadem *Geopon.*, 24, 13. 18 καιροῖς suppl. ex *Catal.*, l. c., 2, πάσας δὲ ἐργασίας προϊέναι δεῖ τοῖς εἰωθόσι καιροῖς. Ad μὴ φυτεύειν cf. *Geopon.*, p. 24, 21; *Catal.*, l. c., 3. 19 πηγαὶ ἐκλείψουσι : cf. *Catal.*, p. 146, 24; *Geopon.*, p. 24, 26. 20 τοῖς δὲ M : καὶ A. εὔθετον : videtur corruptum ex ἄθετον, cf. *Catal.*, p. 147, 4; *Geopon.*, p. 24, 22. 21 Cf. *Catal.*, l. c., 8, ἕξει τοῦτο τὸ ἔτος πνεύματα πλεῖστα ἀπὸ δύσεως καὶ μεσημβρίας. In A verba καὶ μεσημβρίας in margine supplevit man. 1.

ματα ἀπὸ δύσεως καὶ μεσημβρίας· ὁ δὲ χειμὼν ἔσται ἀρχόμενος ψυχρός, μεσεύων δὲ εὔκρατος, λήγων δὲ χιονώδης καὶ ἀνεμώδης, πάγους <ἔχων> πολλοὺς καὶ ὕδατα καὶ ποταμοὺς μεγάλους καὶ συνεχεῖς· ἔσονται δὲ ὄμβροι ἕως Πλειάδος ἀνατολῆς ἐν ἡμέραις μθ'. τῶν δὲ τόπων οἱ τραχεῖς μᾶλλον δώσουσι καρπόν· τῶν δὲ ξυλίνων καρπῶν γίνεται φθορά· σῖτος δὲ σύμμετρος ἔσται, τὴν δὲ γέννησιν <ἥττων> εἰ ἐν τῷ μὴ δέοντι καιρῷ σπαρῇ. ἐπιτήδειον δὲ τὸ ἔτος εἰς φυτείαν· πάσας δὲ ἐργασίας <ἐφυστερεῖ>· τὴν δὲ συγκομιδὴν τῶν σιτικῶν καρπῶν δεῖ σύντομον γενέσθαι, μὴ ὄμβροι γενόμενοι ἀπὸ ἀνατολῆς διαφθείρωσι· τὸ γὰρ θέρος ἔσται ἔπομβρον καὶ γνοφῶδες· τὸ δὲ μετόπωρον ἀνεμῶδες καὶ ὑγιεινόν. ἔσται δὲ τῶν καρπῶν <καὶ> τῶν ζῴων φθορά· οὐκ ἐπιτήδειον δὲ τὸ ἔτος εἰς † φυτείαν· εἰς ἀνθρώπων δὲ ὑγείαν ἐπιτήδειον.

Ἔβδομον ἔτος Ζυγοῦ. Ἔσται τὸ ἔτος τοῦτο τὸ μὲν ὅλον ἔχον πνεύματα νότια <....... τὸ ἔαρ ἔσται> ἐπιτεταμένον καὶ ψυχρόν· καὶ εὐδιάλυτοι ἔσονται <οἱ ἄνεμοι> ἐπὶ ἡμέρας <..>. τοῦ χειμῶνος δὲ ἔσονται ἐν ἐπιτάσει. χρὴ δὲ τοὺς σπόρους τοὺς ἀνθρώπους τῷ ἔτει τούτῳ συντελεῖν ἀπὸ Πλειάδος ἀνατολῆς ἐν ἡμέραις ν'· εἰ δέ τις ὑστερήσει τοῦ σπόρου τούτου, πολὺ καταδεέστερος ἔσται. καὶ ἀπὸ μὲν τροπῆς ἐαρινῆς ἕως Ζεφύρου πνοῆς πνεύματα ἔσονται λαμπρὰ ἀπὸ δύσεως καὶ μεσημβρίας· τῶν δὲ τόπων τὰ πεδινὰ <φοριμώτερα>. ἔσται τοῦ σιτικοῦ καρποῦ φθορά, Διονυσιακοῦ δὲ εὐφορία. ἀέρες ἔπομβροι <....> ἐν ἡμέραις ια'· τὸ δὲ θέρος ἔσται ἀπὸ ἀνατολῆς <Κυνὸς> ἕως

1 Cf. *Geopon.*, p. 24, 26, ὁ χειμὼν ἀρχόμενος ... ψυχρός, εὔκρατος δὲ μεσάζων καὶ λήγων χειμεριώδης, πάγους ἔχων πολλούς, ὄμβρους καὶ ποταμοὺς μεγάλους; *Catal.*, l. c., 10. 2 ἔχων inserui. 4 Haec de Vergiliarum exortu desiderantur et in *Catal.* et in *Geopon.*; *Catal.*, l. c., 11, ἔαρ ... ἄνομβρον, εἰ μὴ ἀπὸ Κυνὸς ἀνατολῆς (? ἐπιτολῆς) ἔσονται ὄμβροι σφοδροί κτλ.; *Geopon.*, p. 25, 2, ἔαρ κάτομβρον. 5 τῶν δὲ τόπων: cf. *Catal.*, l. c., 15, τὰ ὀρεινώτερα <φοριμώτερα>. 6 φθορά: aliter *Catal.*, l. c., 17, σύμμετρος ἡ φορά. σίτου δὲ συμμετρία M. Post τὴν δὲ γέννησιν addidi ἥττων. εἰ omis. A. 7 φυτείαν; cf. *Catal.*, l. c., 17; *Geopon.*, p. 25, 8 (πρὸς ἀμπέλων φυτείαν). 8 πάσης codd. ἐφυστερεῖ: lacuna in codd.; supplevi ex *Catal.*, l. c., 18, πᾶσαν δὲ ἐργασίαν ἐφυστερεῖ. τὴν δὲ συγκομιδὴν κτλ.: fere ad verbum in *Geopon.*, p. 25, 5; cf. *Catal.*, l. c., 18; sed verba ἀπ' ἀνατολῆς utrobique desunt. 10 τὸ θέρος κτλ.: eadem *Geopon.*, p. 25, 4; τὸ δὲ μετώπωρον κτλ., ib., 7: dissentit *Catal.*, l. c., 4. 11 καὶ addidi; cf. *Geopon.*, p. 25, 9, εὔχεσθαι δεῖ περὶ τῶν καρπῶν. 12 φυτείαν corruptum (cf. supra, v. 11). 13 ὑγείαν: cf. *Catal.*, l. c., 22, ἀνθρώπων δὲ ὑγεῖαι; *Geopon.*, p. 25, 10, ὑγιεινὸν ὅλον τὸ ἔτος. 15 Post νότια lacuna in cod.; ἔαρ suppl.; cf. *Catal.*, l. c., 28, τὸ δὲ ἔαρ ... ψυχρόν. ἐπιτεταμένοι καὶ ψυχροὶ A. 16 οἱ ἄνεμοι addidi; post ἡμέρας numerus excidit (in A in marg. notavit quidam ζήτει πόσας). 17 τοὺς ἀνθρώπους omis. M. 18 τούτῳ omis. A. Πλειάδος omis. M. εἰ δέ τις (τι A) κτλ.; cf. *Catal.*, p. 148, 5; an scribendum ὁ σπόρος τούτου? 19 ἀπὸ M: περὶ A. 20 ἐφορ πνοῆς M. 21 φοριμώτερα supplevi ut *Catal.*, l. c., 6; lacuna in codd. significatur. 22 ἐφορία cod.: aliter *Catal.*, l. c., 7. Post ἔπομβροι lacunam statui. 23-p. 177, 1 Κυνὸς (in codd. lacuna) suppl. ex *Catal.*, l. c., 2.

Ἄρκτου δύσεως καυματῶδες· <ἔπομβρον> δέ τὸ φθινόπωρον. καὶ τῶν ὅλων ξυλικῶν καρπῶν φθορά· ἐπιτήδειον δὲ τὸ ἔτος τοῦτο εἰς φυτείαν· ἔχει δὲ καὶ βοσκημάτων φθοράν.

Ὄγδοον ἔτος Σκορπίου. Ἔσται τοῦτο τὸ ἔτος πνεύματα ἔχον διόλου, χειμῶνα εὔκρατον καὶ οὔτε θερμὸν οὔτε ψυχρόν· εὐκαίρους δὲ τοὺς σπόρους οὔτε πρωίμους οὔτε ὀψίμους <ἕξει>, φορίμους δὲ εἴς τε τὰ χωρία τὰ πεδινὰ καὶ ταχεῖς· μέσον δὲ τοῦ χειμῶνος † ἀπὸ γῆς πολλὴν ὑδάτων φοράν ταραχώδη καὶ ποταμῶν πολὺ πλῆθος ὁμοίως· τὸ δὲ ἔαρ νότιον, τὸ δὲ θέρος ἔπομβρον δι' ἡμερῶν δέκα ἕως Πλειάδος <ἀνατολῆς> ἐπὶ τὸ εὔφορον <ἐκπίπτει>· πᾶσαν δὲ ἐργασίαν δεῖ προλαμβάνειν, μὴ καιροὶ καταποδίσωνται καὶ ὑστερήσωσι. θέρος ἐπίνοσον· τὸ δὲ φθινόπωρον καυματῶδες· <.....> ἰχθύων σπάνις καὶ ἀλόγων ζῴων, μάλιστα δὲ βοῶν καὶ ὄνων θάνατος.

Ἔνατον ἔτος Τοξότου. <Ἐν> τούτῳ τῷ ἔτει ἀρχὴ ἀνέμων διόλου ἀρκτικῶν· χειμὼν ψυχρὸς καὶ χιονώδης καὶ χαλαζώδης, κρυσταλλώδης, οὐκ εὐδιάλυτος· εἴωθε δὲ καὶ πνεύματα ἐκπίπτειν ἐν τούτῳ μοχθηρά τε καὶ ἄκαιρα· καὶ οὔτε χειμῶνες ἔσονται οὔτε εὐδίαι, ἀλλὰ ταραχαί. <ὁ χειμὼν> ἀρχόμενος μὲν ψυχρός, λήγων δὲ πολύς, περὶ μέσον δὲ τὸν χειμῶνα θερμός. σπόρον <δεῖ συντελεῖν> ἀπὸ Πλειάδος δύσεως ἐν ἡμέραις λ'. τῶν δὲ τόπων μᾶλλον οἱ πεδινοὶ καρπὸν οἴσουσι· παρὰ πάντας δὲ τοὺς καρποὺς ὁ ἐλαϊκὸς ἔσται φόριμος. ἀκαταστατήσει δὲ ὁ ἀὴρ μέχρι τροπῶν χειμερινῶν ἐπισημασίας· καὶ ἔσται εὔκρατος, ἐπισφαλῶς δὲ ἔχει καὶ ἀνέμους ἀπράκτους δυνάμεως μεγάλης· τὸ δὲ ἔτος τοῦτο οὔτε πρὸς φυτείαν οὔτε πρὸς θεραπείαν <ἐπιτήδειον>· ἐκλείψουσι δὲ ἐν αὐτῷ καὶ πηγαί.

1 Ἄρκτου : in *Catal.*, l. c., Ἀρκτούρου recte. Lacuna in A ante δὲ significatur; in M δὲ ante lacunam transpositum; supplendum ἔπομβρον δὲ secundum *Catal.*, l. c., 4. 1-2 καὶ τῶν ὅλων ξυλικῶν καρπῶν φθορά : dissentit *Catal.*, l. c., 7, τῶν ξυλίνων εὐφορία. 2 ἐπιτήδειον : οὐκ ἐπιτήδειον, *Catal.*, l. c., 8. 3 ἔχει δε κτλ. = *Catal.*, p. 148, 7. 4 τὸ ἔτος τοῦτο M. 5 εὔκρατον = *Catal.*, l. c., 12. εὐκαιρεῖ δὲ τοὺς σπόρους· οὔτε κτλ. M. 6 ἕξει addidi. 7 ταχεῖς vix sanum. An τραχέα? cf. 175, 6; 176, 5. ἀπὸ γῆς haud dubie corruptum; *Catal.*, l. c., μέσου δὲ χειμῶνος τῇ πρὸ ε' καλανδῶν Φεβρουαρίων, Ὀκταβαίου κζ', ἔσονται λεῖα πνεύματα καὶ πολλῶν ὑδάτων φορά † ταραχοροί (conieci ταραχώδης· χείμαρροι) καὶ ποταμοὶ ἔσονται πλημμυροῦντες. 9 Cf. *Catal.*, l. c., 17, τὸ δὲ ἔαρ νότιον καὶ ἔπομβρον, τὸ δὲ θέρος ἐπίνοσον. δὲ δέκα M. 10 ἀνατολῆς addidi (Vergiliae mane exoriuntur initio mensis Maii). ἐκπίπτει inserui. 11 ὑστερήσουσι A. 12 Post καυματῶδες lacuna fere duodecim litterarum in codd. significatur. 5 μάλιστα βοῶν καὶ τῶν ὄνων A. 14 ἐν addidi. ἐν τούτῳ omis. A. 15 ἀρκτικῶν κτλ.; cf. *Catal.*, l. c., 20. 18 ὁ χειμὼν addidi; cf. *Catal.*, l. c., 22. 19 δεῖ συντελεῖν add.; cf. *Catal.*, l. c., 28. 20 τῶν δὲ τόπων κτλ.; cf. *Catal.*, p. 149, 1; *Geopon.*, p. 26, 14. καρπὸν omis. A. 21 ἐλαδικός codd.; *Catal.*, l. c., 3, diversa docentur (παρὰ πάντας δὲ ὁ σιτικὸς φοριμώτατος ἔσται). 22 καὶ A : εἶτα M. 25 ἐπιτήδειον inserui. Plane contraria in *Geopon.*, p. 26, 16 et in *Catal.*, p. 149, 4. ἐκλείψουσι κτλ.; eadem in *Catal.*, l. c.

Δέκατον ἔτος Αἰγοκέρωτος. Ἔσται <ἐν> τῷ ἔτει τούτῳ πνεύματα πλεῖστα ἀπὸ ἀνατολῆς· ἀλλάξει δὲ ἀπὸ μέσου χειμῶνος καὶ περὶ τὰς τοῦ Ἡλίου τροπὰς ἀπὸ μεσημβρίας, † περὶ δὲ μεσημβρίαν τὴν ἀπὸ δύσεως ἐποχήν· ὕδατα περὶ τὸν χειμῶνα γίνεται· ἀπὸ δὲ ἰσημερίας ἔσται ὕδατα πολλὰ καὶ μαλακά. ἐν δὲ τῷ ἔτει τούτῳ δεῖ τὸν σπόρον συντελεῖν ἐν ἡμέραις μ'· οἱ δὲ μετὰ ταῦτα σπόροι ἔσονται καταδεέστεροι. τῇ δὲ περὶ τὰ ξύλινα ἐργασίᾳ δεῖ ἐξιέναι ἐν τάχει· οἱ δὲ καρποὶ ἔσονται καταδεέστεροι· τῶν δὲ τόπων οἱ τραχεῖς μᾶλλον οἴσουσιν· εἴωθε δὲ μᾶλλον ὁ Διονυσιακὸς καρπὸς <.........>. ἔσται δὲ τὸ ἔτος τοῦτο ἐπισφαλὲς πρὸς τὰς τικτούσας γυναῖκας. πνεύσουσι δὲ τούτῳ τῷ ἔτει καὶ ἐτησίαι λαμπροί· οἱ δὲ λοιποὶ ἄνεμοι ἐκλείψουσι. τετράποσι μέντοι τὸ ἔτος εἰς θεραπείαν ἐπιτήδειον.

Ἑνδέκατον ἔτος Ὑδροχόου. <Ἐν> τούτῳ τῷ ἔτει πνεύσουσιν ἄνεμοι ἀπὸ Ἡλίου ἀνατολῆς· γίνονται δὲ καὶ χειμῶνες πολλοί. εὔφοροι δὲ πάντες οἱ σιτικοὶ καρποί, μάλιστα δὲ οἱ ξύλινοι· καὶ οἱ πρώιμοι καὶ οἱ ὄψιμοι σπόροι καλοί· τῇ δὲ περὶ τὰ ξύλινα ἐργασίᾳ δεῖ προσιέναι ὀψιαίτερον· ἐν δὲ τῷ φθινοπώρῳ ἐμπίπτει πνεύματα λαμπρὰ ἐπὶ ἡμέρας ς' ἢ η'. ταῦτα δὲ γνοφώδη· βλαβήσονται δὲ οἱ καρποί, κἂν εὐφορήσωσι πάντα· καὶ τὰ βοσκήματα δὲ εὖ ἕξουσι καὶ αἱ φυτεῖαι ἐπιτήδειαι ἔσονται· τὰ δὲ τῶν τετραπόδων ζῴων πάντων ἔκγονα φαῦλα ἔσονται διὰ τὴν τῶν καρπῶν πολυπλήθειαν.

Δωδέκατον ἔτος Ἰχθύων. <Ἐν> τούτῳ τῷ ἔτει ὁ χειμὼν ἔσται πρώιμος καὶ παύσεται ὄψιμος, πολὺς καὶ σφοδρός, καὶ ἄκαιρος γίνεται χάλαζα καὶ οἱ σπόροι φαῦλοι ἔσονται· οἱ μὲν γὰρ καρποὶ ἐκ τῆς γῆς καλῶς βλαστήσουσιν, ὑπὸ δὲ τῶν ὑδάτων φθαρήσονται· διὸ ἀκαρπία ἔσεται, μάλιστα δὲ τῶν σιτικῶν καρπῶν· ὁ δὲ Διονυσιακὸς καρπὸς σύμμετρος ἔσται· περὶ μὲν γὰρ τὸ ἔαρ πνεύσουσιν ἄνεμοι λαμπροὶ Ζέφυροι. τὸ δὲ θέρος ἔσται καυματῶδες· τὸ δὲ φθινόπωρον ἐπίνοσον.

1 ἐν addidi. 3 ἀπὸ usque ad ἐποχήν : nonnulla verba intercidisse videntur. 4 ὕδατα; cf. *Catal.*, l. c., 7. 7 τῇ δὲ περὶ τὰ ξύλινα κτλ.; cf. *Catal.*, l. c., 13. ἐν omis. A. 9 Post καρπός lacuna in codd.; cf. *Geopon.*, p. 27, 7, ὁ οἶνος φθινήσει ὑπὸ πάχνης. 10 πνεύσουσι ... ἐτησίαι λαμπροί : cf. *Geopon.*, p. 27, 1, πνεύσουσι δὲ καὶ ἐτησίαι λαμπρῶς. λοιποί omis. A. 12 θεραπείαν item *Catal.*, l. c., 16. 13 ἐν addidi. 14 εὔφοροι τε codd. *Catal.*, l. c., 18, ἄνεμοι ... εὔκαιροι, σύμφοροι πάντες τῷ σιτικῷ καρπῷ, μάλιστα δὲ τοῖς ξυλίνοις; similia in *Geopon.*, p. 27, 11. 15-16 οἱ πρώιμοι καὶ ὄψιμοι καὶ ὄψιμοι (sic) A. 16 σπόροι καλοί : cf. *Catal.*, l. c., 20; *Geopon.*, p. 27, 21. 17 πνεύματα λαμπρά : cf. *Geopon.*, p. 27, 17. 18 γνοφώδη : an ὑδατώδη ut in *Geopon.*, l. c.? βλαβήσονται : cf. *Geopon.*, l. c. (τοῖς καρποῖς βλαβερά). 19 βοσκήματα : cf. *Catal.*, l. c., 22 (βοσκημάτων εὐετηρίαν). δὲ omis. A. 19-20 αἱ φυτεῖαι ἐπιτήδειαι : cf. *Catal.*, l. c., 23. 20 τὰ δὲ usque ad πολυπλήθειαν fere ad verbum in *Catal.*, l. c., 23. πάντων A : πάντα M. 22 ἐν supplevi. 23 Cf. *Catal.*, p. 150, 1. εὔκαιρος codd. : ἄκαιρος scripsi secundum *Catal.*, l. c. 23 sqq. : simillima in *Catal.*, p. 150, 4. 28 Ζέφυροι : eadem in *Catal.*, p. 150, 2; *Geopon.*, p. 28, 2. θέρος κτλ. : eadem *Geopon.*, p. 28, 3. Ubi p. 28, 4 scribendum πυρῶδες <καὶ ἐπίνοσον>, μάλιστα γυναιξί κτλ.

τῷ ἔτει τούτῳ γίνεται ἀκαταστασία· ἐπιπνεύσουσι δὲ καὶ πνεύματα μοχθηρά, ὥστε τὸν ξυλινὸν ἐπιδαίεσθαι καρπόν· τὸ ἔτος τοῦτο πρὸς φυτείαν ἀνεπιτήδειον <.....> φόριμα δὲ τὰ ἀκρόδρυα. F. B.

F. 97r. Ex cap. ϛ'. Περὶ καταρχῶν [1].

Ζήτει καὶ τὸ πρόσωπον τοῦ δεκανοῦ πρώτου ἐν ᾧ ἐστιν ὁ ὡροσκόπος· φυλάττου δὲ καὶ τὰς τρεῖς ἐννεάδας τῆς Σελήνης καὶ τὰς δ' ἑβδομάδας καὶ παντὸς μηνὸς κατὰ Ῥωμαίους τὴν η' ἡμέραν καὶ τὴν ιη' καὶ τὴν κη'· πρὸς δὲ πολλὴν ἀσφάλειαν φυλάττου καὶ τὰς μαλίνας τῆς Σελήνης καθὰ οἱ Γάλλοι φυλάττουσιν· ἀπὸ οὖν κζ' τῆς Σελήνης ἕως γ' ἥμισυ ἡμερῶν [ἤτοι ζ' ἥμισυ] αὗται καλοῦνται μαλῖναι· ἐν ταύταις ταῖς ἡμέραις οὐδὲν δεῖ πράττειν· ἀπὸ δὲ γ' ἥμισυ τῆς Σελήνης ἕως ια' καλοῦνται λιδοῦναι· ἐν ταύταις πάντα δεῖ πράττειν· ἀπὸ δὲ ιβ' ἕως ιη' ἥμισυ πάλιν μαλῖναι. ἀπὸ ιθ' ἕως κς' λιδοῦναι. αἱ δὲ λοιπαὶ πᾶσαι ἕως γ' ἥμισυ τῆς Σελήνης μαλῖναι. δεῖ δὲ ἐν ταῖς λιδούναις πάντα πράττειν Σελήνης οὔσης ὑπογείου καὶ μὴ ὑπεργείου. F. C.

F. 106. λγ'. Περὶ συναλλαγῶν πρὸς γυναῖκας Σεραπίωνος [2].

Παρατηρεῖν δεήσει τὴν Σελήνην καὶ τὴν Ἀφροδίτην ὑπὸ τίνων μαρτυροῦνται· ὅταν οὖν ἡ Σελήνη ἐν δισώμῳ ζῳδίῳ τύχῃ, μάλιστα δὲ ἐν ἀνθρωποειδεῖ, ὁ δὲ ὡροσκόπος ἐν στερεῷ τριγωνίζων τὴν Σελήνην, καὶ τοῦ Ἡλίου τριγώνου ὄντος τῇ Σελήνῃ, ὄντων δὲ αὐτῶν ἐν χρηματιστικοῖς τόποις, τοῦ Διὸς αὐτοῖς μαρτυροῦντος καὶ τῶν κακοποιῶν ἀποστρόφων ὄντων, ἐπιτήδειοι ἔσονται αἱ συναλλαγαί· ἐὰν δὲ τοῖς τεκνοσπορικοῖς τόποις μαρτυρήσωσιν ὁ τῆς Ἀφροδίτης καὶ τοῦ Διός,

1 ἀκαταστασία; cf. *Catal.*, l. c., 7, τὸ ἔτος ὅλον ποικίλον. ἐπιπνεύσουσι δὲ κτλ.: eadem verba *Geopon.*, p. 28, 4. 2 ἐπιχεῖσθαι M. 3 Post ἀνεπινήδειον lacuna fere viginti litterarum in codd. significatur. τὸ ἀκρόδρυα A. 4 A(ngelicum) descripsi; M(ediolanensem) f. 99, contuli. 6 τρεῖς omis. A. 9 γάλοι A. 10 ἤτοι ζ' ἥμισυ secl. μαλίναι A : μαλίναι cum γ superscr. M = *malignae*. 12 λιδοῦναι verbum novum fortasse ex *d(ies) idoneae* corruptum. 13 δὲ omis. A. 15 ὑπὸ γῆν καὶ ὑπὲρ γῆν M. 16 Edidi ex codice Ambrosiano B 38 sup. (= Mediolanensis 8), f. 108, cuius apographum benigne mihi misit Dominicus Bassi : Angelico ipso ex quo Ambrosianus ille descriptus esse videtur, utendi copia mihi data non est. 18 δισσωμένω cod. 19 στερεῷ Δα cod.

---

[1] De hac Gallorum computandi ratione, cf. *Revue des études anciennes*, IV, 1902, p. 290 s., ubi hic Palchi locus iam publici iuris factus est.

[2] Fortasse Serapio Antiochenus qui in Hipparchi geographiam commentaria scripsit, cf. *Byz. Zeitschr.*, VIII, 1899, p. 525. — Eiusdem nonnulla excerpta in *Catal.*, I, p. 99, 101 edidimus.

τεκνοποιήσουσιν· ἐὰν δὲ καὶ πολύσπερμα ᾖ τὰ ζῴδια, πολύτεκνοι ἔσονται. τῶν δὲ κακοποιῶν ἐπὶ τῶν προκειμένων σχημάτων ὄντων ἀποστρόφου Διὸς ὄντος διαλυθήσονται. ἐὰν μὲν οὖν τοῖς τροπικοῖς ζῳδίοις ἢ δισώμοις, οὐ διαλλαγήσονται· ἐὰν δὲ ἡ διάλυσις γένηται, καὶ σχῶσί τινος ἀγαθοῦ ἐπικουρίαν, διαλλαγήσονται· ἐὰν δὲ τοῖς στερεοῖς ἢ ὑπὸ σύνδεσμον μάλιστα κακωθέντες, οὐ μὴ ἐπανήξουσιν. ἐὰν δέ πως ἡ Ἀφροδίτη ἐπὶ σύνδεσμον τύχῃ, κρύφιμος ὁ γάμος· συμπαραλαμβάνειν δὲ δεῖ τὸν πολεύοντα καὶ διέποντα καὶ τὸν κύριον τῆς ὥρας κατὰ τὴν προκειμένην περὶ τοῦ γάμου ἀγωγήν· τὰ δὲ περὶ συναστρίας ἐν τοῖς προτέροις ἐπὶ τοῦ γαμοστολικοῦ λόγου γεγραμμένα εὑρήσεις. F. B.

F. 107ᵛ. μ'. Τοῦ αὐτοῦ περὶ πάσης κοινωνίας.

Δεήσει τὰς ἐπικοίνους κοινωνίας ποιεῖσθαι ὅταν ἡ Σελήνη ἔτι καὶ ὁ ταύτης καὶ ὁ τοῦ ὡροσκόπου κύριος ἐν χρηματιστικοῖς τόποις τυχόντες, ὑπὸ ἀγαθοποιῶν μαρτυρούμενοι ἀποστρόφων τῶν κακοποιῶν ὄντων ἐπισύμφοροι γένωνται· ὅταν δὲ οἱ μὲν κακοποιοὶ μαρτυρήσωσιν αὐτοῖς, οἱ δὲ ἀγαθοποιοὶ ἀπόστροφοι ὦσι, τὰ ἐναντία ἔσται. πρὸς μέντοι τὰς πρὸς ἀνθρώπους συναλλαγὰς χρὴ τὸ ζῴδιον τῆς Σελήνης ἢ καὶ τοῦ ὡροσκόπου εἶναι ἀνθρωποειδές, περὶ δὲ συναλλαγῆς κτηνῶν τὰ τετράποδα, περὶ δὲ ἐγγαίων τὰ χερσαῖα [καὶ] τῆς Σελήνης μαρτυρούσης Κρόνῳ καὶ Διί, περὶ δὲ ναυτικῶν τὰ κάθυγρα τῆς Σελήνης μαρτυρούσης Κρόνῳ καὶ Διί, περὶ δὲ κληρονομιῶν <τῆς Σελήνης> μαρτυρούσης Κρόνῳ καὶ Διί, περὶ δὲ στρατείας τῆς Σελήνης μαρτυρούσης Ἄρει καὶ Διί, περὶ πραγματειῶν ἢ ἑρμηνείας ἢ ὅσα διαδόσεως ἢ λήψεως τῆς Σελήνης μαρτυρούσης Ἑρμῇ καὶ Διί, συμπαραλαμβάνοντός σου τὸν πολεύοντα καὶ διέποντα καὶ τὸν κύριον τῆς ὥρας ἀκολούθως τῇ περὶ τούτου προκειμένῃ ἀγωγῇ. F. B.

F. 110. νδ'. Περὶ ἑκάστου ἀστέρος ἣν χροιὰν καὶ ὄσφρησιν κέκτηται [1]. διότι ἕκαστος αὐτῶν ἰδίαν ἔχει καὶ ἐνήλλακται.

Ἐν ἑπτὰ χροιαῖς † τε καὶ γενεαῖς, λευκῇ τε καὶ μελαίνῃ, ἐρυθρᾷ τε καὶ κιτρίνῃ, ὁμοίως δὲ καὶ πρασινιζούσῃ, ἔτι τε εὐχροίᾳ καὶ βενετιζούσῃ,

3 Διὸς corr. Kroll : ζῳδίου cod. 4 δισσωμένοις cod. 5 ἐπικουρίοις cod. 12 Edidimus ex codd. A(ngelico) et M(ediolanensi). 14 τυχόντες A : τύχωσιν M. 17 αὐτοῦ ut vid. M. 19 ἀνοειδές M. συλλαγῶν A. 20 καὶ secl. 22 τῆς Σελ. inserui. 22-23 μαρτυροῦσι M. 24 πραγμάτων ἢ ἑρμηνεία M. λήψεως A : πόσεως A. An πίστεως? 25 μαρτυροῦσιν (σης superscr.) M. 30 Prima verba corrupta : ἐν ἑπτὰ χροιαὶ καθεστήκασιν γενεαῖς (pro γένεσι?) vel tale quid. 31 εὐχροίᾳ] An ὠχρᾷ? vel σιτοχρόῳ, cf. infra v. 181, 19?

[1] Edimus hoc capitulum de coloribus gustibus plantis animalibus singulis planetis subiectis ex cod. Ambrosiano B 38 sup., quem ex cod. Angelico 29 fortasse

ὁμοίως δὲ καὶ τὰ βρώματα ἐν ἑπτὰ γένεσι, γλυκεῖ τε καὶ πικρῷ, ἁλυκῷ τε καὶ ὀξεῖ, καὶ τῷ ἔχοντι λίπος <καὶ> δριμὺ καὶ μεμιγμένον τὰ εἴδη κρίνονται. ὅταν οὖν θέλῃς γνῶναι τί ἐστι τὸ εἶδος ὅπερ ἐπερωτᾷ σε περὶ αὐτοῦ, ἢ βούλῃ μαθεῖν τὴν γεῦσιν καὶ τὴν ὄσφρησιν καὶ τὸ ὄνομα, σκόπησον τὸ πρόσωπον τοῦ ὡροσκοποῦντος ζῳδίου, ποίου ἀστέρος ἐστὶ πρόσωπον· καὶ μέτρει ἀπ' αὐτοῦ τοῦ προσώπου ἕως τοῦ τόπου οὗ ἐστι ὁ κύριος αὐτοῦ· καὶ ταῦτα ἔκβαλε ἀνὰ η'· εἶτα βλέπε πόσαι ὑπολείπονται ἀπὸ τοῦ αὐτοῦ ψήφου. ἐὰν οὖν ἀπολειφθῇ ἕν, τῆς Ἀφροδίτης ἐστί· καὶ ἔστιν ἕν τι γέμον, ἰσχυρόν, ὁλόσφυρον, ἡδὺ τῇ γεύσει· τούτου δὲ ἡ χροιὰ ἐρυθρά, τῇ φύσει δὲ ψυχρόν, ἐλαφρόν, οὐκ ἔστι δὲ στρογγύλον ἀλλ' ὑπόμηκες, ἔχον γλυκύτητα καί ἐστι μεμιγμένον τῇ φύσει· ἔστι δὲ ἐκ τῶν φυομένων ἐν τῇ ἀνατολῇ καὶ ἐκ τῶν ἐν τοῖς ὕδασι φυομένων. ἔχει δὲ ἐκ τῶν δένδρων τάδε· κυπάρισσον καὶ πλάτανον καὶ στρόβιλον καὶ ἀπὸ τῶν σπορίμων σῖτον, κριθήν, ὄρυζαν τὴν λευκήν, ὁμοίως δὲ καὶ γογγύλην· ἔτι δὲ καὶ τὰ ἐν τοῖς ὕδασιν ὄρνεα· ἔτι δὲ καὶ τὰ τεθηλυμένα καὶ μαλακά. καὶ ἐκ τῶν τετραπόδων κάμηλον· ἐκ δὲ τῶν μεταλλευομένων ἐν τῷ πυρὶ χρυσόν τε καὶ ἄργυρον· καὶ ἐκ τοῦ ὕδατος, μαργαρίτας.

Ἐὰν δὲ ὑπολειφθῶσι δύο, ἐστὶν Ἄρεως. ἔστι δὲ σιτόχροον, τρίγωνον, οὐ στρογγύλον· θερμὸν δέ ἐστι καὶ ἡδὺ τῇ γεύσει, θερμὸν καὶ ξηρόν· ἔχει δὲ ἀπὸ τῶν δένδρων πᾶν εἰργασμένον ὡς ἐπὶ πινάκων καὶ πᾶν ξύλον ξηρὸν καὶ τὰ ἐν τοῖς ὄρεσι φυόμενα· ἔχει δὲ ἀπὸ τῶν ἐν τῇ γῇ μετάλλων σανδαράχην καὶ ἀδάμαντα καὶ πάντα τὰ τεφρώδη καὶ τὰ βαρέα τῶν λίθων καὶ τὰ ὅμοια, καὶ τὰ ὄρνεα τὰ ἐν τῇ γῇ, ἔτι καὶ τῶν τετραπόδων τοὺς ἀγρίους χοίρους. καὶ τὰ ἐν τοῖς Τούρκοις γινόμενα.

Ἐὰν δὲ τρία ἀπολειφθῶσι, τοῦ Ἀναβιβάζοντός ἐστιν· ὑπάρχει δὲ τῇ χροιᾷ κροκίζον, τετράγωνον, οὔτε θερμὸν οὔτε ψυχρόν, γέμον δὲ καὶ ὁλόσφυρον, ξηρόν· ἐκ τῶν εἰς τὰς νήσους τῶν ὑδάτων γινομένων· ἔτι δὲ καὶ ἀνέργαστόν ἐστιν· ἔχει δὲ ἀπὸ τῶν μετάλλων χρυσὸν κεκλασμένον καὶ χαλκὸν τὸν λευκόν, ἔτι δὲ καὶ στίμμι καὶ ὕελον. καὶ ἀπὸ τῶν

2 καὶ inserui. 3 ἐπερωτᾶσαι cod. : scripsi ἐπερωτᾷ σε (τις). 5 τὸν προσ. cod. 6 μέτρα cod. 7 ἔκβαλαι cod. 8 ὁ (non ἡ) ψῆφος dixerunt Byzantini. τῇ ♀ cod. 9 ἔντιμον coni. Kroll. 27 τετράγνον cod. 28 ὁλόσφυλον cod.

---

descriptum esse iam supra monuimus. Apographum comiter nobis misit Dom. Bassi Mediolanensis. Atque Palchi opusculo haec multo post intermixta esse ex sermone prorsus vulgari satis superque elucet, neque desunt alia temporis vestigia, velut Turci nominati p. 181, 25. Itaque ne Palchum quidem integrum in codice Angelico accepimus; qua de re cf. *Catal.*, VI, p. 63, n. 1; Cumont et Stroobant, *Bull. Acad. Belgique*, 1903, p. 573 s. — De tutelis planetarum, cf. Roscher in *Lexico mytholog. s. v. Planetae*. — Ceterum hoc ipsum capitulum non integrum esse videtur: nam Veneri, Marti, Saturno, Iovi, Mercurio, Lunae, Soli tertio loco admiscetur ὁ Ἀναβιβάζων s. Caput Draconis, sed Cauda Draconis nunc quidem desideratur, quae novem planetarum numerum Arabibus et Indis consuetum expleat. F. B.

δένδρων τὴν τερέβινθον· ὁμοίως θάσια καὶ βαλάνια· καὶ τὰ δένδρα τὰ ἐν τοῖς ὑψηλοῖς τόποις τῆς γῆς καὶ τῶν οἰκημάτων· ἔχει δὲ καὶ ἀπὸ τῶν σπορίμων λουβία καὶ φάβατα, σήσαμον καὶ τὰ μὴ ἔχοντα φλοιόν· καὶ ἀπὸ τῶν ἑρπετῶν τοὺς ὄφεις.

Ἐὰν δὲ ὑπολείπωνται δ', Κρόνου ἐστίν· ἔστι δὲ μαῦρον, τεθολωμένον, ζυμωτόν, ξηρόν, ψυχρόν, ἁλυκόν· ἔχει δὲ ἀπὸ τῶν μετάλλων τοῦ πυρὸς σίδηρον, καὶ τῶν τοῦ ὕδατος μετάλλων μυάκια, ἔτι δὲ καὶ τίμιά τινα· ἀπὸ δὲ τῶν δένδρων ἀνακακαβαίαν· ἔτι δὲ καὶ τὰς ὀξυκοκίας καὶ τὰς ἀπίους <καὶ> σταφίδας, καὶ μαῦρα· καὶ τῶν ὀσμῶν τὰ μὴ ἐσθιόμενα. ἔτι δὲ καὶ τὰ ἑρπετὰ τῆς γῆς· καὶ ἀπὸ τῶν τετραπόδων κύνας· καὶ τὰ ἀνέργαστα τῶν δερμάτων καὶ χαλκὸν κεκαυμένον.

Ἐὰν ε' ὑπολείπωνται, ἐστὶ Διός· ἔστι δὲ κρόκινον, εὐοσμένον, ἡδὺ τῇ γεύσει, οὔτε θερμὸν οὔτε ψυχρόν, ἔτι δὲ τετράγωνον, ὑπόμηκες, γέμον λίπους. ἔτι δὲ τῇ φύσει ὑγρόν· ἔχει δὲ τῶν τοῦ ὕδατος μετάλλων σμάραγδον, καὶ τῶν τοῦ πυρὸς χαλκὸν λευκὸν καὶ τὸν κρόκον καὶ χρυσὸν τὸν εἰργασμένον· καὶ τὰ γυναικεῖα χρυσοκόσμια· ἔτι δὲ ἀπὸ τῶν ὀπωρῶν τῶν δένδρων μυράπια, δαμάσκηνα, κυδώνια, δωράκινα, μῆλα καὶ σῦκα, ῥοιὰς γλυκείας καὶ ἀπίους, καὶ τὰς ὀσμὰς τὰς μὴ ἐσθιομένας, καὶ πᾶν τετράποδον ἐσθιόμενον ὑπὸ τῶν ἀνθρώπων καὶ σικύας. ἔστι δὲ τούτου ἡ ἐξουσία ἐπὶ τοὺς ὄντας ἀπὸ Περσίδος καὶ πάντα ὀνομαστὸν ἄνθρωπον.

Ἐὰν δὲ ὑπολειφθῶσιν ς', τοῦ Ἑρμοῦ ἐστιν. ἔστι δὲ πράσινον, ὑποκροκίζον, μεμιγμένον, πεπηγμένον, μακρόν, ἀνεμῶδες πάνυ· οὔτε θερμὸν οὔτε ψυχρὸν καὶ μὴ γέμον, τὸ ἔνδον αὐτοῦ καλὴν ὄσφρησιν ἔχον· ἔχει δὲ τῶν ἀπὸ τοῦ ὕδατος μετάλλων ὑάκινθον τὸν πυρρόν καὶ μαργαρίτας καὶ κοράλλια καὶ κρύσταλλον· τοῦ δὲ μετάλλου τοῦ πυρὸς τὸν εἰργασμένον ἄσημον. τῶν δὲ δένδρων καλάμους καὶ τὰς ἀμπέλους, ἔτι δὲ καὶ ἰάσμην· καὶ ἀπὸ τῶν σπορίμων τὰ μὴ ἐσθιόμενα τῶν ξηρῶν καὶ τὰ ὄρνεα *** τῶν δὲ τετραπόδων ὄνους καὶ κατίονας· καὶ τὰ δέρματα τὰ εἰς τὰς βίβλους εἰσερχόμενα ἤτοι τὰς βεβράνας.

Ἐὰν ζ' ὑπολειφθῶσιν, Σελήνης ἐστίν· ἔστι δὲ τῇ χροιᾷ ὑποβενετίζον, οἷον τὸ λαζουρόν, τετράγωνον, ἰσχυρόν, κοντόν, εὔοσμον, ὑγρόν, ἀκρόκυφον δέ· ἔχει δὲ ἀπὸ τῶν μετάλλων καὶ τῶν μεταλλευομένων τῷ πυρὶ ἄσημον τὸν μὴ φορούμενον οὔτε ὑπὸ γυναικῶν οὔτε ὑπὸ παίδων· ἔχει δὲ ἀπὸ τῶν κηπευομένων μηδικὴν καὶ χόρτον χλωρὸν καὶ λίνον τὸν

8 ἀνακακαβαία " lotus arbor „ Ducangius, vol. II, in Addendis, p. 16. ὀξυκοκία ignotum (ὀξύα fagus). 9 καὶ suppl. καὶ ὤντων ὀσμῶν cod. 10 κύνας] " codex ni fallor καύας „ Bassi. 11 ἀνέργαστρα cod. 12 εὐόσμενον cod. An εὔοσμον? cf. l. 32. 14 ἔτι corr. Kroll : ἐπὶ cod. 17 μυράπια genus piri latine quoque myrapia dictum; cf. μυραπίδια, *Geopon.*, 10, 76, 11. κυδώρια δωράκια (ut videtur) cod. 17 ἀπιδ' cod. 20 Post σικύας semilinea vacua. 21 πυρόν cod. 26 ὄσπρια coni. Kroll. 27 ἄσημον = ἀργύριον : hic ὁ ἄσημος eodem sensu. 29 post ὄρνεα lacuna in codice semilinea vacua significatur. fort. κάττας legendum vel ἡμιόνους? 30 εἰσερχόμενος cod. βεβράνας = membranas.

νηθόμενον· καὶ πᾶν δένδρον γινόμενον εἰς τοὺς πρόποδας τῶν ὀρέων· καὶ ἀπὸ τῶν ἀνθρώπων τὰς κόρας· καὶ τῶν τετραπόδων τοὺς βόας· καὶ τὰ τῆς μετάξης νήματα· καὶ τὰ ἐν τοῖς Πέρσαις γινόμενα.

Ἐὰν η' ἀπολειφθῶσιν, Ἡλίου ἐστίν· ἔστι δὲ ἐρυθρὸν τῇ χροιᾷ· ὑποπρασινίζον, κοντόν, ἰσχυρόν, καθαρόν, δριμύ, θερμόν, ξηρόν, οὔτε μὴν γέμον, οὔτε κοῦφον· ἔχει δὲ ὀπήν· ἔχει οὖν τῶν τοῦ ὕδατος μετάλλων ὑάκινθον πυρρόν· τῶν ὄφεων τὸν ἰόν· καὶ πᾶν θερμόν καὶ πᾶν γινόμενον εἰς γῆν θερμήν· τῶν δὲ μετάλλων τοῦ πυρὸς τὸν σίδηρον, τὸν μόλυβδον καὶ πάντα τὰ τῆς ἀνατολῆς· καὶ τὰς μετάλλους τὰς μὴ πολυτίμους· καὶ τῶν δενδρικῶν πᾶν τὸ μὴ φαινόμενον τὰ ὀστᾶ αὐτοῦ οἷον κάρυα, στρόβιλον, ἀμύγδαλα, καὶ πᾶν ὡς ἐπὶ σκευαρίου εἰργασμένον, ὡσαύτως καὶ τὰ ἄλφιτα καὶ τὸ κοριόσπερμον· καὶ ἀπὸ τῶν ἀνθρώπων τοὺς βασιλεῖς καὶ μεγάλους καὶ ἐξουσιαστὰς ἄνδρας· τῶν δὲ ἑρπετῶν, πᾶν τὸ ἔχον πολλοὺς πόδας· τῶν δὲ τετραπόδων ἵππους, βορδόνια· καὶ τὰ γινόμενα ἐν πᾶσι τοῖς κλίμασιν. F. B.

F. 113. ξα'. Ἰουλιανοῦ Λαοδικέως περὶ πολέμου [1].

Πολέμου δὲ ὄντος, πόλεμος μὲν ὁ Ἄρης ἔσται· οἱ δὲ ἐπιόντες ἀφ' ὧν φέρεται ἢ ἀπορρεῖ ἤτοι σωμάτων ἢ κατὰ ἀκτῖνα· οἱ δὲ πολεμούμενοι, οἷς συνάπτει· εἰ μὲν οὖν ἀπὸ ἀγαθῶν φέροιτο, δικαία ἡ ἔφοδος· εἰ δὲ ἀπὸ κακοποιῶν, ἄδικος· καὶ ἀπὸ μὲν αἱρετιστῶν ἀπορρέων ἢ συνάπτων, ὁμογενεῖς τοὺς μαχομένους δηλώσει· ἀνθαιρετισταῖς δὲ συνάπτων ἢ ἀπορρέων, οὐχ ὁμοφύλους· καὶ ταπεινούμενος μέν, οὐ μέγαν ποιήσει τὸν πόλεμον, ὑψούμενος δέ, μέγαν· καὶ ἐν μὲν τροπικοῖς ἢ ἐπίκεντρος ἔνδοξον, ἐν δὲ στερεοῖς ἢ ἄκεντρος οὐκ ἔνδοξον· καὶ πάλιν στηρίζων μὲν ἢ αὐτὸς ἢ οἱ συναπτικοί, πολυχρόνιον, μὴ στηρίζοντες δέ, ὀλιγοχρόνιον· καὶ μεσουρανῶν μέν, περὶ ἀρχῆς πολεμεῖν φησί, ὡροσκοπῶν δέ, περὶ ζωῆς, δύνων δέ, περὶ βλάβης, ὑπόγειος δέ, περὶ γῆς ἢ τάφων· ἐν δὲ τῷ θ' περὶ θεῶν ἠμελημένων ἢ νόμων, ἐν δὲ τῷ γ' περὶ γένους ἢ θεῶν θηλειῶν, ἐν δὲ τῷ ς' περὶ ἀκρωτηριασμοῦ

6 Ἡλίου εἰσιν ἐστίν· ἐστι cod. 7 πυρόν cod. 16 Titulus est Vaticani, f. 87 : Περὶ πολέμου A. 18 φέρεται ἢ omis. Mai. ἤτοι σ. ἢ κ. ἀκτῖνα omis. A. δὲ omis. A. 19 οἱ μὲν Mai. 20 ἐρετιστῶν Mai. ἢ A : τε καὶ Mai. 21 δηλῶν Mai : ἀντερετισταῖς δὲ M : ἀπὸ δὲ ἀνθαιρετιστῶν A. 23 καὶ ἐν μὲν τροπικοῖς Mai : ἐν τροπικῷ A. 24 ἐπικέντρω A. δὲ omis. A. 24-25 καὶ πάλιν Mai : εἰ A. 25 μὲν ἢ α. ἢ οἱ συναπτικοὶ omis. A. 25-26 στηρίζων A. 27 δὲ (bis) omis. A. ὑπόγεις A : ἐν δὲ τῷ δπ' (sic) Mai. 28 δὲ omis. A. 29 θηλειῶν θεῶν Mai. δὲ omis. A.

[1] Tria haec de bello fragmenta edidit Angelo Mai (*Script. vet. nova collectio*, t. II, 1827, p. 675-7), codice Vaticano 1056, saec. XIV usus (cf. *Catal.*, IV, p. 102, n° 2). Quae hic simul cum aliis Iuliani excerptis repetere visum est, praesertim cum codicis Angelici textus saepe correctior sit Maii editione, quae interdum vix ac ne vix quidem intellegi potest.

τινος καὶ ἀδικίας, ἐν δὲ τῷ ιβ' περὶ ὑπηκόων, ἐν δὲ τῷ ἀγαθοδαιμονητικῷ διὰ φιλίαν ἢ τέκνα, ἐν δὲ τῷ ε' διὰ γυναῖκα ἢ πόλιν, ἐν δὲ τῷ β' διὰ χρημάτων, ἐν δὲ τῷ η' διὰ ἀρχαῖα ἢ νεκρικὰ πράγματα· ὕπαυγος δὲ ὢν ὁ Ἄρης δόλῳ ἀνύσει τὸν πόλεμον, ἀνατολικὸς δὲ φανερῶς, ἐν τροπικοῖς δὲ δημοσίᾳ, ἐν δισώμοις μετὰ πολλῶν· καὶ Ἑρμῆς μὲν προσνεύσας οἷς συνάπτει ὁ Ἄρης καλῶς μὲν καὶ μετὰ ἀγαθῆς μαρτυρίας προδώσει τὰ τῶν ἐπιόντων τοῖς πολεμουμένοις, τῇ δ' ἀπορροίᾳ συσχηματισθεὶς τὸ ἐναντίον ποιήσει· καὶ ὑπαύγου μὲν ὄντος τοῦ Ἑρμοῦ λήσεται ὁ προδούς, ἀνατολικοῦ δὲ οὐ λήσεται· ἐν ἑτέρῳ δὲ ὢν ζῳδίῳ Ἑρμῆς ἀνατολικὸς καὶ ἀκάκωτος φανερῶς τῷ προδόντι ἀποφυγὴν παρέξεται· εἰ δὲ τὸν τοῦ ζῳδίου κύριον σὺν ἑαυτῷ ἔχῃ, συλλήπτορας ἕξει· καθυπερτερηθεὶς δὲ ὑπὸ μὲν ἀγαθῶν, κἂν ληφθῇ, οὐδὲν πείσεται, ὑπὸ δὲ κακοποιῶν, κολάσθησεται· μαρτυρουμένου δὲ τοῦ καθυπερτεροῦντος ὑπὸ μὲν Διὸς ὑπὸ μεγάλου προσώπου, ὑπὸ δὲ Ἡλίου ὑπὸ πλήθους ἢ δημοσίᾳ, ὑπὸ δὲ Ἄρεως ὑπὸ στρατηλάτου ἢ στρατιώτου. F. C.

ξβ'. Περὶ πολέμου ἄλλη σκέψις.

Πάλιν οἱ μὲν ἐπιόντες ἀπὸ τοῦ ὡροσκόπου ληφθήσονται, οἷς δὲ ἐπίασιν ἀπὸ τοῦ δύνοντος, τὸ αἴτιον ἀπὸ τοῦ μεσουρανήματος, ἡ ἔκβασις ἀπὸ τοῦ ὑπογείου· τὰ φρούρια ἑλέσθαι καὶ τὰς συμμαχίας οἱ περιέχοντες τοὺς τόπους δηλοῦσιν καὶ ὑψούμενοι μὲν ἢ προστιθέντες πρόσθεσιν αὐτοῖς σημαίνουσι, ταπεινούμενοι δὲ ἢ ἀφαιροῦντες καθαίρεσιν τειχῶν μὲν ἢ ἐγγαίων, ὅταν Κρόνος περιέχων κακῶται, μηχανημάτων δὲ ὅταν ὁ Ἑρμῆς, ἱερῶν δὲ ἢ ναῶν, ὅταν ἡ Ἀφροδίτη, τοῦ δὲ ἐδάφους, ὅταν ἡ Σελήνη, συμμάχων δέ, ὅταν ὁ Ζεύς, δήμου δέ, ὅταν Ἥλιος· οἱ δέ, τοῦ ὡροσκόπου καὶ τοῦ δύνοντος δεσπόται, εἰ καλῶς πρὸς ἀλλήλους σχηματισθεῖεν ἢ ἐν κοινῷ ζῳδίῳ εἶεν, διαλλαγήσονται οἱ πολεμισταί· καὶ τετραγωνιζόμενοι μὲν ὑπὸ ἀγαθοποιῶν ἐπὶ συμφέροντι, ὑπὸ δὲ κακοποιῶν ἐπὶ λύμῃ· τῶν δ' ἐπαναφορῶν οἱ δεσπόται εἰ ταὐτὰ πάθοιεν, σύμμαχοι αὐτοὺς διαλλάξουσι· ἐκλείψεως δὲ γενομένης

1 δὲ omis. A ac sic deinceps. 1-2 ἀλαθοδαιμονητικῶ (τικῶ non omnino certum) A : σ' Mai. 3 ἀρχαῖα Mai : ἀρχὴν A. 3-4 ὕπαυτος (sic) δὲ ὢν ὁ Ἄρης Mai : κρυπτόμενος cet. omis. A. 4 φανερῷ Mai. 7 ἀπορίᾳ Mai. 8 τοὐναντίον Mai. ὑπαύτου Mai. 9 An λύσεται? 10 Ἑρμῆς omis. A. προδίδοντι A. 11 παρέξονται A. 11-12 αὐτῷ ἔχει συλλήπτορα A. 12 καθύπερτερηθεὶς A : τερηθεὶς Mai. 13 κακῶν A. 14-15 μεγάλης κεφαλῆς. Ἡλίου δὲ A. 15 ὑπὸ δὲ omis. A. 15-16 στρατηλάτου ἢ στρατιώτου A : στρατιωτικοῦ προσώπου Mai; cf. infra p. 189, 2-3. 17 περὶ πολέμου omis. A. 19 ἀπὸ του (alterum) omis. Mai. 20 τοὺς φρουροὺς δὲ ἑκουσίως (?) A. 20-21 περισχόντες Mai. 21 καὶ omis. A. 23 κακοῦται cod. 25 δὲ (post δήμου) omis. A. 25-26 εἰ δὲ οἱ Mai. 26 εἰ omis. A. 27-28 πολεμοῦντες Mai. 28 καὶ omis. A. ἀγαθῶν A. 29 εἰ δ' ὑπὸ A. ἐπ' ἀναφορῶν Mai. 30 ταῦτα A : τοῦτο Mai.

σεληνιακῆς μὲν πολὺς φόνος ἔσται, ἡλιακῆς δὲ παντελὴς ὄλεθρος, ἢ πρὸς τὰ μεγέθη τῶν ἐκλείψεων· ἔσται δὲ οἷς ἂν προσοικειωθῇ ἡ ἔκλειψις· καὶ εἰ μὲν ἀμφοτέροις προσοικειωθείη, ἀμφοτέροις κακῶς γενομένη, *** ἀσύμφορος τοῖς ἐπιοῦσιν, εἰσβάντων δὲ εἰς τὴν πολεμίαν τοῖς πολεμουμένοις· καὶ περὶ σεισμοῦ δὲ τὸ αὐτὸ λέγομεν, σάλπιγγός τε ἢ δοκίδος ἢ κομήτου· οἱ δὲ ἀνωμαλοῦντες τῶν ἀστέρων, οἷς ἂν προσγένωνται, ἐκείνοις ἀνωμαλήσειν μαντεύονται· μεταβαίνοντες δὲ ἢ ἀναποδίζοντες οἱ μὲν τοῦ ὡροσκόπου δεσπόται πρὸς τὸν κύριον τοῦ δύνοντος, οἱ δὲ τοῦ δύνοντος πρὸς τὸν τοῦ ὡροσκόπου, μετανάστασιν αὐτῶν πρὸς ἀλλήλους σημαίνουσιν· εἰ δὲ ἐν οἰκείοις ὄντων τόποις, οἷον Διὸς μὲν ἐν Ἰχθύσι, Ἄρεως δὲ ἐν Κριῷ, φαίνοιτό τις τότε τοῦ ἀστέρος προποδίζων καὶ ἀναποδίζων εἰς τὰ εἰρημένα δύο ζῴδια αὐτῶν, διὰ μέσου τινὲς ἔσονται ἤτοι προδιδόντες ἢ φιλοποιοῦντες, καθὼς ἂν ἡ μαρτυρία λέγῃ· καὶ εἰ μὲν ἀγαθοποιὸς τύχοι ἢ ὑπὸ ἀγαθοῦ κατοπτεύοιτο, εἰλικρινὴς καὶ ἄδολος ὁ διὰ μέσου ἔσται· εἰ δὲ κακοποιὸς καὶ ὑπὸ κακοποιῶν βλέποιτο, δόλιος καὶ ἀλλοπρόσαλλος· ἔνθα δ' ἂν μεταβὰς ἀγαθοποιηθῇ, ἐκείνῳ πιστὸς ἔσται· καὶ ἀπὸ μὲν οἰκείων εἰς ἀλλότρια μεταβαίνων, ὑπὸ τῶν οἰκείων πεμφθήσεται πρὸς τοὺς ἀλλοδαπεῖς, εἰ δ' ἀπ' ἀλλοτρίων εἰς τὰ ἴδια, ὑπὸ τῶν ἀλλοτρίων πρὸς τοὺς οἰκείους. ἐν δὲ αὐτῷ τῷ ζῳδίῳ τὸν προποδισμὸν ἢ τὸν ἀναποδισμὸν ποιούμενος καὶ ἔχων μεθ' ἑαυτοῦ <τοὺς> τὰ πρόσωπα τῶν πολεμούντων σημαίνοντας ἀστέρας ἐπὶ τόπου, διαγγελεῖ ἃ ἑκάτεροι βούλοιντο· καὶ Ἑρμῆς μὲν κήρυκος πρόσωπον ἐφέξει, Ζεὺς δὲ ἡγεμόνος, Ἄρης δὲ στρατιώτου, Κρόνος δὲ πρεσβύτου ἢ ἐντίμου, Ἥλιος δὲ δημάρχου, Ἀφροδίτη δὲ θεῶν ἢ εἰκόνων θεῶν, Σελήνη δὲ στοιχείων ἢ φυτῶν, οἷον ὡς ὅταν κλάδους πέμποντες ἢ γῆν καὶ ὕδωρ ἱκετεύουσι τοὺς κρείττονας. καὶ γυναῖκας δὲ αἱ αὐταὶ δηλώσουσι, τουτέστι ἥ τε Σελήνη καὶ ἡ Ἀφροδίτη· πολλάκις γὰρ καὶ γυναῖκες ἐν τοιαύταις ὑπηρεσίαις μεσιτεύσασαι διήλλαξαν ἑκατέρους, οἷον ὡς ἐπὶ τοῦ πρὸς Σαβίνους τῶν Ῥωμαίων πολέμου αἱ γυναῖκες τὴν εἰρήνην ἐν μέσῳ τῶν στρατοπέδων παρελθοῦσαι ἐβράβευσαν ἑκατέροις. F. C.

1 μὲν omis. A. 4 Lacun. sign. Kroll. τὸν πόλεμον A. 5 ταῦτα λέγω A. 6 δὲ omis. A. 7 ἐκείνου Mai. ἀνωμαλίσειν A (ἀνομαλίζω cum ἀνωμαλέω confudit librarius); cf. infra p. , l. 21, 12. 9 οἱ δὲ A : ἢ οἱ Mai. μετανάστασιν corr. Boll : μεταστάντων cod. 11 Ζεὺς et Ἄρης Mai. 11-12 τότε τοῦ ἀστέρος omis. A. 12 τὰ εἰρημένα omis. A. αὐτῶν omis. A. 13 ἤτοι ἢ A. 14 τύχῃ codd. 15 εἰλικρινὴς καὶ ἀ. A : ἄδολος καὶ ἀληθὴς Mai. κακὸς A. 16 κακῶν A. 16-17 κλέπτοιτο δολικὸς καὶ ἀλλοτριοπρόσαλλος· ἔνθα δ' ἀγαθοποιῇ Mai. 18 ἀλλοδαπεῖς Mai : ἑταίρους A. 20 ἐν Mai : ἐὰν A. 21 τοὺς supplevi. 22 ἀστέρας omis. A. δι' ἀγγέλου ἑκάστου βούλοιντο A. βούλοντο Mai. 23 ὑφέξει A. δὲ omis. A. 24 δὲ omis. A. 25 εἰκόνων τούτων A. 26 ὡς omis. A ; at cf. v. 29. ὕδωρ τούτους ἱκετεύουσι ἢ δυσωποῦσι A. 27 δὲ omis. A. 30-31 τοῦ στρατοπέδου A. 31 Iulianus exempla ex prisca historia petita afferre solet; cf. *Catal.*, IV, 105, 20.

ξγ'. Περὶ ἀναλύσεως πολέμου.

Τὸν δὲ χρόνον τῆς ἀναλύσεως τοῦ πολέμου εἰπεῖν μὲν τρανῶς καὶ βεβαίως οὐ ῥᾴδιον· στοχάσασθαι δὲ μόνον ἀπό τε τοῦ οἰκοδεσπότου τοῦ ὑπογείου καὶ ἀπὸ τῶν ἐπὶ τοὺς τοῦ Ἄρεως τόπους ἢ τετράγωνα παραγινομένων, ὡς τῶν μὲν ἀγαθοποιῶν κατάλυσιν τῷ πολέμῳ φερόντων, ὅταν ἐλεύθεροι καὶ ἀκάκωτοι ἔρχωνται καὶ ἐν στερεοῖς ὦσιν, ἵνα μὴ πάλιν πολεμήσωσι, τῶν δὲ κακοποιῶν ἐπίτασιν, καὶ μάλιστα εἰ παρ' αἵρεσιν εἶεν ἢ ἐπιτείνοιντο πρὸς κάκωσιν. τὰ δὲ πρὸς ἡμέραν ἑκάστῳ συμβαίνοντα γνωσθήσονται ἀπὸ τῶν παρόδων τῆς Σελήνης, σκοπούντων ἡμῶν πῶς ἐσχηματίζετο πρότερον ἢ σχηματίζεται νῦν πρὸς τὴν ἑκατέρου τῶν δύο μερῶν καταρχήν, τῶν μὲν ἐπιόντων ἀπὸ τῆς ἐξόδου αὐτῆς, τῶν δὲ πολεμουμένων ὅτε αὐτοῖς εἰσβεβλήκασιν οἱ πολέμιοι ἢ εἰσβεβληκέναι διηγγέλθησαν. καὶ ἐκ τῶν τῷ Δωροθέῳ ἐν τοῖς ἔπεσιν εἰρημένων περὶ τοῦ «πῶς πράξας ἐπανήξει[1]» δυνατόν ἐστι σκοπεῖν, εἴτε οἱ πολεμοῦντες κρατοῖεν, εἴτε οἱ πολεμούμενοι· γενέσεως δὲ τῇ πολεμουμένῃ ὑπαρχούσης πρὸς ἐκείνην δεῖ τὴν κρίσιν ποιεῖσθαι τοῦ μέλλοντος· εἰ δὲ καὶ τοῦ ἡγεμόνος τις διαγινώσκοι τὸ θέμα, ἀνενδοίαστος καὶ βεβαία ἔσται ἡ τοῦ ἐσομένου πρόγνωσις· ἐπὶ γὰρ τοὺς φωστῆρας αὐτῶν ἢ τοὺς κακοποιοὺς ἢ † τετραγώνων κατάγουσιν ἐκ τῶν μηνῶν, ἐπεμβαίνοντες οἱ ἀγαθοποιοὶ εἰρήνην αὐτοῖς ἢ ἄνεσιν μαντεύονται.
F. C.

F. 118ᵛ. οδ'. Ἑρμοῦ περὶ κατακλίσεων.

Ψήφισον τὸ ὄνομα τοῦ ἀρρώστου καὶ τῆς ἡμέρας ἐν ᾗ κατεκλίθη καὶ τὰ ζ' φωνήεντα καὶ τὴν τοῦ μηνὸς ἡμέραν, καὶ πάντα μίξας μέρισον παρὰ τὸν γ', καὶ ἐὰν μὲν ἓν ὑπολειφθῇ, ταχέως ὑγιαίνει· ἐὰν δὲ δύο,

2-3 μὲν κατ' ἀποτομὴν οὐ ῥᾷον A. 3 δεσπότου Mai. 4 τῶν ἀστέρων, in marg. γρ. τοῦ Ἄρεως A. τετραγώνων Mai. 5 μὲν omis. A. 6 ἵνα A : ἃ Mai. 8 ἐπιτείνοντο Mai . ἐπιγένοιντο A. 8 τὰ Mai : τὸ A. 9 σημαίνοντα, in marg. γρ. συμβαίνοντα A. 10 ἡμῶν omis. A. πρότερον et νῦν superscr. A. 10-11 πρὸς τὴν ἑκάστην καταρχὴν sed in marg. sicut Mai, A. 11 ἀπὸ τῆς superscr. A. 12 αὐτῆς superscr. A. 12-13 διηγγέλθησαν οἱ πολέμιοι (οἱ πολ. superscr.). Post διηγγέλθησαν aliquid deesse videtur. 13-14 ἢ εἰσβεβλ. - εἰρημένων omis. A, qui haec habet: καὶ ἀπὸ τοῦδε πῶς πρ. ἐπ. ἀμφότερον σκοπεῖν προσέσθαι εἴτε κρατοῦσιν οἱ ἐπιόντες εἴτε καὶ μή. 15 κρατεῖεν Mai. 16 ἐκείνων codd.; corr. Kroll. 16-17 δεῖ - μέλλοντος] ἡ κρίσις cet. omis. A. 17 διαγινώσκει A. 18 καὶ βεβαία omis. A. ἔσται - ἡ πρόγνωσις superscr.; in textu : ἡ ἀπόφασις A. 19-20 αὐτοὺς ἢ τοὺς κακοποιοὺς ἢ τετραγώνους, εἰ κατάρχουσιν ἐτῶν ἢ coni. Boll. De ἐπεμβάσει cf. Kroll, *Gött. Gel. Anzeig.*, 1900, p. 971. 20 ἐτῶν καὶ Mai : ἐκ τῶν A.

[1] Capitulum Dorothei "De absentis reditu" ex arabica lingua in latinam versum invenitur in *Libro Novem Iudicum in Iudiciis astrorum* a Petro Liechtenstein Venetiis a. 1508 edito, f. 74ʳ (= p. 546, edit. a. 1571).

βραδέως· ἐὰν δὲ γ', ἀπόλλυται. οἷον Νόννος· ἡ ψῆφος γίνεται υϛ', τοῦ μηνὸς γίνονται γ', τῆς δὲ ἑβδομάδος ἡμ(έρα) Ἄρεως ἔχει ψῆφον ,αρϛ', προσθὲς καὶ τὰ ζ' φωνήεντα ἃ ἔχουσι ψῆφον ,ασϟδ', γίνονται ,βωϟγ' μεριζόμενα παρὰ τὸν γ', ὑπολείπεται ἓν καὶ οὗτος ταχέως ὑγιαίνει. F. B.

F. 120. οζ'. Περὶ ἀποδήμου ἀνακομιδῆς[1].

Τῶν ζῳδίων τὰ μὲν τροπικὰ τοῖς μεταβολῆς χρῄζουσιν ἁρμόζει, προσώποις δὲ ὀχλικοῖς, πράγμασι δὲ δημοσίοις, τόποις δ' ἐπιφανέσιν, τρόποις δὲ τὰ μὲν ὑψηλὰ δικαίοις, ὁ δὲ Καρκίνος ὀχλοχαρέσιν οὐκ ὀρθῶς, ὁ δὲ Αἰγόκερως κούφοις, δυσκαταλήπτοις· τὰ δὲ στερεὰ πλαγίαις χρείαις ἁρμόζει, προσώποις δὲ ἀνεπιφάντοις μέν, οὐ πάντη δ' ἀδόξοις, πράγμασι δὲ βεβαίοις, σκληροῖς, ἐπιμόχθοις, τόποις δὲ τραχέσιν· ὁ δὲ Ὑδροχόος ὑγροῖς ἢ παρύγροις, τρόποις δὲ ὡσὰν ἕκαστος φύσει ἔχῃ, τὰ δὲ δίσωμα τοῖς χρῄζουσιν ἢ πρόσωπον ἀντὶ προσώπου ἢ τόπον ἀντὶ τόπου ἢ χρόνον ἀντὶ χρόνου ἢ πρᾶγμα ἀντὶ πράγματος, προσώποις δὲ πολλοῖς, πράγμασι δὲ ποικίλοις ἢ διπλοῖς, τόποις δὲ τοῖς μὲν τραχέσι, τοῖς δ' εὐθηνουμένοις. καὶ ὅλως τὰ μὲν ἡμερινὰ ταῖς ἡμεριναῖς καταρχαῖς ἐπιτήδεια, τὰ δὲ νυκτερινὰ ταῖς νυκτεριναῖς, τὰ δὲ ἀρσενικὰ ἀνδράσι, τὰ δὲ θηλυκὰ θήλεσι, τὸ δὲ διὰ Κριὸν Λέοντα Τοξότην τρίγωνον βασιλεῦσι, τὸ δὲ διὰ Δίδυμον Ζυγὸν Ὑδροχόον ἄρχουσι, τὰ δὲ ὑποτακτικὰ ὑπηρεσίαις, τὰ δὲ λογικὰ λογικοῖς, τὰ δὲ ἄλογα ἀλόγοις [f. 120v], τὰ δὲ Ἑρμαϊκὰ ἐμπόροις ἢ ἑρμηνεῦσι, τὰ δ' ὑγρὰ τοῖς δι' ὑγρῶν ἐργαζομένοις, τὰ δὲ πυρώδη τοῖς διὰ πυρός, τὰ δὲ στερεὰ τοῖς ἐπὶ διφρίοις ἢ κτηναγωγοῖς, τὰ δὲ ἰσημερινὰ τοῖς διὰ σταθμῶν, τὰ δὲ διφυῆ ἢ δίσωμα ταῖς κοινωνίαις ἢ τοῖς δύο μετιοῦσιν ἔργα καὶ τῶν ἀστέρων δὲ οἱ κατὰ β' τῆς αὐτῆς αἱρέσεως ἑστῶτες ἢ ἐν ἐπικοίνοις· τὸ γὰρ ἐναντίον διάλυσιν φέρει. τὰ δὲ

1 ἀπόλυται cod. 2 κνάρεως cod.; corr. 3 αρ' cod.; corr. Summa litterarum non est 1100 sed 1106. 4 ,βσϟγ' cod. Numerus 2293 sanus non est, nam 490 + 3 + 1106 + 1294 = 2893, ergo ,βωϟγ' scripsimus. 6 Codicem A(ngelicum) usque ad p. 190, 26 ipse descripsi: reliquam partem comiter mihi misit Dominicus Bassi. 11 ἁρμόγει cod., cf. 7. 14 φύσεως coni. Kroll. 25 διφυὰ cod. 26 χρόνων ut vid. cod.: ἀστέρων corr. Bidez.

[1] Titulus ad extremam tantum capituli partem convenit (cf. p. 192, 18 ss.). Quod iam animadvertit lector quidam qui in margine codicis Angelici scripsit: Κεφάλαια διάφορα χρήσιμα εἰς διαφόρους χρήσεις. Revera excerpta esse ex opere Iuliani Laodicensis crediderim, cuius nomen et in titulis capitum Περὶ πολέμου (supra p. 183, 15) omissum est. Nam p. 190, 6 legitur Πάλιν δὲ ὁ αὐτὸς Ἰουλιανὸς λέγει, etsi prius in textu astrologus ille non commemoretur. Haec coniectura ideo quoque quadrare videtur quod p. 190, 6 verba quaedam Procli anno 484 mortui proferuntur. Scimus enim Iulianum extremis saeculi V annis scripsisse. Vide supra p. 171, infra p. 195; cf. etiam ad 189, 23.

ἄφωνα ἐχεμυθίαις, τὰ δὲ ἐμφωλεύοντα ἱππονομευταῖς, τὰ δ' αἰνιγματώδη μεθοδευταῖς, γεωργοῖς δὲ τὰ χερσαῖα καὶ ὁ Στάχυς. οἰκοδόμοις δὲ ἢ τοκισταῖς τὰ πολυανάφορα καὶ τῶν ἀστέρων οἱ ἀναβαίνοντες τῷ πλάτει καὶ τῷ ὑψώματι καὶ οἱ προσθετικοί, θεμελιουργοῖς δὲ ἢ ὀφειλέταις τἀναντία, τὰ δ' ὀρθὰ συνθήκαις, ταῖς δὲ παραβασίαις τὰ πλάγια, ὀρνιθοθήραις ἢ καταβάταις τὰ πτερωτά, δραπέταις τὰ τοῦ ζῳδιακοῦ ἐκτός, τὰ δὲ λατρώδη κολακείαις, ἀθυμίαις τὰ ἀσελγῆ καὶ ὁ Ὑδροχόος διὰ τὴν ῥύσιν, σαλπιγκταῖς ἢ αὐληταῖς κατὰ ἀντιπάθειαν τὰ ἄφωνα, παλαισταῖς τὰ Ἑρμαϊκά, μάλιστα <οἱ> Δίδυμοι· Ἀπόλλων γὰρ καὶ Ἡρακλῆς οὗτοι.

Καὶ ἐκ τῶν τῇ Σελήνῃ παραβαλλόντων τὸ ὅμοιον γνωσθήσεται· στεφανηφορίαις μὲν γὰρ ὁ Στέφανος ἁρμόσει, ἡ δ' Ἀργὼ πλοϊζομένοις, δημοσίοις δὲ ὁ Περσεὺς καὶ ἡ Ἀνδρομέδα, κτηναγωγοῖς οἱ Ὄνοι, κυνηγοῖς ὁ Λαγώς, ὁ Κύων, ὁ Ὠρίων, αἰπόλοις ἡ Αἶξ καὶ οἱ Ἔριφοι, ἱκέταις ὁ ἐν Γόνασιν, εὐωχίαις ὁ Κρατήρ, ἐρασταῖς ὁ Ἀριάδνης στέφανος καὶ ἡδυπαθέσιν καὶ ἀγωνισταῖς, ἱερεῦσι τὸ Θυμιατήριον, οἰωνισταῖς ὁ Ἀετός, ὁ Κόραξ καὶ τὰ πτερὰ τῆς Παρθένου, ἱππεῦσιν ὁ Κένταυρος καὶ ὁ Τοξότης, ἱπποδρομίαις ὁ Πήγασος, ἡ κεφαλὴ τοῦ Ἵππου, ἀκοντισταῖς ὁ Τοξότης, ὁ Ὀϊστός, ἡ Κάλπις, μουσικοῖς ἡ Λύρα, τελεταῖς θεῶν ἢ ὑπηρεσίαις οἱ Φρύγιοι Αὐλοὶ καὶ τὰ Κύμβαλα, δᾳδουχίαις ὁ τὰ λύχνα φέρων, γεωργοῖς τὸ Ἄροτρον, ὁ Στάχυς· ταῦτα δ' ἡμῖν καὶ Ἀσκληπιάδης ὁ Μυρλεανὸς [ὁ] ἐν τῇ Βαρβαρικῇ Σφαίρᾳ δεδήλωκε. τὰ δὲ ζῴδια καὶ ὁποίας ἕκαστα φύσεώς τε καὶ ἐνεργείας ἐστίν, ὅ τε Τρισμέγιστος Ἑρμῆς καὶ οἱ ἀπ' ἐκείνου ἐδίδαξαν· εἰ δέ τις καὶ τὰς μορφώσεις τῶν δεκανῶν ἐξετάζειν ἐθέλοι, οὐκ ἂν ἁμαρτάνοι πρὸς τὸ ὅμοιον αὐτὰ λαμβάνων.

Τῶν δὲ πλανωμένων Ἥλιος μὲν βασιλεῦσι ἢ δήμοις ἢ ἀξίαις ἐπιτήδειος ἢ ἐλέγχοις[1], πατράσι τε καὶ πατρῴοις καὶ δανεισταῖς διὰ τὸ φωτίζειν τὴν Σελήνην, δανειζομένοις ὅταν ἡ Σελήνη ἀποκρούῃ. τινὲς δὲ τοὐναντίον εἰρήκασιν. ἡ δὲ Σελήνη βασιλίσσαις μητράσι, θείαις, μάμμαις καὶ αὐξιφωτοῦσα μὲν ἀπὸ συνόδου ὑγροῖς, ἀπαγέλοις, ἀρχομένοις, νεωτέροις, πανσέληνος δὲ μεσήλιξι, λήγουσα δὲ γέρουσι

1 ἱππονεμεύταις cod.; corr.; verbum novum, sed ἱππονομεύς αἰγονομεύς inveniuntur: ἱππονομεύταις finis hexametri erat. 4 πλ(άτει) compendio cod. Legendum πόλῳ? 6 καλαβάταις, τα superscr.. cod. 7 ἀθυμίαις vix sanum. 8 σαλπηγηταῖς ut vid. cod. 9-25 Cf. Boll, *Sphaera*, p. 543 s. 9 Ἑρμαϊκά] cf. p. 187, 22. οἱ suppl. Boll. 16 ἡδυπαθεῖς cod. 18 ἱπποδρομίαις ex ἱπποδρόμοις corr., cod. 22 μυρλιανὸς cod. De Asclepiadis Myrleani Sphaera barbarica, cf. Boll, *l. c.*, p. 544 s. Albin. Müller, *De Ascl. Myrl.*, Lipsiae, 1903, p. 22 ss. 30 ματράσι cod. 31 ὑγρός est puer tener. ἀπαγελ(οις) cod.: ἀπάγελος est adulescens minor XVII annos natus (Hesych.). 32 πλησιοσέληνος cod.

[1] In epitaphiis Sol saepe invocatur ut eum qui iuvenem dolo malo interfecit, indicet; cf. notulam meam ad titulum ex Amiso Ponti in *Rev. études gr.*, 1904.

κατὰ τὸ ἀνάλογον τῆς ἀποστάσεως· ὁ δὲ Ζεὺς ἄρχουσι, βασιλεῦσι, υἱοῖς, δόξαις, [f. 121] τιμαῖς, πρεσβείαις· ὁ δὲ Ἄρης στρατιώταις, στρατηλάταις, ἀδελφοῖς, πολέμοις, σιδηρεῦσιν, ἀκμήνοις, θύταις, χειρουργοῖς. ὁ δὲ Κρόνος γεωργίαις, κληρονομίαις, ἐπιτρόποις, πρεσβύταις, γέρουσι, πατράσι, πάπποις, † χρίνοις, εὐνούχοις, στολισταῖς, γεωμέτραις, μάγοις, παραχύταις, νεκροστόλοις, βυρσοδέψαις· καὶ εἰ μὲν τόπος ἢ φάσις γένοιτο ἔνδοξος, ἕκαστος ἀστὴρ τὰ τιμιώτερα ποιεῖ, εἰ δὲ τοὐναντίον, ἔμπαλιν· Ἀφροδίτη δὲ γάμοις, ἐπιθυμίαις, εὐμορφίαις, πορφυροφορίαις, μυροβαφίαις, ἀνθοπλοκίαις, ὀρχησμοῖς, χάρισι, μούσαις· ὁ δὲ Ἑρμῆς σοφισταῖς, ῥήτορσι, παλαισταῖς, ἐμπόροις, ἰατροῖς, νομικοῖς ἢ ὅσοις διὰ λόγου πράττεται, δούλοις, υἱοῖς νεωτέροις, πραγματευταῖς, φίλοις.

Ἐπὶ τῶν ἄστρων οἱ μὲν εἰς ὕψος ἐρχόμενοι ἢ ὑψούμενοι οἷον Ἀφροδίτη ἐν Ὑδροχόῳ ἢ ἐν Ἰχθύσι προκοπαῖς· οἱ δὲ ταπεινούμενοι, ἀποπτώσεσιν· οἱ δὲ ὕπαυγοι καὶ μάλιστα αἱ ἐκλείψεις τοῖς λάθρα τι πράττουσιν· ἀλλὰ καὶ αἱ σύνοδοι τῶν φώτων τὸ αὐτό. τοῖς δὲ τὰ ῥηθέντα μετ' ὀλίγον διαρρήδην θρυλλήσουσιν οἱ ἀπὸ κρύψεως ἐπὶ φάσιν ἀνατολικὴν ἐρχόμενοι, ταῖς δὲ φανερώσεσιν οἱ ἀνατολικοί. ἐπὶ δὲ γενέσεως, ὥς φησι Δημόφιλος[1], τὰς μὲν ἀνατολικὰς φάσεις τῶν ἀστέρων καὶ τὰ ὑψώματα καὶ τὰς κεντρώσεις πρὸς δύναμιν καὶ ἰσχὺν καὶ ἐπιφάνειαν καὶ κατόρθωσιν πραγμάτων ἡγητέον, τὰς δὲ δύσεις καὶ ἀκεντρότητας καὶ ταπεινώσεις πρὸς ἀτονίας καὶ ὑποταγὰς καὶ ἀπὸ ὑπερεχόντων καταβαρήσεις καὶ ἥττας καὶ πτώσεις, τοὺς δ' ἀναποδισμοὺς πρὸς ἐλαττώσεις καὶ φυγὰς καὶ ὑποκρίσεις, τοὺς δὲ στηριγμοὺς πρὸς πλοῦτον καὶ βεβαιότητα καὶ παραμονὴν καὶ εὐστάθειαν καὶ εὐδαιμονίαν· καὶ ἀγαθοποιοὶ δὲ τῆς ὥρας καὶ τῆς Σελήνης δεσπόζοντες ἀγαθὸν σημαίνουσι.

Ὁ δέ γε θεῖος Πρόκλος ὑπομνηματίζων τὰ περὶ προνοίας Πλωτίνου[2] οὕτω λέγει· αἱ μὲν ὑψώσεις τῶν ἀστέρων τῶν λαμπρῶν σημεῖα πράξεων, αἱ δὲ ταπεινώσεις τῶν ἀφανῶν καὶ εὐτελῶν, καὶ τὰ μὲν κέντρα τῶν δυνάμεων, αἱ δὲ ἀποκλίσεις τῶν ἀποπτώσεων· ἀναλόγως

1 An ὑποστάσεως? Sed de distantia a coniunctione loqui videtur. 2-3 Cf. supra Iulianum, p. 184, 15 ὑπὸ στρατηλάτου ἢ στρατιώτου. 3 πολεμίοις coni. Boll. 5 χρίνοις non capio. χρονίοις coni. Bidez. χλούναις " castratis „ dubitanter coni. Boll. 9 Cf. infra p. 212, 12 μυροπώλους ἢ ἀνθοπλόκους. 10 ὀρχισμοῖς cod. 11 ὅσα cod. 16-17 Exspect. μὴ ῥηθέντα vel κρυφθέντα. θρυλληθεῖσιν cod. 31 ἀνάλογον, in marg. ἀναλόγως cod.

[1] De Demophilo, cf. Boll in Pauly-Wissowa, *Realencycl.*, V, 147, n° 12.

[2] Hoc Procli opus hodie exstare non videtur. Idem sine dubio in scholiis ad Commentarios in Rempublicam Platonis (t. II, p. 371, 18 ed. Kroll) designatur verbis : ἐν τοῖς εἰς τὴν τρίτην ἐννεάδα. Tertiae enim Enneadis Plotini capita II et III de providentia agunt.

γὰρ ἔχει τὰ σημεῖα πρὸς ἄλληλα ὡς ἔχει καὶ τὰ ὧν εἰσι ταῦτα σημεῖα· κατὰ τὰ αὐτὰ δὲ καὶ ἐπὶ τῶν διαττόντων τὰ μὲν λαμπρὰ χρώματα τῶν ἐπιφανῶν ἔργων σημεῖα, τὰ δὲ σκοτεινὰ τῶν ἐναντίων· καὶ τὰ σχήματα δὲ καὶ αἱ κινήσεις ὡσαύτως διαφορᾶς τύχωσιν ἢ προσνεύσεσιν ἢ οἰκειώσεσιν καὶ ταῖς τοιαύταις ἀναλόγοις παρατηρήσεσιν.

Πάλιν δὲ ὁ αὐτὸς Ἰουλιανὸς λέγει ὅτι οἱ στηρίζοντες μοναῖς οἰκειοῦνται, παρολκαῖς δὲ καὶ [f. 121ᵛ] ἀναχαιτισμοῖς οἱ ἀναποδίζοντες, ταχυεργίαις δὲ οἱ εὐθυποροῦντες, οἱ τοῖς φωσὶν καὶ τοῖς ἀριθμοῖς προστιθέντες κέρδεσιν ἢ προσλήψεσι βιωτικαῖς, οἱ δ' ἀφαιροῦντες ἀφαιρέσεσιν ἢ ζημίαις, οἱ δὲ βραδέως κινούμενοι νωχελίαις, βραδυτῆσιν, οἱ δὲ ταχέως ταχυτῆσι, δρόμοις, εὐπλοΐαις, οἱ δὲ κατὰ αἵρεσιν τοῖς κατ' ἀξίαν καὶ κατὰ φύσιν, οἱ δὲ παρ' αἵρεσιν βιαίοις, ἀδίκοις, οἱ ἐν ἰδίοις τόποις κακούμενοι ἢ ἀναποδίζοντες τοῖς ἐπὶ τῆς πατρίδος κακουμένοις, οἱ δ' ἐν ἀλλοτρίοις τοῖς ἐπὶ ξένης, οἱ ἀγαθοποιούμενοι τοῖς καλοπραγοῦσιν, οἱ δὲ κακούμενοι τοῖς δυσπραγοῦσιν, οἱ δὲ μηδέτερον πάσχοντες τῶν ἀστέρων τοῖς μέσως βιοῦσιν, οἱ δ' ἑκάτερον τοῖς ἀνωμαλοῦσιν· ἀγαθοποιούμενα οὖν στάσει ἢ καθυπερτερήσει τὰ σημαίνοντα τὸ ζητούμενον πρακτικὰ ἔσται καὶ ἄφοβα, κακοποιούμενα δὲ ἐπίφοβα καὶ ἄπρακτα, πλὴν εἴ τις καταμαντεύοιτό τινος· οὕτω γὰρ οὐδὲν κωλύει. εἰ δὲ κατὰ αἵρεσιν καθυπερτεροῖτο ἢ τετραγωνίζοιτο ὑπὸ μὲν ἀγαθοποιῶν, ἔμπρακτα ἂν εἴη καὶ ἄφοβα, ὑπὸ δὲ κακοποιῶν ἄπρακτά τε καὶ ἐπίφοβα, εἰ δὲ ἀναποδίζοιεν ἢ κρύπτοιντο οἱ κακοποιοί, ἄφοβα· αἱ δὲ διαμετρήσεις οὐδετέρων καλαί, ἐναντιώματα γὰρ σημαίνουσι, ἐλάσσω δὲ ἐν τούτοις τὰ ἐκ τῶν ἀγαθῶν ἐναντιώματα· ἐὰν δὲ ἀπὸ τῶν ἰδίων τόπων διαμετροῖεν ἢ κατὰ αἵρεσιν, οὐκ ἄπρακτοι ἔσονται, ἀλλ' οἱ μὲν ἀγαθοποιοὶ δικαίως, Κρόνος δὲ καὶ Ἄρης μετὰ βίας ἀνύσουσι. τὰ δὲ τρίγωνα βραδυτῆτα μὲν ἔχει, φόβου δ' ἀπολύει πλὴν οἱ ἐπίκεντροι ** ὁμοίως δὲ καὶ τὰ ἑξάγωνα· αἱ δὲ παρουσίαι ὡς ἐπὶ τῶν τριγώνων λαμβανέσθωσαν· καὶ ὅλως μαντείαις μὲν ἁρμόσει τετράγωνα τὰ ἀγαθοποιούμενα, καταμαντείαις δὲ τετράγωνα τὰ κακοποιούμενα καὶ τὰ διάμετρα, ὡς εἴρηται, ἀπομαντείαις δὲ τὰ τετράγωνα· καὶ τὰ ἡμίκεντρα οὐδὲ πρακτικὰ εἴη, οὐδὲ πρακτικὰ ἔσται. καὶ πάλιν οἱ μὲν φθαρτικοὶ ἀναποδίζοντες ἢ κρυπτόμενοι ἢ ταπεινούμενοι ἢ ἄκεντροι ταῖς ἀπομαντείαις ἁρμόσουσιν, οἱ δ' ἀγαθοὶ οὕτω κακούμενοι ταῖς καταμαντείαις, καὶ μάλιστα εἰ στερήσεται ὁ δεῖνα τῶν παρόντων αὐτῷ ἀγαθῶν, πυνθάνοιντό τινες. ὡσαύτως δὲ οὕτως οἱ ἀγαθοποιοί, ὡς εἴρηται, κακωθέντες, περὶ μὲν χρηστῶν ἐλπίδων μαντευομένῳ, εἰ καλὰ σημαίνοιτο,

2 διατόντων cod. 4 διαφόρας cod. τύχωσιν cod., διαφορὰς τύχης σημαίνουσιν coni. Kroll. πρὸς νεύσεσιν cod. 7 παρ' ὀλκαῖς cod. 13 ἢ scripsi : οἱ cod. 16 ἑκάτερον] in marg. alia manu γρ. οἱ δ' ἑκάτεροι. 26–27 cf. eundem Iulianum, *Catal.*, IV, p. 105, 5. 27 post ἐπίκεντροι lacunam sign. παροῦσαι cod.; corr. Kroll. 31-32 ἡμίκ. - ἔσται] εἰ μὴ κέντρα εἴη (cet. omiss.) cod. Lectionem codicis Mediolanensis praetuli, quam mecum communicavit Dominicus Bassi, cf. v. 18-20.

οὐ μόνον οὐ πραχθήσονται τὰ ὡς εἰκὸς δηλούμενα ἀγαθά, ἀλλὰ καὶ φόβος ἔσται· εἰ δὲ φαῦλα σημαίνοιτο ἐν ταῖς τοιαύταις τῶν ἐλπίδων ἐρωτήσεσι καὶ οἱ ἀγαθοποιοὶ ἐρρωμένοι ὦσιν ἀντὶ τῶν φαύλων, ἀγαθὰ ἔσται· μιχθείσης δὲ τῆς κράσεως [f. 122], τῆς μὲν ἐρωτήσεως περὶ καλῶν οὔσης καὶ ἀγαθὰς ἐλπίδας ὑποφαινούσης καὶ τῶν ἀγαθῶν μᾶλλον ἐνισχυόντων, δυσκολίαν τὸ πρᾶγμα λαβὸν ὅμως τελεσθήσεται· τῶν δὲ ἀγαθῶν ἀτονησάντων καὶ τῶν κακοποιῶν ἰσχυσάντων τὸ ἐλπιζόμενον προσδοκηθὲν ἀνατραπήσεται· ὧν δ' ἂν ἡ ἐπίσκεψις ἀπᾴδῃ τῶν προειρημένων, ἄπρακτον τὸ ἐρωτηθὲν ἔσται, ἢ οὐ τοῦτο ἕτερον δὲ τελεσθήσεται.

Καὶ τὰ ὅρια δὲ ὡς τοὺς δεσπότας αὐτῶν προσήκει λαμβάνειν καὶ συγκρίνοντας οὕτω συνεπιλογίζεσθαι, οἷον — ἐφ' ἑνὸς γὰρ τὸ συνέχον εἰρήσθω — τροπικῶν μὲν ζῳδίων τὴν ἐπίσκεψιν ἐχόντων τροπὴ ἔσται, ἀλλ' ἐν μὲν Κρόνου ὁρίοις βραδέως, Διὸς δὲ ἢ Ἑρμοῦ μετ' ὀλίγον, Ἄρεως δὲ ἀπροσδοκήτως ἢ αἰφνιδίως, Ἀφροδίτης δὲ μετὰ ἀθυμίας· καὶ εἰ μὲν οἱ δεσπόται ἐν στερεοῖς εἶεν ἢ ὁρίοις ἢ ζῳδίοις ἢ στηρίζοιεν, τῇ βραδυτῆτι ἁρμόζει, εἰ δὲ ἐν τροπικοῖς ἢ μὴ στηρίζοιεν τῇ ταχυτῆτι.

Ὑπὸ τίνων δὲ προσώπων τραπήσεται, τὰ πρόσωπα τῶν ἀστέρων ἃ σημαίνουσιν δείξει· οἷον, εἰ Κρόνου εἴη, ὑπὸ γερόντων ἢ χρόνῳ τραπήσεται, εἰ δὲ Ἀφροδίτης, ὑπὸ γυναικὸς ἢ πόλεως ἢ ἐρωτικῆς διαθέσεως ἢ ὧν <ἂν> σημαίνῃ, καὶ ἐπὶ τῶν λοιπῶν ἀστέρων ὡσαύτως τὴν τροπὴν κατανοητέον. πάλιν ἐὰν οἱ τὴν τροπὴν σημαίνοντες ἐν ταῖς ἐκλειπτικαῖς εἶεν, κοσμικὰς τὰς περιστάσεις, δι' ὧν τραπήσεται, σημαίνουσιν. ἐκλείψεως δὲ γενομένης, ἀφανοῦς μὲν ἀφανῶς καὶ λεληθότως ἡ τροπὴ ἔσται, φανερᾶς δὲ φανερῶς· καὶ Ἀφροδίτης μὲν καὶ Διὸς ἐπιθεωρούντων, εὐεργεσίαις καὶ χάρισιν ἡ τροπὴ ἔσται, Ἑρμοῦ δὲ ὑπηρεσίαις ἢ διά τι χρήσιμον, Ἄρεως δὲ διὰ φόβον, Κρόνου δὲ δι' ἐπιτροπὴν ἢ γεωργίαν, πάλιν Ἑρμοῦ καὶ Ἄρεως τραπήσεται ἢ πλαστογραφίαις ἢ δίκαις, Διὸς <δὲ> καὶ Ἄρεως ἀνδραγαθίαις, Κρόνου δὲ καὶ Ἑρμοῦ ὑπηρεσίαις· Ἡλίου δὲ ἐκλείποντος, διὰ μεγάλου προσώπου ἀφανισμόν, Σελήνης δέ, διὰ κοινὸν πάθος ἢ διὰ γυναικὸς ἀπώλειαν ἡ τροπὴ γίνεται· πάλιν τετραγωνίζοντες ἐπὶ μὲν τῶν κέντρων, κοινῶς μὲν ταχέως τὰ δηλούμενα ἀνύσουσιν, ἰδίως δὲ ἐπὶ μὲν τῶν ἄνω κέντρων ἐνδόξως, ἐπὶ δὲ τῶν ἑτέρων ἀδόξως καὶ ἀνεπιφάντως· εἰ δὲ τὸ μὲν εἴη τῶν ἄνω κέντρων, τὸ δὲ τῶν κάτω, μέσως· καὶ τροπικῶν μὲν ὄντων τῶν κέντρων, δημοσίᾳ καὶ σὺν πολλοῖς καὶ ταχέως, στερεῶν δὲ σὺν μόχθῳ μὲν ὀλίγῳ, βεβαίως δὲ καὶ ἰδίᾳ, δισώμων δὲ ἀμφιβόλως καὶ μεθ' ὑπερθέσεως καὶ παλιγγραφίας ἢ παλιγκρισίας· διὰ δὲ τὸ κέντρον, οὐ πολὺ βραδέως· ἐπὶ δὲ τῶν ἀναφορῶν τὴν ἐρώτησιν ἤγουν τὸν

6 λαβὼν cod. 8 ἀπαίδη, in marg. ἀπάδει cod., corr. Bassi. 15 An εὐθυμίας? 20 πόλεως vix sanum. 29 δὲ suppl. 35 κάτω corr. Boll.: ἄνω codd. 38 παλιγραφίας ἢ παλιγηρισίας cod. 39 πολὺ cod.: πάνυ coni. Kroll.

δηλοῦντα τὴν φύσιν τοῦ ἐρωτήματος ἀστέρα τετραγωνίζοντες, ἀνυτικοὶ μὲν ὄντες, καὶ [f. 122v] βεβαίως μετ' ὀλίγον ἀνύσουσιν, ἀνήνυτοι δέ, οὐδ' ὅλως· καὶ τροπικοῖς μὲν ἐφεστῶτες ἀφαιρήσουσι τῆς βραδυτῆτος, στερεοῖς δὲ προσθήσουσιν· ἐπὶ δισώμων δ' ὄντες τὸ μὲν ταχέως, τὸ δὲ βραδέως ἀνύσουσι· προσώπων δὲ ἢ χρόνων παρενθέσει βραδυτὴς ἢ παρολκὴ ἔσται.

Ὅταν δ' ἀποκλίναντες τετραγωνίζωσι τὸ ζητούμενον, περὶ μὲν δούλων ἢ ἐχθρῶν ἢ ἐμπόρων ἢ ἀποδημίας ὄντος τοῦ ἐρωτήματος, *** τῶν ζῳδίων φανεροποιηθήσονται καὶ ἡ κατὰ αἵρεσιν ἢ μαρτυρίαν ἐπέμβασις τῶν τοῦ ταπεινώματος † ὑμῖν πρὸς τοὺς οἴκους ἐναντιώσεων μὴ καλῶς θεωρουμένων. ἀπὸ μὲν οὖν ἰδίων εἰς ἴδια ἐρχόμενοι οὐ κρατηθήσονται· κἂν μὲν ἐλθόντες στηρίζωσι τὸν πρῶτον στηριγμόν, ἐπιμενοῦσι τοῖς τόποις εἰς οὓς ἔρχονται· ἐὰν δὲ πρὶν τὸν δεύτερον στηριγμὸν ποιῆσαι ἀναποδίζωσιν, ὅπερ μάλιστα ἐπὶ Ἑρμοῦ καὶ Ἀφροδίτης συμβαίνει, ἐλθόντες παλινδρομήσουσιν· εἰ δὲ μέχρι τῶν διαλειμμάτων γενόμενοι ἀναποδίσαιεν, τουτέστι τῆς μεταξύτητος τῶν ζῳδίων ἐντὸς γενόμενοι, <ἀπὸ> τῶν προσδοκωμένων τόπων ἐπανήξουσιν.

Τὴν δὲ αἰτίαν ἀπὸ τῶν τετραγωνιζόντων ἢ διαμηκιζόντων τοὺς ζητουμένους τόπους ληψόμεθα, ὡς ἐν τῷ κατ' εἶδος δεδήλωται· καὶ ὁποῖαι δ' αὐτοῖς αἱ ἀποδημίαι ἔσονται, ἐξ αὐτῶν τούτων τῶν τετραγωνιζόντων ἢ διαμηκιζόντων ὀψόμεθα. πάλιν στηρίζοντες μὲν εἰς ὃ ἀνεπόδισαν, καθέξουσιν ἐπὶ πολύ, μὴ στηρίζοντες δέ, οὐχ οὕτως· οὐκ ἄθετοι δὲ πρὸς τὰς τῶν ἀποδημούντων ἀνακομιδὰς οἱ ἀπὸ τῶν ὑπὲρ τῶν ἀποκλιμάτων ἰδίων ὄντων ἐπὶ τὰ κέντρα <ἐπεμβαίνοντες> ὅταν ἐντὸς ὅρων ἢ ἐντὸς τῆς ἐπαρχίας ἡ ἀποδημία τυγχάνῃ. ἀγγελτικῶν δ' ὄντων ζῳδίων εἰς ἃ ἔρχονται ἢ τῶν ἀκουόντων καὶ πρὶν ἢ τὸ κέντρον ἐπεμβῆναι αὐτοῖς Ἑρμοῦ πρώτως σχηματισθέντος, ἀγγελθήσεταί τι περὶ τῶν ἀποδήμων ἢ ἀκουσθήσεται. ἔτι οἱ προειρημένοι ἀστέρες, ἐὰν μεθ' ἑτέρου τινὸς ἐπὶ τῶν τόπων καὶ ζῳδίων εἰς ἅπερ εἰσῆλθον τύχωσιν, εἰς ὅρια δὲ αὐτῶν τουτέστι τῶν ἐπεμβάντων, ξένους ἐπὶ τῆς ἑαυτῶν καταλήψονται, καὶ εἰ μὲν κατὰ αἵρεσιν ἢ συμμετέχοντες, φίλους καὶ οἰκείους, εἰ δὲ παρ' αἵρεσιν ἢ <μὴ> συμμετέχοντες, οὐ φίλους ἢ ἀλλοτρίους· οἱ δὲ συμμετέχοντές εἰσιν οὗτοι· ἡ ιβ' τοῦ Κριοῦ μοῖρα ὑπό τε Ἄρεως καὶ Ἀφροδίτης μετέχεται, ἡ δὲ τῶν Διδύμων μοῖρα ι' ὑπό τε Ἑρμοῦ διὰ τὸν οἶκον καὶ ὑπὸ Διὸς διὰ τὸ ὅριον καὶ ὑπὸ Κρόνου διὰ τὸ τρίγωνον, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· εἰ δὲ μετέχοντας μέν, ἀνθαιρετιστὰς [f. 123] δὲ ἢ παρ' αἵρεσιν, οὐ φίλους μὲν καταλήψονται, οἰκείους δὲ ἢ κοινωνούς· εἰ δὲ ἀλλοτρίους τῶν ζῳδίων συναιρετιστὰς δὲ ἢ κατὰ αἵρεσιν,

7 τετραγωνίζουσι cod. 8 ἀποδημίαν ὄντες cod. Post ἐρωτήματος lacun. sign. Kroll. 10 ὑμῖν non capio. 12 ἐπιμένουσι cod.; corr. Parmentier. 15 πάλιν δρομήσουσι cod. 17 ἀπὸ suppl. Kroll. 22 καθέζουσιν cod. οὐκ κάθεδοι cod. 24 ἐπεμβαίνοντες suppl. Boll. ὁρῶν cod. ἰδίων ὄντων non capio. 25 ἢ ἀποδημίας cod.; corr. Boll. 32 μὴ suppl. 34 μετέχηται cod. 36 αὐταιρετιστὰς cod.

ξένους μέν, φίλους δὲ καὶ ἐπωφελεῖς καταλήψονται, καὶ Ἄρεως μὲν ὄντος στρατιωτικούς, Διὸς δὲ ἀρχοντικούς, καὶ ἐπὶ τῶν ἄλλων ἀστέρων, καθὼς προείρηται, τὸ οἰκεῖον πρόσωπον δηλωθήσεται· εἰ δὲ β' ἀστέρες τῶν ζῳδίων ἐπεμβαίνουσιν, οὐχ εἷς ἔσται ὁ ἐρχόμενος· εἰ δὲ καὶ πλείους εἶεν τῶν β', πρὸς τὸ πλῆθος καὶ τοὺς ἥξοντας λογισόμεθα· κἂν τὰ ζῴδια δὲ δίσωμα ἢ διφυῆ τυγχάνῃ, κἂν μαρτυρῆται ὑπὸ πολλῶν, οἰκείως τὸ αὐτὸ ἔσται· τὸ δὲ πῶς πράξοντες ἥξουσιν, ἀφ' ὧν σημαίνει ἕκαστος δηλωθήσεται.

Ἐν τούτοις δὲ δεῖ τοῦτο κοινῶς εἰδέναι, ὅτι μετὰ τὸ κατάρξασθαί τινος ἔργου, ἐὰν συμβῇ τινα ἀστέρα ἀπὸ ζῳδίου εἰς ζῴδιον μετελθεῖν, ἀλλοιοῦται ἡ καταρχή, οἷον ἐπὶ πολέμου, ἐὰν Διὸς ὄντος ἐν Καρκίνῳ, Ἄρεως ἐν Λέοντι, τοῦ δὲ ὡροσκόπου ἐν Ἰχθύσι, εἶτα μεταξὺ ὁ Ἄρης εἰσελθὼν ἐν Τοξότῃ βλάψῃ τὴν καταρχήν, τόν τε ὡροσκόπον κακώσει τετραγωνίζων καὶ ὁ κύριος τῆς πράξεως τὸν τοῦ Διὸς ἀστέρα ἀποστραφείς. F. C.

12 ὁ δὲ ὡροσκόπος cod. 13 βλάψαι cod.

Astrologus anni 379 p. C. n.

Huius astrologi versus quosdam olim edidimus (*Catal.*, I, p. 80, 113 ss.) sed tota capita a Palcho servata nunc repetere visum est, ut de scriptoris ignoti indole iudicium tutius fieri possit. Utilissima enim sunt ampla illa excerpta non solum ad doctrinam de stellis cum signis zodiaci consurgentibus cognoscendam sed etiam ad modum quo astrologia cum fabulis deorum connexa sit, recte aestimandum. Adde quod auctoritas eius apud posteros plurimum valuit, ita ut sententiae eius decurtatae quidem et retractatae in libris Arabum Byzantinorumque passim reperiantur.

Nonnulla de patria vitaque sua scriptor ipse prodit: Aegyptius erat (p. 204, 18, τῶν ἡμετέρων δὲ πρόγονοι τῶν Αἰγυπτίων) et Aegyptiacam certe doctrinam plerumque refert, nam et Hermetis Trismegisti „Iatromathematica" laudat (p. 209, n. 1) et deos Aegyptios Serapim, Anubin, Isim (p. 199, 18; 210, 6; 211, 1) inter paucissimos nomine commemorat (cf. etiam p. 208, n. 2; p. 211, n. 7); sed Romae librum suum composuit (p. 204, 8) anno 379 p. C. n. (p. 198, 4) quo tempore deorum cultus nondum exstinctus erat (p. 199, 18 s.).

Praecipue apud eum valet auctoritas „divini" Ptolemaei. Eius methodis usus positus stellarum computat (p. 197, 24; 198, 7; 204, 9), et plurima e. g. ex capite Tetrabibli (III, 16) Περὶ ποιότητος ψυχῆς, ubi effectus planetarum singulorum binorumque indicantur, paucis mutatis descripsit (p. 198, 22 ss. etc.; cf. p. 208, n. 1). Sed alterum simul fontem adhibuit nobis quidem ignotum.

Ad unum eundemque librum tria quae edimus capita pertinere cum ex argumento tum ex sermone eorum elucet. Praeterea longitudines stellarum quae in fine tertii praebentur, sicut et in primo et in secundo (ubi quaedam corruptae sunt) ad annum 379 computatae sunt, quo omnis dubitatio tollitur. Alia fortasse eiusdem auctoris excerpta libros astrologicos evolvendo alii invenient. Capita Palchi ρλζ', Περὶ συναφῶν τῆς Σελήνης, et sqq. fortasse cum prioribus coniungenda sunt, et saepe, e. g. in cod. Venet. 7, f. 102ʳ ss., plura excerpta περὶ σινῶν καὶ παθῶν[1] occurrunt.

Nomen illius astrologi Aegyptii anni 379 in codicibus omissum est. De Paulo Alexandrino cogitavi qui ipso anno 378 Introductionem suam scripsit[2], sed hanc coniecturam validioribus argumentis corroborandam esse fateor ut viris doctis probetur (cf. p. 199, n. 1). Obstare videtur quod Paulus semper aera quae dicitur Diocletiani utitur, cum contra in hoc fragmento annus 379 consulibus Romanis notetur. Exeunte saeculo quarto studia astrologica Alexandriae refloruerunt[3], et

[1] Has sane quaestiones omnes fere astrologi agitaverunt velut Ptolemaeus, *Tetrab.*, III, 15; Hephaestio, II, 13; II, 16, etc.

[2] Fabricius-Harless, *Bibl. graeca*, IV, p. 140.

[3] Cf. Ammian. Marc., XXII, 16, 17: „Alexandriae recalet apud quosdam, adhuc licet raros, consideratio mundani motus et siderum, doctique sunt numeros haud pauci, super his scientiam callent quae fatorum vias ostendit."

complures ibidem edocti mathematici ad Italos migrare potuerunt ut artem suam in urbe regia exercerent.

***

Inter auctores qui scriptore anni 379 usi sunt, post Palchum primus est tempore Theophilus Edessenus, astrologus Chaliphae Almahdi, qui Bagdadae anno 785 p. C. obiit [1]. Longitudines stellarum mutavit ut ad aetatem suam quadrarent, et ex numeris quos praebent codices, licet non ubique sani sint, apparet tamen eum anno circiter 768 p. C. librum suum scripsisse. De modo quo exemplari suo usus sit, infra (p. 213) nonnulla adnotabuntur.

Per Palchum vel Theophilum scriptor ἀνώνυμος anni 379 saeculo IX Apomasari innotuisse videtur, ut supra diximus (p. 169, n. 1). Plura eiusdem doctrinae vestigia apud Arabicos astrologos sine dubio detegi potuissent, nisi eorum aditus adhuc quasi interclusus esset.

Multo maioris momenti ad textum veteris auctoris constituendum sunt " Excerpta Parisina " quae anno χ' Diocletiani, i. e. 884 p. C., homo quidam Byzantinus in sylloge astrologica inseruit sub titulo Περὶ τῆς τῶν ἀπλανῶν ἀστέρων δυνάμεως. Aetas qua scripsit certissima est, et quia annum ipse affert et quod longitudinibus Ptolemaei ubique 7° 30′ addidit, unde eum circa annos 750 post Ptolemaeum vixisse apparet [2].

At excerptor ille saeculi IX fragmenta astrologi anni 379 Iuliano adscribit (p. 219, 5), unde olim dubitanter quidem coniecimus (*Catal.*, IV, p. 100-102), auctorem ἀνώνυμον Iulianum Laodicensem esse, sed cum nunc constet hunc saeculo V exeunte floruisse, sententiam nostram mutare coacti sumus [3]. Aut nebulo quidam sequioris aevi Iulianum cum alio scriptore illustri, fortasse cum Paulo Alexandrino, (v. supra) confudit; aut capita anni 379 περὶ ἀπλανῶν ἀστέρων primum saeculo V a Iuliano exscripta sunt, postea ineunte VI eadem Palchus repetiit, denique saeculo IX excerptor illa in usum suum convertit. Hoc ideo verisimilius videtur, quod simul cum fragmentis anni 379, unum certe anno 488, i. e. tempore Iuliani, conscriptum traditur (cf. infra p. 219).

Qui Byzantinorum more sententias interdum mutavit vel decurtavit (cf. p. 218) sed plerumque exemplar tam fideliter expressit ut vel ad verba codicis Angelici sananda opportunissimum nobis auxilium praebeat.

***

Ad caput primum Ἀποτελέσματα - ἐποχῆς codicis Angelici apographo usi sumus quod annos abhinc septem comiter nobis misit v. d. Cerocchius Romanus. Sed cum

---

[1] Cf. quae infra (p. 229) ad prooemia Theophili praefati sumus.

[2] Στάχυς : Byz. ♎ 4° 10′ = Ptolem. ♍ 26° 40′; Λύρας λαμπρός : Byz. ♐ 24° [legendum 24° 50′] = Ptolem. ♐ 17° 20′; Μέγας Ἰχθύς : Byz. ♒ 14° 30′ = Ptolem. ♒ 7°; Ὄρνις λαμπρός : ♒ 16° 40′ = Ptolem. 9° 10′; Βόρειος Στέφανος : Byz. ♎ 22° 10′ = Ptolem. 14° 10′.

[3] Cf. Cumont et Stroobant, *La date où vivait l'astrologue Julien de Laodicée* (Bullet. Acad. Belgique, 1903, 554 ss., 572).

pleraque folia in hoc codice a manu recentiore suppleta sint (cf. infra ad v. 16), codicem Ambrosianum B 38 sup. (cf. *Catal. Mediol.* n° 8) contulimus, qui saepe hoc quidem loco Angelico est correctior, quippe qui antequam folia nunc deperdita perirent, exaratus sit. Capita II, περὶ ἐμπαθῶν τόπων, et III, περὶ σινοποιῶν μοιρῶν, Romae descripsimus et Mediolani collegimus. Praeterea ad cap. III alterum apographum Angelici nobis praesto fuit, quod humanissimus iuvenis Daniel Serruys liberaliter nobiscum communicavit.

F. 136ᵛ. ρλε΄. Ἀποτελέσματα τῆς τῶν ἀπλανῶν ἀστέρων ἐποχῆς.

Ἐὰν οὖν εὕρῃς ἐπὶ γενέσεως τὴν Σελήνην παραβάλλουσαν ἑνὶ τῶν λαμπρῶν καὶ ἐπισήμων ἀστέρων, τουτέστι περὶ τὰς ἰσομοιρίας αὐτῶν οὖσαν, καὶ μάλιστα ἐὰν κατὰ τὸν ἄνεμον τὸν αὐτὸν τρέχῃ ἡ Σελήνη ὅνπερ καὶ ὁ λαμπρὸς ἀστήρ, ὃς σύνεγγύς ἐστι τῶν μοιρῶν αὐτῆς [τῆς Σελήνης], μεγάλας καὶ λαμπρὰς καὶ ἐπιφανεστάτας καὶ εὐπόρους ποιοῦσι· τὰς γενέσεις. ὁμοίως καὶ ἐὰν ὡροσκοπῇ τις τῶν λαμπρῶν ἀστέρων ἢ ἀνατέλλῃ κατὰ τὴν γεννητικὴν ὥραν ἢ πάλιν κατὰ κάθετον ἐν τῷ μεσουρανήματι ἢ καὶ ἐπὶ τῶν ἄλλων κέντρων εὑρεθῇ, ἐνδόξους καὶ πρακτικοὺς καὶ ἀρχικοὺς καὶ πολυπράκτους καὶ πολυκτήμονας ἀποτελεῖ καὶ πόλεσιν ἢ χώραις γνωστοὺς ἢ φοβερούς, καὶ μάλιστα ἐν ἐκείναις ταῖς χώραις δοξάζονται οἱ γεννώμενοι ἐν αἷς καὶ ἐπίκεινται ἤτοι παρανατέλλουσιν οἱ λαμπροὶ τῶν ἀστέρων, ὅτε τις γεννᾶται, καθὼς ὑποτέτακται ἐν τῷ πίνακι· ὡροσκοποῦντες οὖν ἢ μεσουρανοῦντες σχεδὸν ἀπὸ μὲν νέας ἡλικίας καὶ ἐν ταῖς ἰδίαις πόλεσιν τὰς εὐτυχίας παρέχονται· ἐὰν δὲ ἐν τῷ δυτικῷ κέντρῳ εὑρεθῇ τις τῶν ἀστέρων τῶν λαμπρῶν κατὰ τὴν γεννητικὴν ὥραν, ἐπὶ τῆς ξένης μάλιστα καὶ περὶ τὴν μέσην ἡλικίαν τὴν εὐδαιμονίαν ἀποτελεῖ, καὶ γάμον λαμπρὸν καὶ πλουσίων δίδωσι κληρονομίας διαφόρους διὰ προφάσεων μᾶλλον γυναικείων προσώπων· ἐὰν δὲ ἐν τῷ ὑπογείῳ κέντρῳ εὑρεθῇ τις τῶν λαμπρῶν ἀστέρων κατὰ τὴν ἀποκυητικὴν ὥραν, ἐπὶ τοῦ γήρως τὰς εὐτυχίας καὶ τὰς εὐδαιμονίας παρέχεται τῷ γεννωμένῳ, καὶ ἀπὸ παρακαταθηκῶν μεγάλων εὐτυχοῦσιν — ὁ γὰρ τόπος ἀφανής ἐστι —, καὶ οἱ θάνατοι δὲ αὐτῶν ἐπίσημοι καὶ πολύγνωστοι γίνονται· ἀπὸ γὰρ τούτου τοῦ τόπου καὶ τὴν μετὰ θάνατον γένεσιν τοῦ σώματος καταλαμβανόμεθα· καὶ ταῦτα μὲν εἰς τὸ περὶ τύχης ἀξιω-

1 ἀποτελέσματα M(ediolanensis) et in tabula codicis A(ngelici) : τελέσματα in textu A. 3 οὖν omis. M. εὑρὼν A. γενέσει A. 6-7 τῆς Σελήνης seclusi. 9 ἀνατελλείη M. 11 καὶ πρακτικοὺς omis. A. 15 πίνακι] cf. infra p. 197, 26. 16 Verbo νέας f. 136ᵛ in A et prioris manus scriptura desinunt; ff. 137-148 ab altero librario, qui saec. XV chartas exesas transcripsisse videtur, exarata sunt. 17 ἐάν τε codd.; cf. 21. 19 καὶ omis. M. 20 κληρονομίαν A; cf. infra p. 203, 22 s. 22 ἀποκυκτικὴν (sic) A. 23 γήρους M. 23-24 γενωμένῳ A. 24 παραθητικῶν A. 26 γένεσιν (sic) M. (supra: τῖ μὴ) Legendum τιμήν?

ματικῆς εἴπομεν· καθόλου μὲν γὰρ πάντων ἀνθρώπων ὁ ἐν ἀνατολῇ λαμπροῦ ἀστέρος γεννηθεὶς ἢ καὶ ἐπικέντρου τινὸς ὄντος καὶ τῆς Σελήνης παραβαλλούσης, ὡς προείπομεν, ἑνί τινι τῶν λαμπρῶν καὶ ἐπισήμων ἀστέρων κατὰ τὴν ἀποκυητικὴν ὥραν, λαμπρὸν καὶ περίβλεπτον βίον ἕξει.

Μεγίστης δὲ οὔσης καὶ θαυμασιωτάτης καὶ πολυτρόπου τῆς φυσικῆς αὐτῶν ἐνεργείας καὶ τῆς παρὰ τῶν τόπων ἀποτελουμένης διαφορᾶς, ἀναγκαίως ἐκτιθέμεθα τὰς τετηρημένας ἀπὸ τῶν προγενεστέρων ἐπ' αὐτῶν ἰδιοκρασίας· καθ' ἣν γὰρ ἕκαστος ἀστὴρ τῶν ἀπλανῶν ἔχει συνοικείωσιν πρὸς τοὺς πλάνητας καὶ πρὸς τὴν ὁμοιότροπον αὐτῶν κρᾶσιν, τὰ αὐτὰ καὶ δύναται καὶ ἀποτελεῖ ἕκαστος τοῖς πλανήταις, καθὼς φησι καὶ αὐτὸς ὁ συγγραφεύς[1]· οὐ μόνον γὰρ τὴν τῶν ε' ἀστέρων καὶ Ἡλίου καὶ Σελήνης μῖξιν πρὸς ἀλλήλους δεῖ σκοπεῖν, ἀλλὰ καὶ πρὸς τοὺς τῆς αὐτῆς φύσεως κεκοινωνηκότας τῶν ἀπλανῶν κατὰ τὰς τετηρημένας καὶ ἀποδεδειγμένας αὐτῶν καὶ ἐπιγεγραμμένας ἐν τῷ πίνακι συνοικειώσεις πρὸς τοὺς πλάνητας, καθάπερ τῶν ποιοτήτων αὐτῶν τὰ αὐτὰ δυναμένων καὶ ἀποτελουσῶν. ταύτην δὲ τὴν ἀνάγνωσιν εὕρομεν καὶ παρ' ἄλλοις ὀλίγοις παντάπασι τῶν ἀρχαίων τὴν περὶ τῶν ἀπλανῶν ἀστέρων, μάλιστα δὲ παρὰ τοῖς φιλοσοφήσασι περὶ τοῦτο τὸ μέρος τῆς προγνώσεως καὶ περὶ τὴν θειοτάτην τῶν ἀριθμῶν ἐπιστήμην. οἵτινες τῶν παλαιῶν σποράδην μᾶλλον καὶ δυσερμηνεύτως ἐξέθεντο τὴν τῶν φαινομένων γνῶσιν καὶ ποιότητα, ἡμεῖς δὲ μνήμην † ἑαυτοῖς βουλόμενοι καταλιπεῖν τοῖς ἀξίοις τῶν ἀστέρων μετηγάγομεν ἐκ τοῦ ἀστρονομουμένου ὅσα χρήσιμα ἐξέθετο ὁ Πτολεμαῖος τῇ ἀστρονομικῇ τέχνῃ, καὶ ἐφιλοκαλέσαμεν καὶ διετυπώσαμεν πρῶτοι καινοτέραν καὶ εὐεπίγνωστον διαγραφὴν πίνακος, πᾶσαν σοφίαν καὶ γνῶσιν τῶν οὐρανίων <δεικνύντος> οὕτως· ***

1 καθόλων A. 2 λαμπρὸς ἀστὴρ γεννηθῇ A. ἐπὶ κέντρου A. 3 ἑνὶ corr. Kroll. : ἓν codd. 7 περὶ codd. : corr. Kroll. τὸν τόπον M. 9 αὐτὴν codd. : corr. Kroll. ἰδιοπραγίας (σ superscr. γ) M : ἰδιοπρασίαν A : corr., cf. v. 6. 11 ἃ ἕκαστος coni. Kroll. τοῖς πλανήταις " eadem atque planetae „ corr. : τῶν πλανήτων codd. 12 συγγραφεύς M : συφεύς A cum tribus punctis, quod in hoc codice signum est lectionis dubiae. 16-17 τῶν αὐτῶν ποιοτήτ. coni. Kroll. 17 τὰ αὐτὰ M : ταῦτα A. 19 τοῦτο] o in ras. A. 19-20 τῷ μέρει A. 20 θεοτάτην M; corr. θεότητα (cum tribus punctis) ἀριθμῶν (μ superscr.) ἐπιστήμων A. 21 μᾶλλον δὲ M. δυσερμηνεύτου A : δυσερμήνευτον M; corr. 22 Malim διάγνωσιν. δὲ omis M. ἑαυτοῖς pro ἡμῖν αὐτοῖς dictum esse censebat Kroll (e. g. cf. Marquardt, *Praef. Galeni*, I, p. XLIV). Sed sententia aliud postulare videtur. 23-24 ἀστρονόμου μόνου A. At cf. p. 205, 18. 27 δεικνύντος suppl. Post οὕτως sequebatur olim tabula quae nunc desideratur.

[1] Fortasse Ptolemaeus ; cf. *Tetrab.*, I, 9. At cf. Vettium Valentem, l. II, c. 11 (Περὶ χρόνων ἐμπράκτων) : ὁμοίως καὶ ὁ συγγραφεὺς ἔφη, et l. IV, c. 31 (f. 78ʳ, cod. Hamb.): καὶ κατὰ τὸν συγγραφέα· οὐ γὰρ πάντες ἄνθρωποι... ubi " scriptor „ Hermes Trismegistus esse videtur. Nam Thot, litterarum inventor, primus libros composuisse fertur.

῞Ινα δὲ μὴ πολυλογίᾳ χρησάμενοι δόξωμεν τὴν τοῦ πίνακος σαφήνειαν ἀμαυροῦν, ἀρξώμεθα λοιπὸν ἀποτελεῖν περὶ τῆς ἑκάστου τῶν ἀπλανῶν ἀστέρων ποιητικῆς δυνάμεως, ἐπιγράψαντες ἐν τῷ πίνακι καὶ πόσην μοῖραν ἕκαστος αὐτῶν ἐπέχει κατὰ μῆκος ὑπατείᾳ δὴ Ὀλυμβρίου καί Αὐσονίου — διὰ τὸ κινεῖσθαι τοὺς ἀπλανεῖς ἐν ἔτεσιν ρ' μοῖραν α' εἰς τὰ ἑπόμενα τῶν τροπικῶν σημείων, καθὼς ὁ θειότατος Πτολεμαῖος ὑπέδειξεν —, ἐν ᾧ χρόνῳ καὶ ἡμεῖς συνετάξαμεν τήνδε τὴν βίβλον· καὶ ποίας κράσεώς ἐστιν ἕκαστος αὐτῶν, καὶ ποῖον πλάτος ἤτοι ἄνεμον ἐπέχει, πάντοτε ἐξεθέμεθα κατὰ τὴν αὐτοῦ παράδοσιν διὰ τὸ μηδὲν παραλιπεῖν ἡμᾶς τῆς τοῦ πίνακος διδασκαλίας· λοιπὸν δὲ ἀρξώμεθα τῆς τοῦ πίνακος ὑφηγήσεως.

῞Οσοι τοίνυν τῶν ἀνθρώπων γεννῶνται ἀνατέλλοντος τοῦ Στάχυος, τοῦ ἐπὶ τῆς ἀριστερᾶς χειρὸς τῆς Παρθένου λαμπροῦ ἀστέρος, ὅστις ἐστὶν ἐπὶ τῆς κθ' μοίρας τῆς Παρθένου ἐν αὐτῷ τῷ ζῳδιακῷ, ἢ πάλιν ὡροσκοποῦντος τοῦ λαμπροῦ τῆς Λύρας ὃς παρανατέλλει τῇ κ' μοίρᾳ τοῦ Τοξότου ἢ ὁμοίως ἀνατέλλοντος τοῦ ἐπὶ τοῦ στόματος τοῦ μεγάλου Ἰχθύος τοῦ ἐν τῷ νοτίῳ μέρει, ὃς παρανατέλλει τῇ ι' μοίρᾳ τοῦ Ὑδροχόου, ἢ πάλιν ὁ λαμπρὸς τοῦ Ὄρνιθος ἐὰν ὡροσκοπῇ, ὃς παρανατέλλει τῇ ιβ' μοίρᾳ τοῦ Λέοντος, ἢ ὁ λαμπρὸς τοῦ βορείου Στεφάνου, ὃς παρανατέλλει τῇ ις' μοίρᾳ τοῦ Ζυγοῦ, ἕκαστος αὐτῶν κράσεως ὢν τῆς Ἀφροδίτης καὶ τῆς τοῦ Ἑρμοῦ, εἰ ὡρονομῶν τύχῃ, ποιεῖ τοὺς οὕτω γεννωμένους οὐ μόνον περιφανεῖς καὶ εὐπόρους καὶ ἐνδόξους ἀλλὰ καὶ πολυμαθεῖς καὶ ἐμφιλοσόφους καὶ λογίους καὶ ποιητικοὺς καὶ ἐπιστήμονας καὶ εὐφυεῖς καὶ φιλομούσους καὶ φιλοτέχνους καὶ χρηστοήθεις καὶ ἀπολαυστικοὺς καὶ τρυφεροδιαίτους καὶ εὐφροσύνους, συνετούς τε καὶ διανοητικούς, εὐεπιβόλους καὶ κατορθωτικοὺς καὶ σχεδὸν αὐτοδιδάκτους καὶ καθόλου διὰ λόγων ἀρετὴν ἤτοι φρόνησιν δοξαζομένους, ζηλωτὰς τῶν ἀρετῶν, εὐστόμους, ἐπιχαρεῖς τῷ λόγῳ, ἐρασμίους καὶ εὐαρμόστους τοῖς ἤθεσι, σπουδαίους, κριτικούς, μεγαλόφρονας, ἐνίοτε δὲ καὶ πολυκοίνους καὶ εὐκινήτους περὶ τὰ ἀφροδίσια, ἐάνπερ καὶ ὁ Ἄρης ἀνατολικὸς ὢν ὑπὲρ γῆν ἐπιθεωρήσῃ ἕνα τούτων

1-2 σαφήνιας ἀμαυροῖς cum tribus punctis superscr. A. 2 ἀρξόμεθα A. 3 ποιοτικῆς A. 4 δὴ scripsi : δὲ codd. 4-5 ὀλυμβρίου (ρι in ras. A) καὶ αὐξονίου codd. Olymbrius pro Olybrius tunc iam dictitabatur, ut nunc Itali vulgo *Timberio* pro *Tiberio* enuntiant [Wünsch]. Consulatus Olybrii et Ausonii in laterculis anno 379 p. C. notatur; cf. Mommsen, *Chronica minora*, t. III, p. 523. 6 μοίρα A. 16 Τοξότου η' ἢ A. 16-17 μεγάλου ἤτοι νοτίου Ἰχθύος (sine ἐν - μέρει) M. 19 Λέοντος] Scribendum Ὑδροχόου. ὁ in ras. A. 20 ις'] Potius ιζ'. 21 καὶ ὡρονομῶν codd. 22-30 Cf. Ptol., *Tetrab.*, p. 166, 2 ss. (ed. 1553). 22 γενομένους A. 23-24 ἐπιστημονικοὺς Exc(erpta) Par(isina). 24 φιλοήθεις M sed χρηστο superscr. 26 τε omis. M. εὐεπηβούλους M : εὐεπιβούλους A; corr. ex Ptol. 28 τῶν ἀρίστων Ptol. 28-29 ἱερασμένους A : ἐρασμένους M . corr. ex Exc. Paris. et Ptol. 29 κριτηκούς A.

τῶν τόπων ὡρονομοῦντα· ἐὰν δὲ ἐπίκεντρος εἴη ὁ Ἄρης, καὶ πράγμασι περιπλέκονται γραπτῶν χάριν ἢ ἐπιθυμιῶν τινων, ἐὰν μάλιστα οὕτως ὄντος τοῦ Ἄρεως <Ἑρμῆς> ὡρονομήσῃ· ἐὰν δὲ ἐν τῷ ὑπὸ γῆν τόπῳ εὑρεθῶσιν ἥ τε Ἀφροδίτη καὶ ὁ Ἄρης ἑνὸς τούτων ὡρονομοῦντος, ἢ καὶ ἐν τῷ δυτικῷ κέντρῳ, ἐκ τῶν ἐναντίων σώφρονας ποιοῦσι καὶ θεοσεβεῖς ἢ ἐνεργεῖν μὴ δυναμένους ἐν τοῖς ἀφροδισίοις ἢ σπανοτέκνους ἢ θηλυγόνους· μεγάλη γὰρ διαφορὰ γίνεται ἐκ τῆς πρὸς τὰ κέντρα θέσεως τῆς Ἀφροδίτης καὶ τοῦ Ἄρεως.

Ἐὰν δὲ ὁ Κρόνος ἐπίδῃ τινὰ ἐξ αὐτῶν <τῶν> ε′ λαμπρῶν ἀστέρων ὡρονομοῦντα, ἰατρικῆς ἔμπειροι γίνονται καὶ προγνῶσται, ἀποκρύφων τε βιβλίων ἢ τελετῶν πολυΐστορες· ἐὰν δὲ Ζεὺς ἐπιθεωρήσῃ ὡρονομοῦντα ἕνα ὧν προεῖπον λαμπρῶν ε′ ἀστέρων, μείζονας τὰς εὐτυχίας καὶ τὰς δόξας καὶ τὰς ἀρχὰς ἢ καὶ ἡγεμονίας παρέχεται. καὶ ἐν αὐτοῖς δὲ τούτοις διαφορά τις τούτων συνοίσει· ὁ τοῦ Στάχυος ποιεῖ ἱεροφάντας, ἱερεῖς μεγαλοτίμους ἢ φιλοσόφους ἢ τελετῶν τινων προφήτας καὶ μάλιστα τοὺς περὶ τὴν Ἑλλάδα γεννωμένους· καὶ ἐπὶ θηλυκῶν δὲ γενέσεων οὗτος εὑρεθεὶς ποιεῖ ἱερείας Δήμητρος ἤτοι Μητρὸς θεῶν ἢ Κόρης ἢ Ἴσιδος[1] ἢ ἱεροφάντιδας ἢ μυστηρίων ἢ τελετῶν εἰδήμονας ἢ ἐδεσμάτων τινῶν ἀπεχομένας καὶ διὰ θεῶν μεγάλως βοηθουμένας· ἐὰν δὲ ὡροσκοπῇ ἢ μεσουρανῇ ὁ ἐπὶ τοῦ βορείου Στεφάνου λαμπρός, ποιεῖ ἐνδόξους, στεφανηφόρους, ἀρχιερεῖς, βασιλέων φίλους καὶ τὸ σῶμα ἰσχυροὺς καὶ ὀνομαστοὺς γινομένους καὶ παρὰ πολλῶν φιλουμένους. ἐὰν δὲ ὡροσκοπῇ ὁ ἐπὶ τοῦ νοτίου Ἰχθύος, σπανοτέκνους ποιεῖ ἢ βραδυτέκνους ἢ θηλυγόνους ἢ ἀτέκνους, λογίους δὲ μᾶλλον καὶ πάνυ εὐειδεῖς.

Καὶ πάλιν ἐάν τις γεννηθῇ ἀνατέλλοντος τοῦ ἐπὶ τῆς καρδίας τοῦ Λέοντος, ὅς ἐστιν ἐν αὐτῷ τῷ ζῳδιακῷ κύκλῳ ἐπὶ τῆς κ′ μοίρας τοῦ Λέοντος ἢ τοῦ Ἀρκτούρου ἢ τοῦ Ἀρκτοφύλακος ὡροσκοποῦντος, ὃς παρανατέλλει τῇ λ′ μοίρᾳ τῆς Παρθένου, ἢ παρανατέλλοντος τοῦ λαμπροῦ τοῦ Ἀετοῦ, ὃς παρανατέλλει τῇ ζ′ μοίρᾳ τοῦ Αἰγόκερω, ἢ

1 δὲ omis. M. 3 Ἑρμῆς suppl. Kroll. ὡρονομήσει A. 4 ἤτε codd. 7 πρὸ τὰ A. 9 ὁ omis. A. ἐξ omis. A. τῶν suppl. 10 προγνώσει A : προγνωστικοὶ M : corr. ex Exc. Par. 11 τε omis. A. πολυιστορεύς A. 14 διάφορα τινὰ codd.; corr.; διαφορὰν τινα συνήσεις coni. Kroll. τούτων omis. A. 16 ἑλάδα A. 17 οὕτως M. ποιεῖ omis. M. ἤτοι A : ἢ M. 19 τελεσμάτων codd. : ἐδεσμάτων corr.; cf. infra 202, 30. ἀπεχομένους codd. μεγάλους M : μεγάλων Exc. Paris. fors. recte. Dii magni Serapis et Isis dicuntur. 20 βοηθουμένους codd. 22 ὀνομαστόν A. καὶ (ante παρὰ) omis. A. 24 βραδυτέρους codd.; corr. ex Exc. Paris. Possis etiam βραδυτόκους. θυλυγόνους A. 27 ἐν τῷ αὐτῷ A. κα′ M : κ′ A. Legendum ε′. 28 ἢ ante τοῦ Ἀρκτούρου omis. M. 30 ὡς παραν. A.

[1] Spica Virginis caelestis sacerdotes facit dearum quae fructus terrae dant, et hominibus in Graecia natis favet quia Hellas atque Ionia Virgini subiacent secundum Pauli Alexandrini doctrinam; cf. Bouché-Leclercq, *Astrol. grecque*, p. 330.

πάλιν ἐὰν τεχθῇ τις ὡροσκοποῦντος τοῦ Ἀντάρεως, ὅς ἐστιν ἐν αὐτῷ τῷ ζῳδιακῷ ἐπὶ τῆς ιε' μοίρας τοῦ Σκορπίου, ἕκαστος αὐτῶν κράσεως ὢν τῆς τοῦ Διὸς καὶ τοῦ Ἄρεως, καὶ ὡρονομῶν ἤτοι ἀνατέλλων ἐπὶ τῆς ἀποκυητικῆς ὥρας ἢ καὶ μεσουρανῶν ποιεῖ τοὺς οὕτως ἔχοντας ἐνδόξους, στρατηγικούς, χώρας καὶ πόλεις καὶ ἔθνη ὑποτάσσοντας καὶ διοικοῦντας καὶ φοβεροὺς ἀνθρώπους καὶ ἡγεμόνας, στρατηλάτας, διοικητικούς, κεκινημένους, ἀνυποτάκτους, παρρησιαστικούς, φιλονείκους, ἀνυστικούς, εὐεπιβόλους, ἐπάνδρους, νικητικούς, ἐχθρῶν βλαπτικούς, πολυκτήμονας, καὶ ἄγαν πλουσίους, μεγαλοψύχους τε καὶ φιλοτίμους, οὐ πάντως δὲ καλῷ τέλει τελευτῶντας· γίνονται δὲ καὶ φιλόθηροι καὶ περὶ ἵππους καὶ τετράποδα μεγάλως φιλόκαλοι ἢ πολυκτήμονες.

Ὁμοίως δὲ πάλιν ἐάν τις γεννηθῇ ἀνατέλλοντος τοῦ λαμπροῦ τοῦ ἐν τῷ ἀριστερῷ ἀκρόποδι τοῦ Ὠρίωνος, ὃς παρανατέλλει τῇ κγ' μοίρᾳ τοῦ Ταύρου, ἢ τοῦ μέσου τῶν τριῶν τῆς ζώνης αὐτοῦ, ὃς παρανατέλλει τῇ λ' μοίρᾳ τοῦ Ταύρου, ἢ καὶ τοῦ ἐν τῷ δεξιῷ ὤμῳ τοῦ Ἡνιόχου, ὃς παρανατέλλει τῇ ε' μοίρᾳ τῶν Διδύμων, ἢ καὶ τοῦ κατὰ τὸ γόνυ τοῦ Τοξότου, ὅς ἐστιν ἐν αὐτῷ τῷ ζῳδιακῷ ἐπὶ τῆς ιθ' μοίρας τοῦ αὐτοῦ Τοξότου, ἢ καὶ τοῦ ἐν τῷ Γοργονείῳ τοῦ αὐτοῦ Περσέως λαμπροῦ, ὃς παρανατέλλει τῇ β' μοίρᾳ τοῦ Ταύρου, κράσεως ὄντες τῆς τοῦ Διὸς καὶ τοῦ Κρόνου καὶ ὡροσκοποῦντες, ὡς προείπομεν, ἐπὶ γενέσεως ποιοῦσι τοὺς οὕτως ἔχοντας πολυκτήμονας καὶ πλουσίους ἄγαν, εἰς διαφόρους χώρας καὶ πόλεις κτωμένους καὶ φιλογεώργους καὶ φιλοικοδόμους· εἰ δὲ καὶ Σελήνη ἐπιθεωρήσῃ ἕνα ὧν προείπομεν ἀστέρων λαμπρῶν ὡροσκοποῦντα ἢ μεσουρανοῦντα ἐν ἡμέρᾳ, τοῖς τρόποις ἀγαθοὺς καὶ τιμητικοὺς τῶν πρεσβυτέρων καθεστῶτας, καλογνώμονας, μεταδοτικούς, ἀνεξικάκους, ἐχέφρονας, φιλοικείους. ἰδίως δὲ πάλιν ὁ μὲν ἐπὶ τοῦ γόνατος τοῦ Τοξότου καὶ ὁ ἐπὶ τοῦ δεξιοῦ ὤμου τοῦ Ἡνιόχου ἀνατέλλοντες ἤτοι ὡροσκοποῦντες ἢ μεσουρανοῦντες κατὰ κάθετον, τετραπόδων ἢ καὶ ἡνιόχων ἐργάτας ἢ καὶ αὐτοὺς περὶ ἱππηλασίας ἢ καὶ ἡνιοχικὴν ἔχοντας.

Ἐὰν δέ τις τεχθῇ ἀνατέλλοντος τοῦ Κυνός, ὃς παρανατέλλει τῇ κ' μοίρᾳ τῶν Διδύμων, ἢ ὡροσκοποῦντος τοῦ ἐπὶ τῆς κεφαλῆς τοῦ ἑπομένου Διδύμου, ὅς ἐστιν ἐν τῷ ζῳδιακῷ ἐπὶ τῆς κθ' μοίρας αὐτῶν

1 ἐάν τ' ἔλθῃ A. 2 τῷ αὐτῷ codd. ἕκαστος αὐτῶν M : καὶ ὡρονομῶν A. 4 ss. Cf. Ptolem., *Tetrab.*, p. 161, 25 ss. (ed. 1553). 6 καὶ ἀνθρώπων ἡγεμόνας coni. Bidez. 6-7 στρατηλατῶν codd. 7-8 παρησιαστικούς, φιλοκίνους A. 8 εὐεπιμούλους A. 11 φιλόθυλοι A : φιλόθηλοι M ; corr. Kroll. 15 ὡς παρατέλλει (να superscr.) A. 17 τοῦ corr. : αὐτοῦ codd. 20 αὐτοῦ vix sanum. 21 Capram hic addit Exc. Paris.; fors. recte. 23 οὗτος sic A. 24 L. ἐν διαφόροις χώραις καὶ πόλεσι? cf. Exc. Paris. πόλεις M : πολλὰ A. 25 εἰκὰς ☾ ἐπὶ θεωρήσ' A. 26 ἐν omis. A. ἡμέρας (? compendio) δὲ τοῖς τροπικοῖς A. 28 καὶ φιλοικ. M. 29 γόνατος γ' τοῦτο ➸ A. 30-31 κατὰ κάθετον ἢ μεσουρ. M. 31 ἐραστάς coni. Kroll; at cf. Exc. Paris. ἢ καὶ omis. M. 35 ἑπομένου corr. : ἡγουμένου codd.

τῶν Διδύμων, κράσεως ὄντες τῆς τοῦ Ἄρεως, καὶ ἀνατέλλοντες ἤτοι ὡροσκοποῦντες ἐπὶ γενέσεως καὶ μάλιστα νυκτερινῆς ποιοῦσι τοὺς οὕτω γεννωμένους ἀρχικούς, δεινούς, δράστας, παραβόλους, ἀνυποτάκτους, θυμικούς, αὐθάδεις, τυραννικούς, πολέμων προϊσταμένους, ἐνδόξους. <ἐπὶ> ἡμερινῆς δὲ γενέσεως ὡροσκοποῦντες ποιοῦσιν ὑβριστάς, ὠμούς, ἀνελεήμονας, προπετεῖς, ἅρπαγας, τεταραγμένους, μεθύσους· ἐὰν δὲ μεσουρανῶσιν, <λογίους μὲν πάνυ καὶ φιλελεήμονας>, οὐ καλῷ <δὲ> τέλει πάντως ἀπολλυμένους.

Ὁμοίως δὲ πάλιν ἐάν τις γεννηθῇ ἀνατέλλοντος τοῦ ἐπὶ τῆς βορείας χηλῆς τοῦ Σκορπίου, ὅς ἐστιν ἐν αὐτῷ τῷ ζῳδιακῷ κύκλῳ ἐπὶ τῆς κε′ μοίρας τοῦ Ζυγοῦ, ἢ τοῦ ἐπὶ τῆς κεφαλῆς τοῦ ἡγουμένου τῶν Διδύμων, ἀμφότεροι κράσεως ὄντες τῆς τοῦ Διὸς καὶ τοῦ Ἑρμοῦ καὶ ὡροσκοποῦντες ποιοῦσι τοὺς οὕτω γεννωμένους φιλολόγους, πολυΐστορας, δημηγορικούς, ποιητικούς, φιλομούσους, φιλοκάλους <φιλόχλους>, εὐεπιβόλους, εὐφυεῖς, πολυπράκτας, ἀξιωματικούς, εὐσεβεῖς, φιλοθέους, εὐχρηματίστους, πολυγνώστους ἢ καὶ ἀπὸ δωροληψίας μεγάλως εὐτυχοῦντας χρυσοῦ τε καὶ ἀργύρου καὶ τῶν τοιούτων, καὶ πρὸς τὰς συμφορὰς ἐλευθεριωτέρους καὶ μάλιστα ἐπὶ τῆς ἡμερινῆς γενέσεως· ἐπὶ γὰρ νυκτερινῆς γενέσεως ὡρονομοῦντες, ποιοῦσι προσποιήσει σοφούς, ἀλαζονικούς, ἐπιτηδευματικούς, ὑποκρινομένους, πολυΐστορας δὲ καὶ μνημονευτικοὺς καὶ διδασκαλικοὺς καὶ καθαρίους ἐν ταῖς ἐπιθυμίαις.

Ἐὰν δὲ ὡροσκοπῇ ἐπὶ γενέσεως ὁ ἐν τῷ ἡγουμένῳ ὤμῳ τοῦ Ὠρίωνος, ὃς παρανατέλλει τῇ κζ′ μοίρᾳ τοῦ Ταύρου, ἢ ὁ Προκύων, ὃς παρανατέλλει τῇ κζ′ μοίρᾳ τοῦ Καρκίνου, ἢ ὁ ἐν τῷ δεξιῷ ὤμῳ τοῦ Ὠρίωνος, ὃς παρανατέλλει τῇ β′ μοίρᾳ τῶν Διδύμων, *** ἢ ὁ κοινὸς Ἵππου καὶ Ἀνδρομέδας, ὃς παρανατέλλει τῇ κα′ μοίρᾳ τῶν Ἰχθύων, κράσεως ὄντες τῆς τοῦ Ἄρεως καὶ τοῦ Ἑρμοῦ, ποιοῦσι τοὺς οὕτως ἔχοντας μάλιστα ἐπὶ νυκτερινῶν γενέσεων στρατηγικούς, δεινούς, δράστας,

2 νυκτερινοὶ M. 3 ss. Cf. Ptolem., *Tetrab.*, p. 163, 22 s. (ed. 1553). 3 δράκτας in marg. : δράστας M. 5 Post ἐνδόξους add. μεγάλους Exc. Paris. ἐπὶ suppl. 7-8 Verba uncis inclusa suppl. ex Exc. Paris. 8 ἀπολυμένους A. 9 βορρίας A. 10 Σκορπίου] ♎ codd., corr. 12 Longitudo huius stellae deest. Erat circa ♊ 26°. ἀμφότερος codd. τοῦ Διὸς καὶ τῆς τοῦ codd., corr.; cf. p. 200, 21. 13 ss. Cf. Ptolem., *Tetrab.*, p. 163, 6 (ed. 1553). 13 φιλοσόφους Exc. Paris. 14 ποιητικοὺς omis. A. 15 φιλοόχλους add. Exc. Paris. : φιλόχλους habet Ptolem. εὐεπιμούλους A. πολυπράκτους A et Exc. Paris. An πολυπράκτορας? ἀξιωτικούς A. 15-16 δωροληψίας corr. : δοσοληψίας codd. : δωροδοκίας Exc. Paris. 19 νυκτερινῶν γενέσεων A. 20 πρὸς ποιήσει M : omis. A. δοξοσόφους Exc. Paris. 20-21 ἀποκρινομένους A. 25 κζ′ numerus falso repetitus ex linea antecedente; scribendum β′. Post signum Cancri tria puncta, mox ἧς (pro ἢ ὁ) A. 26 β′ numerus falsus; est ipsius Ptolemaei. Ὦμος Ἵππου add. Exc. Paris.; hic omissus est a librario; lacunam sign. 28 τοῦ Ἄρεως καὶ τῆς τοῦ codd., corr. 29 ss. Cf. Ptolem., *Tetrab.*, p. 165, 24 ss. (ed. 1553).

πολυτρόπους, σοφιστικούς, πολυπράγμονας, λογίους, <ὀξυφώνους, ἐξαπατητάς, ἐπιτευκτικούς>, ἀπαραπείστους, ὀξεῖς δὲ καὶ ἀπροσκορεῖς πρὸς τὰς ἐπιθυμίας, διαφθορεῖς ὄντας παίδων καὶ παρθένων, ἐπιόρκους· ἐπὶ δὲ ἡμερινῶν γενέσεων ὡροσκοποῦντες ποιοῦσι τολμηρούς, ὠμούς, μεταμελητικούς, ψεύστας, κλέπτας, ἀθέους, ἀφίλους, ἐπιθέτας, θεατροκόπους, ἐφυβριστάς, μιαιφόνους, πλαστογράφους, γόητας, ἀνδροφόνους, οὐ καλῷ τέλει ἐνίοτε χρωμένους, μάλιστα ὡς προείπομεν, ἐπὶ νυκτερινῆς γενέσεως.

Ὁμοίως δὲ ἐὰν ἐν τῇ ἀποκυητικῇ ὥρᾳ εὑρεθῇ ἀνατέλλων ὁ ἐπὶ τοῦ δεξιοῦ ποδὸς τοῦ Κενταύρου, ὃς παρανατέλλει τῇ ια' μοίρᾳ τοῦ Ζυγοῦ, ἢ ὁ ἔσχατος τοῦ Ποταμοῦ, ὃς παρανατέλλει τῇ γ' μοίρᾳ τοῦ Κριοῦ, ἀμφότεροι κράσεως ὄντες τῆς τοῦ Διὸς καὶ τῆς Ἀφροδίτης καὶ ἀνατέλλοντες ἐπὶ τῆς γεννητικῆς ὥρας ποιοῦσι τοὺς οὕτω γεννωμένους καθαρίους, ἀπολαυστικούς, φιλοκάλους, φιλομούσους, φιλοδώρους, φιλοθέους, φρονίμους, φιληκόους, καλοσυμβούλους, ἐν τῷ σεμνῷ μεγαλοψύχους, εὐγνώμονας, εὐσχήμονας πρὸς τὰ ἀφροδίσια καὶ ἀπὸ γυναικείων προσώπων μεγάλως εὐτυχοῦντας, φιλοδόξους, καλούς τε καὶ ἀγαθούς, ξανθότριχας δὲ μᾶλλον, καὶ εὐειδεῖς καὶ ἁπαλοσώμους, μάλιστα ἐὰν τὴν Σελήνην ἐπιθεωρήσωσιν.

Ἐὰν δέ τις γεννηθῇ ὡροσκοποῦντος τοῦ ἐπὶ τῆς οὐρᾶς τοῦ Λέοντος λαμπροῦ, ὅς ἐστιν ἐπὶ τῆς κζ' μοίρας τοῦ αὐτοῦ Λέοντος, ἢ τοῦ ἐπὶ τῆς ὀσφύος αὐτοῦ, ὅστις ἐστὶν ἐπὶ τῆς ιζ' μοίρας τοῦ αὐτοῦ, ἢ πάλιν ὡροσκοποῦντος τοῦ λαμπροῦ τοῦ Ὕδρου, ὃς παρανατέλλει τῇ γ' μοίρᾳ τοῦ Λέοντος, κράσεως ὄντες τῆς τοῦ Κρόνου καὶ τῆς Ἀφροδίτης, ἀνατέλλοντες ἐπὶ τῆς γεννητικῆς ὥρας ποιοῦσι τοὺς οὕτω γεννωμένους εὐτυχεῖς τε καὶ περικτήμονας καὶ περιφανεστάτους, ἐμπαθεῖς δὲ καὶ αἰσχροποιοὺς ἢ μαλακολάλους, ἔτι δὲ καὶ φιλορχηστὰς καὶ κακοφήμους δὲ περὶ τὰ ἀφροδίσια, προβαίνοντας δὲ τὴν ἡλικίαν ἱερωσυνῶν τινων μεταλαμβάνοντας, διὰ θρησκείαν τινὰ θεϊκὴν ἢ ἐγκράτειαν τιμωμένους καὶ ἐδεσμάτων τινῶν ἀπεχομένους καὶ βιβλίων τινῶν ἀπορρήτων εἰδή-

1 λογίους. Fort. δολίους ut Ptolem. 1-2 Verba uncis incl. suppl. ex Exc. Paris. 1 ὀξύφρονας Ptolem. rectius. 2 ἀπαραπεύστους A. προσκόρεις codd. : corr. ex Exc. Par. 3 διαφορεῖς A. 3-4 ἐπὶ ὅρκους A. 4 νυκτερινῆς γενέσεως A. ὡρονομοῦντες M. 6 μιαιφώνους A. 8 νυκτερινῆς, aut hic, aut supra corrigendum in ἡμερινῆς; cf. ad v. 4. 9 ἐν omis. M. 11 Κριοῦ corr. : Ταύρου codd. 12 τῆς ante ♀ omis. M. 14 ss. Cf. Ptolem., *Tetrab.*, p. 162, 12 ss. 14 καθαρούς Ptolem. φιλοκάλλους A. 15 φιλοκόους A. 18 ξανθοτρίχους codd.; corr. ex Exc. Paris. ἁπλοῦς ὠμούς codd. : corr. ex Exc. Paris. ἁπαλόσαρκος saepius invenitur. 22 ιζ' corr. : κζ' codd. 23 τῇ ιγ' μοίρᾳ M : τῆς γ' A; corr.. 24 ὄντος A. τῆς ♄ A : τοῦ ♄ M. τῆς omis. M. 26 ss. Alia hic prabet Ptolem., *Tetrab.*, p. 159, 19 ss. Alio fonte iam anonymus utitur. 27 μαλακολάλος verbum novum. Sed μαλακοκόλαξ invenitur apud Athen., VI, 258 a. δὲ omis. A. 29 μεταλαμβάνοντες M. θεϊκὴν μὲν ἢ A. ἐγκρατείας A : ἐγκρατείᾳ M. 30 τινῶν (alter.) M : ἔτι A; cf. supra 199, 19. 30-p. 203, 1 εἰδήμονες γίνονται A.

μονας· γίνονται δὲ καὶ περὶ τὰ οὐράνια φιλόκαλοι, τοὺς δὲ ὀφθαλμοὺς μᾶλλον ὑπογλαύκους ἢ χαροποὺς ἔχοντες, εὐειδεῖς δε ταῖς ὄψεσιν.

Καὶ ὁ λαμπρὸς δὲ τῶν Ὑάδων ἀνατέλλων ἐπὶ ἀποκυητικῆς ὥρας καὶ κείμενος ἐν αὐτῷ τῷ ζῳδιακῷ κύκλῳ ἐπὶ τῆς ιε' μοίρας τοῦ Ταύρου καὶ κράσεως ὢν τῆς τοῦ Ἄρεως καὶ <τῆς> Ἀφροδίτης καὶ ἐν οἴκῳ Ἀφροδίτης ὢν ποιεῖ τοὺς οὕτω γεννωμένους εὐτυχεῖς μὲν ἄγαν καὶ πλουσίους καὶ χώρας καὶ πόλεις ὑποτάσσοντας ἢ διοικοῦντας. ὥσπερ γὰρ αὐτὸ τὸ ἄστρον καὶ ἡ θέσις τῶν Ὑάδων ἐν ὅλῳ τῷ κόσμῳ καὶ πᾶσι τοῖς ἀνθρώποις εὐεπίγνωστόν ἐστιν ἢ καὶ μᾶλλον φανερώτερον ὑπάρχει, οὕτω καὶ οἱ γεννώμενοι ἀνατέλλοντος ἤτοι ὡροσκοποῦντος τοῦ λαμπροῦ τῶν Ὑάδων ἐνδοξότατοι καὶ περιφανέστατοι καὶ πλουσιώτεροι τῶν ἄλλων ἀνθρώπων γίνονται. τὰ αὐτὰ δὲ ποιεῖ καὶ ὅταν ἰσομοιρήσῃ τῇ Σελήνῃ ἐν τῷ παρανατέλλειν ἤτοι ὡροσκοπεῖν· μάλιστα ἐπειδὴ οὗτος μόνος ὁ ἀστὴρ διπλῆν δύναμιν ἔχει τῶν ἄλλων ἀστέρων, ἀνατέλλοντος γὰρ αὐτοῦ δύνει ὁ λαμπρὸς τοῦ Ἀντάρεως κατ' ἰσομοιρίαν αὐτοῦ διάμετρον στάσιν κείμενος ἐπὶ τῆς ιε' μοίρας τοῦ Σκορπίου, καὶ ἀμφότεροι ἐν αὐτῷ τῷ ζῳδιακῷ κύκλῳ εἰσίν. οὕτως μὲν οὖν καὶ περὶ τὰ δυτικὰ μέρη τῆς οἰκουμένης καὶ περὶ τὰ ἀνατολικὰ καὶ περὶ τὰ ἄλλα κλίματα δοξαστικὰ καὶ μεγάλα δύνανται.

Αὐτὸς δὲ ὁ τοῦ Ἀντάρεως κατ' αὐτὸ τὸ κέντρον τὸ δῦνον εὑρισκόμενος ἐν τῷ γαμοστολικῷ τόπῳ ποιεῖ, καθὼς ἐν ἀρχῇ προείπομεν, διὰ γυναικείων προσώπων μεγάλας εὐτυχίας καὶ κληρονομίας· καὶ γὰρ αἱ γυναῖκες τῶν οὕτως γεννωμένων περίβλεπτοι μὲν καὶ πάνυ πλούσιαι γίνονται, οὐ πολυχρόνιοι δέ, ἐπειδὴ οὗτος ὁ Ἀντάρης εὐθέως δύνει, ὡς προείπομεν, ἐν τῷ γαμοστολικῷ τόπῳ εὑρισκόμενος. ὁ δὲ λαμπρὸς τῶν Ὑάδων ὡροσκοπῶν καὶ ἔχων τὸ ποιητικὸν τῆς τοῦ Ἄρεως καὶ τῆς Ἀφροδίτης ἐνεργείας ποιεῖ τοὺς οὕτω γεννωμένους περιθύμους καὶ θερμοὺς πάνυ περὶ τὰς ἐπιθυμίας καὶ διαφόρως περὶ τὰ ἀφροδίσια· φύσει γὰρ αὐτὸς ὁ τόπος τῶν Ὑάδων ἀνατέλλων ἤτοι ὡροσκοπῶν ἀπὸ μοίρας ια' ἕως ιε' ἐμπαθεῖς περὶ τὰς ἡδονὰς ποιεῖ καὶ ἐπισήμους μᾶλλον καὶ καλοτραχήλους.

Ταῦτα δὲ ἱκανῷ χρόνῳ ἀγρυπνήσαντες καὶ καμόντες εὕραμεν, ἐπειδὴ πολλάκις ἐπὶ γενέσεων μηδεμιᾶς θεωρίας καλῆς εὑρισκομένης, μήτε

1 φιλόκαλος A. 3 ἀνατέλων A. ἀπὸ κυοτικῆς A. 9 μᾶλλον cum comparativo; cf. Sonny, *Anal. ad Dionem*, 215; Dorvill. ad Charit., I, 14 [Kroll]. 11 καὶ περιφ. A : ἤτοι περιφ. M. 13 ἰσομοιρήσει A. ἰσομοιρήσῃ ἢ παρανατέλλῃ τῇ Σελήνῃ (omiss. ἤτοι ὡρ.) M et Exc. Paris.; fort. recte. μάλιστα omis. A. 19 δοξαστικὰ M: δοξαζόμενοι A. Δοξαστικά = *gloriosa*, sicut δοξαστός *celeber*, δόξασμα *gloria* in Septuag. : δοξάζονται coni. Kroll. 21 γαμοστορικῷ A. Cf. supra p. 196, 20. 23 πλούσιοι A. 24 οὔτως A. 25 λαμπρὸς omis. A. 26 ὡροσκοπεῖ A. 27 γενωμένους περὶ θύμους A. 28 διαφόρους codd.; corr. Kroll, cf. p. 206, 27; ἀδιαφόρους Exc. Paris. 30 μοίρας ιβ' μ, ἕως μοίρας ις' κ' Exc. Paris. 32 εὕρομεν M. 33 γενέσεως A. μὴ δὲ μιᾶς A.

τῶν φωστήρων ἐπικέντρων ὄντων ἀλλὰ καὶ ἀποκλινάντων, [καὶ] μήτε τῶν ἀγαθοποιῶν ἐπικέντρων ὄντων, μεγάλας καὶ εὐτυχεστάτας πάνυ γενέσεις ὁρῶμεν, ὥσπερ ἐκτὸς τῶν συνανατελλόντων τοῖς κέντροις ἢ τῇ Σελήνῃ λαμπρῶν ἀστέρων οὐ κατελαβόμεθα· ταύτης γὰρ ἕνεκα τῆς αἰτίας καὶ τὴν διαφορὰν καὶ τὴν ἐνέργειαν τῶν λαμπρῶν καὶ ἐπισήμων ἀστέρων ἐξεθέμεθα, πλὴν ἑνὸς μόνου τοῦ Κανώβου, διὰ τὸ νοτιώτερον αὐτὸν εἶναι πάνυ καὶ σχεδὸν μὴ φαίνεσθαι ἐν τούτοις τοῖς μέρεσιν, ζητήσας ἐν τῷ διὰ Ῥώμης κλίματι.

Ἡμεῖς μὲν οὖν τῇ τοῦ θειοτάτου Πτολεμαίου διδασκαλίᾳ ἀκολουθήσαντες ἐτολμήσαμεν ἀπογράφεσθαι μὲν περὶ τῆς ἐνεργείας καὶ τῆς ποιότητος τῶν λ' λαμπρῶν ἀστέρων· ἵνα δὲ μνησθῶμεν καὶ τῶν πρὸ αὐτοῦ γραψάντων περὶ τῆς τῶν ἀπλανῶν ἀστέρων <φάσεως> καὶ περὶ τῆς τῶν παρανατελλόντων δυνάμεως ταῦτα παρεκτιθέμεθα· Βαβυλώνιοι μὲν οὖν καὶ Χαλδαῖοι[1] σχεδὸν πρῶτοι ἐφεῦρον τὴν τῶν φαινομένων γνῶσιν, καθὼς ἔγνωμεν ἐκ τῶν προγενεστέρων ἡμῶν. ἱστοροῦσι γὰρ οὗτοι καὶ Ἀπολλώνιον τὸν Μύνδιον[2] καὶ Ἀρτεμίδωρον[3] *** συνέγραψε δὲ καὶ περὶ αὐτῶν ὁ Βηρωσὸς καὶ οἱ ἐφεξῆς. καὶ τῶν ἡμετέρων δὲ οἱ πρόγονοι τῶν Αἰγυπτίων ἐμνήσθησαν καὶ ἀπετέλεσαν περὶ αὐτῶν· ἐξ ὧν πρῶτος ἐγένετο Ἑρμῆς καὶ ἔγραψεν ἐν τοῖς κοσμικοῖς ἀποτελέσμασι περὶ τῆς τοῦ Κυνὸς ἐπιτολῆς[4], καὶ ὁ Νεχαώ τε καὶ ὁ Κερασφόρος καὶ ὁ Πετόσιρις καὶ ὁ Νεχεψὼ[5] καὶ ἄλλοι τινὲς ἀπὸ διαφόρων κλιμάτων ἔγραψαν περὶ αὐτῶν καὶ μάλιστα ὁ Τιμαῖος[6] καὶ

1 καὶ secl. 4 οὐκ ἀντελαβόμεθα A. καναβοῦ A. De hac stella similia iam apud Manilium, I,208 ss. 7 αὐτῶν A. 9-p. 205, 16 Hoc fragmentum iam edidimus *Rev. instr. publ. en Belg.*, 1897, p. 8 ss. 10 τῆς (ante ποιότ.) omis. M. 12 φάσεως suppl. 16 μένδιον codd. lacunam indicavimus. Possis etiam ἱστοροῦσι γὰρ οὕτως καὶ Ἀπολλώνιος ὁ Μύνδιος καὶ Ἀρτεμίδωρος. 17 δὲ καὶ] καὶ omis. M. βηρωσσός M. καὶ ὁ ἐφῆς codd.; corr. Nomen proprium latere olim credidimus. 18 οἱ omis. A. 20 ἀνατολῆς A. νεχάω δὲ M : νευχάω τε A. 21 πετόσσιρις A.

[1] De systemate Babylonico triginta stellarum, cf. Diodor. II, 30, 6; Boll, *Sphaera*, in Indice s. λαμπροὶ ἀστέρες.

[2] Apollonium Myndium, discipulum Chaldaeorum, solus, ut videtur, laudat Seneca, *Quaest. Nat.*, VII, 4, 1; 17, 1.

[3] Sine dubio Artemidorus Parianus, cuius doctrinam de cometis idem Seneca refert, *Quaest. Nat.*, I, 4; VII, 13; cf. Pauly-Wissowa, *Realenc.*, II, 1333. Artemidorum quem Φαινόμενα scripsisse vita Arati (p. 57, 31, Westermann = Maas, *Comment. in Arat.*, p. 324, 13) testatur, hunc astronomum Parianum esse censet Bidez.

[4] De hoc capite Hermetis Trismegisti, cf. Hephaest. Theb. I, 23 (p. 91 Engelbr.) et *Catal.*, IV, p. 124, n. 2; 154.

[5] Petosiris atque Nechepso omnibus noti sunt (cf. *Catal.*, IV, p. 120 etc.), sed de Nechaone et Cerasphoro astrologis Aegyptiis nihil nos comperisse fatemur.

[6] Fragmentum Timaei, qui iam a Vettio Valente laudatur (cf. n. 6), invenies in *Catal.*, I, p. 97.

<ὁ> Ἀσκλατίων[1]· ἀπὸ δὲ τούτων τῶν συγγραφέων ὠφεληθέντες οἱ μεταγενέστεροι αὐτῶν ἐτήρησαν ἐν διαφόροις τόποις καὶ πολλοῖς τὰς ἀνατολὰς καὶ τὰς δύσεις καὶ τὰς ἄλλας αὐτῶν ἐπισημειώσεις, ἃς ποιοῦνται ἐν ὁποίῳ δήποτε κλίματι, καὶ ἀνεγράψαντο τὸ ποιητικὸν τῆς ἐνεργείας αὐτῶν σχεδὸν καθ' ἡμέραν, Μέτων μὲν καὶ Ἀπολλινάριος καὶ Εὐκτήμων ἐν Ἀθήναις καὶ Δοσίθεός τε ἐν Ἰωνίᾳ καὶ Κάλιππος ἐν Ἑλλησπόντῳ καὶ Φίλιππος ἐν Πελοποννήσῳ καὶ Φωκίδι καὶ Λοκρίδι, Ἵππαρχός τε ἐν Βιθυνίᾳ[2]· καὶ φέρονται ἐν ἑκάστῳ τῶν προειρημένων ἀνδρῶν συντάγματα περὶ τῆς τῶν ἀπλανῶν ἀστέρων <δυνάμεως καὶ> τοῦ ποιητικοῦ τῆς ἐνεργείας αὐτῶν· εἰ οὖν τὰς τῶν ἀέρων κράσεις ποσῶς τρέπουσιν ἀνατολὰς ποιούμενοι καὶ τὰς ἄλλας φάσεις, μειζόνως ἄρα καὶ εἰς ἡμᾶς ἐνεργεῖν δύνανται καὶ μεγάλας εὐτυχίας καὶ ἐναντιώσεις παρέχεσθαι, ἐνίοτε καὶ θανάτους κατὰ τὰς τῶν ἀφετῶν κολλήσεις. καὶ Ἀντίοχος[3] δὲ καὶ Βάλης[4] καὶ Ἀντίγονος[5] καὶ Ἡραΐσκος[6] καὶ ἄλλοι τινὲς πολλὰ καὶ διάφορα ἔγραψαν περὶ τῆς δυνάμεως αὐτῶν, καθὼς ἔγκειται ἐν τοῖς συγγράμμασιν αὐτῶν, καὶ Σεραπίων[7] δὲ καὶ μετ' αὐτὸν Πτολεμαῖος γινόμενος ἀπετέλεσε περὶ αὐτῶν. ἀλλ' οὐδεὶς ὧν προεῖπον ἀνδρῶν, μετήγαγεν ἐκ τοῦ ἀστρονο-

1 ὁ suppl. Ex Vettio Valente, *Catal.*, I, 79, 19 : Τίμαιος καὶ Ἀσκλατίων καὶ ἕτεροι πλεῖστοι. 2 πολλοῖς] An πόλεσιν? 4 δήποτε omis. A. 5 σχεδὸν τῶν καθ' M : τῶν σχεδὸν πρὸς A; corr. 5-6 Ex Ptolem. Apparitionibus (cf. Lydus, *De ost.* ed. Wachsmuth, p. 275, 6 ss.). 5 μεθ' ὧν codd. μὲν omis. M. 6 Ἀθήναισι A. 8 Λοκρίδι corr. ex Ptolem. : βραχίδι A : βραχίδι cum γ superscr. M. De Branchidis cogitavit librarius. 8 ἑνὸς ἑκάστου coni. Kroll. 10 δυνάμεως καὶ suppl. 11 πόσως codd. ; corr. Kroll. 12 μείζονας codd.; corr. Kroll. 13 παρέσεσθαι A. 16 ἐγκεῖνται M.

---

[1] Asclatio qui commemoratur etiam in prooemio Vetti Valentis (ὁ Τίμαιος καὶ ὁ Ἀσκλατίων, *Catal.*, I, p. 79, 19), unde eum ante medium saec. II vixisse apparet, et saec. VI apud Lydum, *De ostentis*, 2 (*Catal.*, I, p. 81, 12), est, ni fallimur, celeber ille mathematicus qui mortem Domitiani et suum ipse exitum praedixisse fertur. Ascletario vocatur in codicibus Suetoni (Domit. 15), sed nomen corruptum esse viri docti iam dudum animadverterunt (cf. Boissevain ad Dion. Cass., LXVII, 16, v. 12). Ἀσκληπίωνα eum appellat Malalas p. 266, 14 ed. Bonn., unde Ἀσκλήπιος dictus est in *Chron. Pasch.*, I, 468, 13 et in excerptis Byzantinis a Maximiliano Treu editis (Progr. gymn. Ohlau, 1880, p. 32, 11). Revera Ἀσκλατίων nomen est Aegyptiacum, vide *Berlin. Urkunden*, I, 14, c. 3, v. 10 (anni 255 p. C.). Cf. Ἀσκλατᾶς *Oxyrh. Pap.*, II, 297, 1 et Ἀσκλᾶς passim.

[2] Notissimi sunt omnes illi astronomi, quorum nomina sine discrimine ex Ptolemaeo transcripsit astrologus saeculi IV.

[3] Antiochus Atheniensis; cf. *Catal.*, II, p. 83 ss. et passim.

[4] Vettius Valens, celeberrimus astrologus saec. II; cf. *Catal.*, II, p. 83 ss. et supra p. 118, n. 2.

[5] Antigonus Nicaeanus, qui exeunte saeculo II aut ineunte III floruit; cf. *Catal.*, IV, p. 67, n. 1.

[6] Quis sit hic Heraïscus, nescimus.

[7] Serapio Alexandrinus, cf. supra p. 179, n. 2.

μουμένου τὰς νῦν αὐτῶν οὔσας ἐποχὰς οὐδὲ τὸ ποιητικὸν τῆς κράσεως αὐτῶν.

Ἀπογραψάμενοι οὖν περὶ τῆς εἰδικῆς δυνάμεως καὶ ἐνεργείας τῶν ἀπλανῶν καὶ λαμπρῶν ἀστέρων καὶ κατὰ τὸ δυνατὸν φυσιολογήσαντες περὶ αὐτῶν εὐλόγως καὶ τὰς τῶν ὑποδεεστέρων δυνάμεις καὶ τὸ ποιητικὸν αὐτῶν ὑποτάξομεν.

ρλϛʹ. Περὶ ἐμπαθῶν τόπων ἤτοι μελῶν τῶν αἰνιγματωδῶν ζῳδίων[1] Κριοῦ, Ταύρου, Λέοντος, Αἰγόκερω.

Καὶ ἄλλοι δὲ τόποι εἰσὶν ἐν τῷ ζῳδιακῷ κύκλῳ ἔν τισι μέλεσι τῶν ζῳδίων, οὔτε τοῦ πρώτου οὔτε τοῦ δευτέρου μεγέθους ὄντες, ἀλλὰ τῶν ὑποδεεστέρων, ἱκανὴν καὶ σχεδὸν ἀπαράβατον δύναμιν ἔχοντες καὶ ἐξαιρέτου παρατηρήσεως τετυχηκότες περὶ τὸ παθητικὸν μέρος τῆς ψυχῆς καὶ περὶ τὰ σίνη τὰ σωματικά· πρῶτον μὲν γὰρ ψυχικοῖς πάθεσιν καὶ ἀσελγείαις περιπίπτουσιν ὅσοι τῶν ἀνδρῶν ἢ γυναικῶν γεννῶνται ἀνατελλόντων ἤτοι ὡρονομούντων τῶν ἐμπροσθίων ἤτοι τοῦ προσώπου τοῦ Σκορπίου περὶ μοίρας ιγʹ ιδʹ καὶ τῶν ὀπισθίων περὶ μοίρας κεʹ κϛʹ κζʹ κηʹ, καὶ τῶν Ὑάδων ἤτοι τοῦ προσώπου τοῦ Ταύρου περὶ μοίρας ιβʹ ιγʹ ιδʹ ιεʹ καὶ ἔτι τῶν ὀπισθίων μερῶν τοῦ Λέοντος ἀπὸ μοιρῶν κεʹ ἕως λʹ, καὶ τοῦ προσώπου ἤτοι ῥύγχους τοῦ Αἰγόκερω περὶ μοίρας ιαʹ ιβʹ· ὡρονομοῦντες γὰρ οὗτοι καὶ ἀνατέλλοντες, ὡς προείπομεν, ποιοῦσι τοὺς οὕτω γεννωμένους ἀσελγαίνειν οὐ μόνον εἰς γυναῖκας ἀλλὰ καὶ εἰς παῖδας καὶ τέρπεσθαι ταῖς παρὰ φύσιν ἡδοναῖς ἢ καὶ γυναιξὶν παθητικαῖς καὶ ῥευματικαῖς καὶ αἰσχροποιαῖς ἢ καὶ αὐτὰς τὰς γυναῖκας [καὶ] τὰς οὕτω γεννωμένας ἀσχημόνως διάγειν ἢ τέρπεσθαι τοῖς αἰσχροποιοῖς τῶν ἀνδρῶν· βεβλαμμένοι γὰρ τὸν νοῦν ἄνδρες καὶ γυναῖκες ἐκ τῆς ἀμεταθέτου φορᾶς τῶν ἀστέρων [f. 143] εἴς τε τὰς ἐπιπλοκὰς διαμαρτάνουσι διὰ τὴν τῆς ἐπιθυμίας ὄρεξιν διαφόρως χρώμενοι τοῖς τοιούτοις καὶ ταῖς παρὰ φύσιν ἡδοναῖς. ἐὰν δὲ καὶ ὁ τῆς Ἀφροδίτης ἀστὴρ ἐν αὐτοῖς τούτοις τοῖς αἰνιγματώδεσι ζῳδίοις εὑρεθῇ Κριῷ Ταύρῳ, Λέοντι ἢ Αἰγόκερῳ, θεωρουμένη ὑπὸ Ἄρεως ἢ Κρόνου καί, ὡς προείπομεν, παθοποιῶν μελῶν ἤτοι τόπων τῶν

3 ἀπογραψάμενος A. ἰδικῆς cod. 5 τὰς cum tribus punctis A. δύναμιν A. 7 A(ngelicus), f. 136; M(ediolanensis), f. 141. 11-12 ἐξ ἑτέρας παρατ. codd., corr.; cf. 208, 19. 12 τυχόντες A. 14 γεννῶνται scripsi: γεννωμένων καὶ codd. (οι superscr. in M). 16 ιγʹ omis. A. Hi numeri vix sani. 17 καὶ αἱ τῶν M. τοῦ προσώπου τοῦ M: πρὸ αὐτοῦ τοῦ A. Ταύρου corr.: ♏ codd. 18 ἔτι corr.: ἐπὶ codd. 23 ῥευματικαῖς = " quae profluviis albis laborant " [Kroll]. 24 καὶ delevi. 25 Debebat αἰσχροποιοῖς. De fellatricibus dicitur. 27 διὰ A : δὲ M. 28 An ταῖς τοιαύταις? 30-31 Κρόνου ἢ Ἄρεως M. 31 ὧν προειπ. coni. Kroll.

[1] De signis " aenigmaticis " astrologi non consentiebant; cf. *Catal.*, I, p. 166, 7.

ζῳδίων, πάθεσιν αἰσχίστοις περιτρέπουσι τοὺς οὕτω γεννωμένους· καὶ εἰ μὲν κρυφίως, εἰ δὲ φανερῶς, ἀποδείκνυνται παρὰ τὰς ἀνατολὰς καὶ τὰς κρύψεις τῶν τὰ τοιαῦτα ποιούντων ἀστέρων, λέγω δὴ Ἀφροδίτην καὶ Ἄρεα ἢ Ἀφροδίτην [f. 156ᵛ] καὶ Κρόνον, μάλιστα ἐπὶ τῶν ἐναντίων αὐτῶν συσχηματισμῶν τουτέστι τετραγώνων ἢ διαμέτρων ἢ καὶ ὅταν ὡροσκοπῇ τις αὐτῶν ἢ μεσουρανῇ, σφόδρα ἐκδήλους καὶ περιβοήτους αὐτῶν τὰς ἐπιθυμίας ἀποδείκνυσιν. οὐ γὰρ ἄλλως γίνεται τὸ παρὰ φύσιν ταῖς ἡδοναῖς χρῆσθαι, ἐὰν μὴ πρῶτον τὴν τοῦ πάθους ἐπιθυμίαν καὶ τὴν ἀνάγκην πληρώσωσιν τοῦ δαίμονος, ὡς καὶ τῶν ἐπιθυμιῶν χάριν κακῶς ἀκούειν, ἐνίους δὲ καὶ περιγράμματα καὶ περιπλοκὰς καὶ ζημίας καὶ ἔχθρας καὶ καταδίκην ὑπομένειν, ἐὰν μὴ ὁ τοῦ Διός ποθεν ἐπιθεωρήσας τὴν Ἀφροδίτην ῥύσηταί τι μέρος τῶν κακῶν. ἢ πάλιν ὑπὸ κρύψιν τοῦ Ἡλίου ἤτοι δυτικοὶ ὄντες, μάλιστα δὲ ὁ τῆς Ἀφροδίτης, λαθριμαίας καὶ μετὰ σκέπης τινὸς ἢ καὶ δυσπετείας τῶν ἀκουόντων τὰς ἀσελγείας ἢ καὶ ἐπιθυμίας σκεπάσ(ουσι) τοῦ ἐπὶ πολὺ φανεροῦσθαι τὰς τούτων ἀσχημοσύνας· ὅθεν καὶ αὐτὰς τὰς γυναῖκας τριβάδας τε καὶ ἀσχημόνως προσερχομένας τοῖς ἀνδράσιν ἀποδεικνύουσιν· ἀπὸ γὰρ ἀνάγκης σχεδὸν ὑποτυφλούμεναι ἀδικοῦνται τὰς διανοίας ἐν ταῖς ἐπιθυμίαις· ὁρμῆς γὰρ [f. 143ᵛ] αὐταῖς ἀκατασχέτου γινομένης περὶ τὰ πάθη γίνεται καὶ τὸ κοιλαίνειν περὶ τὰς ἐπιθυμίας καὶ κατὰ τὸ παντελὲς ἀσελγαίνειν· τοσαύτην τινὰ δύναμιν περί [τε] τὴν τῶν ἀστέρων σύγκρασιν καταλαμβανόμεθα. ἐὰν δὲ καὶ Ἄρης ἅμα τῇ Ἀφροδίτῃ ἑῷος συνεπιθεωρηθῇ ὑπὸ τῶν κακοποιῶν, περιπονηροτέρους καὶ μετὰ πάσης ἀναισχυντίας φανερῶς ἀσχημονοῦντας ποιοῦσι τοὺς οὕτω γεννωμένους· οὗτοι δὲ πολλάκις οὐ μόνον πρὸς ἄνδρας ἢ γυναῖκας ἀσελγαίνουσι ἀλλὰ καὶ πρὸς τὰ ἄλογα τῶν ζῴων, οἷον τετράποδα ἢ ἄλλα τινά· ἐὰν δὲ ἐπὶ τοῦ ὑπογείου κέντρου ἢ δυτικοῦ εὑρεθῇ ὁ τῆς Ἀφροδίτης, θεωρηθῇ δὲ ὑπὸ Ἄρεως ἢ Κρόνου, ἢ αὐτὸς ὁ Ἄρης ἐν ταῖς δυνούσαις μοίραις εὑρεθῇ οὕτως, καὶ μάλιστα ἐν τοῖς λατρώδεσι τῶν ζῳδίων, ὡς προείπομεν, σπάδοντας, εὐνούχους ἢ ἀποκόπους ποιοῦσιν ἢ στείρας ἢ διὰ θρησκείαν τινὰ ἀπεχομένους ἀφροδισίων καὶ δεισιδαιμονοῦντας καὶ ἐπιψόγους ἐν τοῖς ἀφροδισίοις.

2 οἱ δὲ codd.; corr. 3 τὰ τοιαῦτα A : ταῦτα M. 7 Debebat ἀποδεικνύασιν. ἄλλοις ἄλλων γίνεσθαι codd.; corr. Kroll et Bidez. 9 καὶ (alter.) omis. M. 10 ἐνίοις codd.; corr. περιγράμματα = περιγραφάς " circumventiones " [Kroll]. 12 ῥύσεται codd. 13 Ἡλίου M : Ἄρεως A (signis astrol.). 14 λαθημαίας A : λήθην ποιήσει διὰ τῶν μαίων M, quod explicatio librarii esse videtur; corr. Bidez : λαθριμαῖος " clandestinus " in glossar. σκέπας M. δυσπιστίας coni. Bidez qui ποιοῦντες ante σκεπάσουσιν suppl. 18 ὑποτυφλόμεναι A. 20 γίνεται corr.; γίνονται codd. κοιλαίνειν A : κινεῖσθαι superscr. γρ. κοιλαίνειν M : κυμαίνειν coni. Bidez. 21 τε del. Kroll. 22 Ἄρης A : Ἑρμῆς M. 23 περὶ ποντοτέρους A : περιπονωτέρους M; corr. 29 λατρώδη] De his signis, cf. *Catal.*, I, p. 166, 25. 30 ὡς προείπομεν] Nil tale supra. Ergo textus lacunosus est? σπάδοντος codd. ἀκόπους codd. : ἀτόκους coni. : ἀποκόπους Kroll. 32 δυσιδαιμονοῦντας A.

ρλζ'. Περὶ σινοποιῶν μοιρῶν ἤτοι τόπων τῶν σινουμένων τὰς ὄψεις.

Πολλοὶ μὲν οὖν τῶν πρὸ ἡμῶν ἐπεσημήναντο ὅτι οἱ φθοροποιοὶ διαμετροῦντες ἢ τετραγωνίζοντες τοὺς φωστῆρας ἢ καὶ συνόντες αὐτοῖς ἐν ταῖς ἐπαναφερομέναις μοίραις ἢ ζῳδίοις βλάπτουσι τὰς ὄψεις καὶ μάλιστα ἐὰν τὴν Σελήνην λειπτικὴν ὁ Κρόνος ἐπὶ νυκτερινῆς γενέσεως οὕτως ἐπιθεωρήσῃ, ἢ πάλιν ὁ Ἄρης ἐπὶ ἡμερινοῦ θέματος αὐξανομένην αὐτήν, ἤτοι συνῶσιν ἢ διαμετρῶσιν ἢ τετραγωνίζωσιν, ἐπειδὴ καὶ ὅταν ἐπικέντρων ὄντων τῶν κακοποιῶν οἱ φωστῆρες ἐπαναχθῶσι. καὶ ὁ μέντοι Κρόνος τὸ σῖνος παρέχει καθὼς πρόκειται καὶ δι' ὑποχύσεως ἢ ψύξεως τοῖς οὕτω πονοῦσιν· ὁ δὲ τοῦ Ἄρεως ἀπὸ πληγῆς ἢ κρούσματος [f. 144] ἢ σιδήρου ἢ πυρὸς ἢ θερμοῦ ῥεύματος ποιεῖ τὰς πηρώσεις· μετὰ δὲ Ἑρμοῦ συσχηματισθεὶς καὶ θεωρῶν τὸν Ἥλιον ἢ τὴν Σελήνην, καθὼς πρόκειται, ἐν παλαίστραις ἢ γυμνασίοις ἢ κακούργων ἐφόδοις[1].

Καὶ ταῦτα μέν τινες τῶν παλαιῶν ἐξέθεντο[2], οἷς καὶ αὐτοὶ συμμαρτυροῦμεν. καὶ ἄλλοι δὲ τόποι εἰσὶ τῶν μελῶν τῶν ζῳδίων ἔχοντες νεφελοειδεῖς συστροφὰς ἐξ ἀστέρων μικρῶν καὶ σχεδὸν ἀμαυρῶν συγκείμενοι, ἐξαιρέτου δὲ παρατηρήσεως τετευχότες· ἐφ' ὧν ἐὰν ἡ Σελήνη ὑπὸ σύνδεσμον οὖσα καὶ μάλιστα δύνουσα ἢ ὡροσκοποῦσα ἢ καὶ <ὁ> Ἥλιος οὕτως εὑρεθῇ, καὶ ἄνευ τῆς τῶν κακῶν ἀστέρων ἐπιθεωρίας βλάπτουσι τοὺς ὀφθαλμοὺς ἢ ἀμαυροῦσι, καὶ μάλιστα περὶ τὸ νεφέλιον τοῦ Καρκίνου, ὅ ἐστιν ἀπὸ μοίρας ια' ἕως ιδ', καὶ ἐπὶ τῆς Πλειάδος τοῦ Ταύρου ἀπὸ μοίρας δ' ἕως ς' καὶ τῆς ἀκίδος τοῦ Τοξότου, ἥ ἐστι περὶ μοῖραν ζ' αὐτοῦ, καὶ τοῦ κατὰ τὸν ὀφθαλμὸν τοῦ Τοξότου [τοῦ] νεφελοειδοῦς, ὅ ἐστι περὶ τὴν ιη' μοῖραν αὐτοῦ, ἢ καὶ τοῦ κέντρου τοῦ Σκορπίου, ὅ ἐστι περὶ τὴν λ' μοῖραν αὐτοῦ, καὶ τῶν πλοκάμων τοῦ Λέοντος τοῦ μὲν νοτίου περὶ μοῖραν κζ', τοῦ δὲ βορείου περὶ μοῖραν <κζ'> τῆς δὲ Παρθένου περὶ μοῖραν λ' καὶ τῆς κάλπιδος τοῦ

6 λειπτικήν A : ἐκλειπτικήν in marg. γρ. λειπτικήν M : λειπτική pro λειψιφωτοῦσα dictum esse videtur. 7 ἐπιθεωρήσει codd. 8 διαμετροῦσιν A. 10 παρέχων codd. 11 ἐπιλύσεως codd. : ὑποχύσεως corr. ex Ptolem. ποιοῦσιν codd.; corr. Kroll. 13 Ἡλίου σχηματισθεὶς codd.; corr. ex Ptolem. τὸν M : τῶν A. 17 μέλων sic cum tribus punclis A. 18 ἀμαυρῶν A : ἀφανῶν M. 19 ἐξαιρέτ(ως) codd.; corr.; cf. supra p. 206, 11 et Ptolem., p. 148, 20 : παρατηρέσεως ἔτυχον ἐξαιρέτου. ἐφ' ᾧ codd.; corr. 23 μοιρῶν M. 25 ἢ ἔστι ... αὐτοῦ omis. A. 26 τοῦ seclusimus. τὰς ιη' μοίρας A. 28 πλεκάμων A. 29 κζ' suppl. Desideratur μέτωπον Σκορπίου quod in Exc. Paris. invenitur. περὶ omis. A. κάλπίος M.

[1] Haec paene ad verbum excerpta sunt ex capite Tetrabibli Περὶ σινῶν καὶ παθῶν, p. 149, 14 ss., edit. a. 1553.

[2] Lippitudinibus veteres Aegyptii sicut et nunc posteri eorum afficiebantur, eoque effectum est ut astrologi Alexandrini saepe de oculorum morbis disputaverint.

Ὑδροχόου ἀπὸ μοίρας ιζ′ ἕως ιη′ καὶ τῆς ἀκάνθης τοῦ Αἰγόκερω, ἥτις ἐστὶν περὶ μοίρας κ<ε′> καὶ κη′. ἐὰν δὲ ὁ Κρόνος ἢ ὁ Ἄρης ἐπιθεωρήσῃ τὴν Σελήνην ἢ τὸν Ἥλιον ἐπὶ τούτων τῶν τόπων ὄντας καὶ εἰς αὐτῶν ἐφ᾽ ὧν προεῖπον μοιρῶν ἐπίκεντρος εὑρεθῇ καὶ ἐνεχθῇ τοῖς φωσὶ καὶ μάλιστα ἐπὶ τοῦ δυτικοῦ τόπου κείμενος ἢ τοῦ ὡροσκόπου, ἀπαραβάτως σινοῦνται τὰς ὄψεις οἱ οὕτω γεννώμενοι, ἐὰν μήτε ὁ Ζεὺς μήτε ἡ Ἀφροδίτη ἐπιθεωρήσωσι τοὺς τὸ αἴτιον ποιοῦντας ἀστέρας ἢ τόπους καὶ τοὺς δεκανούς, οὓς ἐτάξαμεν ἐν τῷ πίνακι, καθὼς περιέχει καὶ ἡ τοῦ Ἑρμοῦ βίβλος ἐν ᾗ ἰατρομαθηματικὰ [1] πλεῖστα ἔγραψεν, [f. 144ᵛ] ἐπειδὴ οἱ κακοποιοὶ ἐπικείμενοι αὐτοῖς τοῖς δεκανοῖς τοιαῦτα καὶ τὰ πάθη ἢ τὰ σίνη ἐπιπέμπουσι καὶ περὶ ἐκεῖνα τὰ μέλη ὧνπερ ἕκαστος <τῶν> δεκανῶν κυριεύει, μάλιστα δὲ ἐὰν καὶ τοῦ σινωτικοῦ τόπου κυριεύσωσι κατὰ γένεσιν ὅ τε Κρόνος ἐπὶ νυκτερινῶν γενέσεων καὶ ὁ Ἄρης ἐπὶ ἡμερινοῦ θέματος· οὕτω γὰρ τὰ μὲν σίνη φανερὰ καὶ τὰ πάθη δυσαπάλλακτα ποιοῦσι.

Καθυπερτερηθέντες δὲ ἢ ἀκτινοβοληθέντες οἱ τὰ πάθη ἐπιπέμποντες ὑπὸ τῶν ἀγαθοποιῶν, λέγω δὴ Δία, Ἀφροδίτην ἢ Ἑρμῆν, κηδεμόνα καὶ οὐκ ἐπονείδιστον ποιοῦσι καὶ τὰ πάθη μέτρια καὶ εὐπαρηγόρητα, ἔσθ᾽ ὅτε δὲ καὶ εὐαπάλλακτα, καὶ μάλιστα ἐάν τις τῶν ἀγαθαποιῶν ἀνατολικὸς ὢν ἐπιθεωρήσῃ τοὺς τὸ αἴτιον ποιοῦντας τόπους· ὁ μὲν γὰρ τοῦ Διὸς διὰ πλούτου περιουσίαν καὶ βοήθειαν ἀνθρωπίνην τά τε σίνη κρύπτειν εἴωθε καὶ τὰ πάθη παρηγορεῖν· σὺν δὲ τῷ τοῦ Ἑρμοῦ κατοπτεύων ὅπως δήποτε οὓς προεῖπον δεκανοὺς ἢ τόπους, βοηθείαις ἰατρῶν καὶ φαρμακῶν συναστρίαις ἀπαλλάττουσιν ἢ παρηγοροῦσι τὰς κακώσεις. ὅτε δὲ <ὁ> τῆς Ἀφροδίτης ἑῷος ἐπιθεωρήσῃ τοὺς αἰτιατικοὺς τόπους, τὰ μὲν σίνη οὐκ ἄμορφα κατασκευάζει, τὰ δὲ πάθη διὰ προφάσεως θεῶν ἢ χρησμῶν ἢ περιάπτων ἢ ἀποτροπιασμῶν ἢ εὐχῶν τινων θεραπεύει. ὁ δὲ Ἑρμῆς μόνος ἐπιθεωρήσας τὸν παρ᾽ αἵρεσιν κακοποιὸν ἀστέρα καλῶς κείμενος ἐπικουρίας τινὰς ἢ καὶ πορισμοὺς δι᾽ αὐτῶν τῶν σινῶν ἢ καὶ παθῶν παρέχεται τοῖς οὕτως ἔχουσιν.

1 ἀπὸ A : κατὰ M. 2 κε′ corr. : κ′ codd. 3 ὄντας A : ἰόντας M fors. recte. εἰς A 4 ἐφ᾽ ὧ codd.; corr. 6 σινοῦντας A. 8 πίνακι] De tabulis deperditis cf. supra p. 197, 27. 11 μέλλη A. 13 γενέσεως A. 16 οἱ corr. : ἢ codd. ἐπὶ πέποντες A. 17-18 κηδεμονίαν coni. Kroll. 21 τόπῳ cum tribus punctis A. 23 τῷ M : τὸ A. 23-24 ἢ τόπους superscr. in M. 24 φαρμακοῖς συναστρ′ cum tribus punctis A : φαρμακείαις σὺν ἀστρ′ M : φαρμακῶν συναστρίαις scripsimus, cf. infra p. 210, 6-7, ἰατρῶν συναστρίας. — Συναστρία est astrologis "amicitia temporaria", cf. Procl., *Paraphr. Ptol.*, p. 267 (ed. 1635). 25 ὁ suppl. ἑῷος scripsi : ἕως cum tribus punctis A : omis M. 26 αἰτικοὺς A. 28 εὐωχῶν codd., corr. 30 ποριασμούς A.

[1] In Hermetis Trismegisti "Iatromathematicis" ab Iedelero iuniore editis (*Medici graeci minores*, I, p. 387 ss., 430 ss.) nihil de decanis invenimus.

Ἰδικῶς δὲ καί τινα ζῴδια καὶ ἀστέρες τῶν ἀπλανῶν ἐν τῷ περὶ θεῶν τόπῳ ἢ ἐν τῷ ὑπὸ γῆν μοιρικῶς εὑρισκόμενοι ἢ καὶ ὡροσκοποῦντες μεγάλας βοηθείας διὰ θεῶν ἐπιφανείας ἢ δι' [f. 145] ὀνείρων παρέχονται τοῖς γεννωμένοις· καὶ ὁ μὲν Σκορπίος οὕτως εὑρισκόμενος καὶ μάλιστα περὶ μοῖραν κζ', ἔνθα ἐστὶν ὁ λαμπρὸς τοῦ Ὀφιούχου, δι' ἐπιφανείας ἢ δυνάμεως Ἀσκληπιακῆς ἢ Σεραπιακῆς[1] ἢ ἰατρῶν συναστρίας θεραπεύει τοὺς οὕτω γεννωμένους. ὁ δὲ τοῦ Στάχυος τῆς Παρθένου, ὅς ἐστιν περὶ τὴν κθ' μοῖραν, οὕτως εὑρισκόμενος διὰ Μητρὸς θεῶν ἢ Κόρης ἢ Ἀφροδίτης[2] ὕπαυγος ὑγείας ἀποτελεῖ· ὁ δὲ ἐπὶ τῆς κεφαλῆς τοῦ ἡγουμένου Διδύμου, ὅς ἐστιν περὶ τὰς κς' μοίρας αὐτῶν, εὑρισκόμενος πρὸ ζ' μοιρ(ῶν) ἐν τῷ περὶ θεῶν τόπῳ ἢ ἐν τῷ ὑπὸ γῆν κέντρῳ ἢ ὡροσκοπῶν δι' Ἑρμοῦ ἢ Τελεσφόρου ἢ Ἀπόλλωνος[3] τὰς βοηθείας ποιεῖ· ὁ δὲ ἐπὶ τῆς κεφαλῆς τοῦ ἑπομένου Διδύμου, ὅς ἐστιν ἐπὶ τῆς κθ' μοίρας αὐτῶν, οὕτως εὑρισκόμενος καὶ μάλιστα ἐπὶ νυκτερινῶν γενέσεων δι' Ἡρακλέους ἢ <ἡμερινῶν διὰ> Διοσκόρων[4] βοηθείας ἢ ἐπιφανείας παρέχει. καὶ ὁ λαμπρὸς δὲ τοῦ Κυνὸς ὁ παρανατέλλων τῇ κ' μοίρᾳ τῶν Διδύμων καὶ ἐν οἷς προεῖπον τόποις εὑρισκόμενος καὶ μάλιστα ἐπὶ νυκτερινῶν γενέσεων τὰς ἀπὸ Ἑκάτης ἢ

2 θεων M (cf. infra v. 11) : θεὸν A. ὑπογ(είῳ) M. 3 διὰ θεῶν ἢ δι' ἐπιφ. ἢ ὀνείρ. codd.; corr. ex Exc. Par. 6 σαραπιακῆς M. 6-7 ἱερῶν συνάστρας cum tribus punctis A; cf. supra p. 209, 24 et infra Exc. Paris. p. 225, 23. 8 τῆς κθ' codd. 9 ὑγείας ex Exc. Paris. p. 225, 25 corr.; ταύτας A : οὖσα τὰς ἰάσεις M, quod correctio librarii esse videtur. 10 τὰς κθ' codd.; corr. 11 i. e. ἐντὸς ἑπτὰ μοιρῶν ἀπὸ τοῦ τόπου. 12 ὑπογ(είῳ) M. τελεσφορεῖ A. 13 ἡγουμένου Διδ. codd.; corr. ex Ptolem., cf. n. 3. 14 τὴν κθ' codd. 15 γεύσεων A. ἡμερινῶν διὰ suppl., cf. Exc. Paris. p. 225, 26. 15-16 διοσκοριῶν A. 17 τόπῳ codd.; corr. 18 τὰ ἀπὸ ἑκάστης A.

---

1 " Complures astrologi hunc (Ophiuchum seu Anguitenentem) Aesculapium finxerunt " (Hygin.; *Astr.*, II, 14), quia Aesculapio serpens est sacer (v. Boll, *Sphaera*, p. 113). — Aegyptiorum Serapidem Graeci suo medicinae deo comparaverunt; cf. Preller-Jordan, *Röm. Myth.*, t. I, p. 377.

2 Virginem caelestem " spiciferam " alii Cererem seu Matrem deorum, alii Proserpinam, alii Atargatin seu Venerem esse contenderunt; cf. Bücheler, *Carmina epigraph.*, n° 24; Boll, *Sphaera*, p. 480. — Cf. supra p. 199, n. 1.

3 Cf. Ptolem. Tetrab., I, 9: Τῶν δὲ ἐν ταῖς κεφαλαῖς (τῶν Διδύμων) δύο λαμπρῶν ὁ μὲν ἐν τῇ προηγουμένῃ τῷ τοῦ Ἑρμοῦ, καλεῖται δὲ καὶ Ἀπόλλωνος, ὁ δὲ ἐν τῇ ἑπομένῃ τῷ τοῦ Ἄρεως, καλεῖται δὲ Ἡρακλέους. Hermes ad Geminos pertinere videtur quia, sicut Dioscuri (v. n. 4), gymnasiis et arti palaestricae praesidet. — Quae ratio inter Telesphorum et Geminos intercedat, non perspicio. — De Apolline, cf. n. 4.

4 " Geminos complures astrologi Castorem et Pollucem esse dixerunt ... alii dixerunt Herculem esse et Apollinem " (Hygin, *Astron.*, II, 22). De Hercule et Apolline iam a priscis temporibus pro Geminis habitis, cf. supra p. 188, 10; *Sphaera*. p. 124 ss., 480, n. 1.

αὐτοῦ τοῦ Ἄρεως ἢ Ἀνούβιδος[1] ἢ καὶ τὰς διὰ θυσιῶν ἢ καὶ πυρὸς ἢ αἵματος ἢ ἀποτροπιασμῶν βοηθείας ἢ ἐπιφανείας παρέχεται· ὁ δὲ ἐπὶ τῆς Λύρας δι' Ἀπόλλωνος ἢ Ἑρμοῦ[2]· οἱ δὲ ἐπὶ τῶν κεράτων τοῦ Αἰγόκερω καὶ οἱ Ἔριφοι καὶ ἡ Αἴξ, ἐφ' ὧν προεῖπον τόπων εὑρισκόμενοι, διὰ Πανὸς ἢ δι' Ἑρμοῦ[3] τὰς βοηθείας ἢ τὰς ἐπιφανείας ποιοῦσι, μάλιστα ἐὰν καὶ τῶν ἀγαθοποιῶν τις τοὺς προειρημένους τόπους ἐπιθεωρήσῃ.

Ἕκαστος δὲ τῶν πλανητῶν κατὰ τὴν οἰκείαν αὐτοῦ φύσιν ἐπὶ τῶν προδεδηλωμένων τόπων εὑρισκόμενος καὶ μάλιστα οἱ ἀγαθοποιοὶ τὰς βοηθείας καὶ ἐπιφανείας ποιοῦσι κατὰ τὰς τῆς φύσεως αὐτῶν δυνάμεις· καὶ ὁ Κρόνος δὲ ἐπὶ ἡμερινῆς γενέσεως τὰς ἰδίας ἢ καὶ τὰς διὰ Πλούτωνος καὶ Ποσειδῶνος[4] ὄψεις καὶ βοηθείας παρέχεται καὶ ἐξ ἀντιπαθείας τῶν ἰδίων βοτανῶν καὶ τῶν ἄλλων θεραπείας παρέχεται· ἐπὶ δὲ τῶν νυκτερινῶν γενέσεων κακῶς κείμενος τὰς διὰ τετελευτηκότων προσώπων ἢ <γυναικῶν> ἐπισήμων καὶ δεισιδαιμονιῶν παρέχεται, καὶ ὁ Ἄρης δὲ τὰ τῇ ἑαυτοῦ φύσει ἐοικότα παρέχεται καὶ τοῖς μὲν ἐν νυκτὶ ὠφέλιμα καὶ φοβερά, τοῖς δὲ ἐν ἡμέρᾳ γεννωμένοις ἐναντία καὶ βλαβερά.

Iam supra (p. 194) monuimus caput quod in libro Angelico haec sequitur, fortasse eiusdem scriptoris esse. Cuius capitis versus nonnullos ex codice Mediolanensi descriptos petentibus nobis misit Dominicus Bassi, qua semper est liberalitate.

1 καὶ omis. A. 2 ἀποτροπιασμοῦ A. 4 καὶ οἱ ἐφεξῆς ὧν codd.; corr. ex Exc. Paris., p. 225, 30 : ἐξ pro αἴξ lectum corruptelam genuit. τόπον A. 5 πάντος A. 7 ἐπιθεωρήσει codd. 10 καὶ τὰς A. 11 ἢ καὶ τὰς διὰ omis. A. 13 De plantis Saturni, cf. *Catal.*, IV, p. 124, 136. 14 καλῶς Exc. Paris. 14-15 τελευτηκότων A. 15 γυναικῶν suppl. ex Exc. Paris., p. 226, 8. δυσειδαιμονίων (sic) codd. 16 τῇ omis. A. 17 νυξὶν M. φοβερὰ post γεννωμένοις transp. Exc. Paris, p. 226, 10, fors. recte.

---

[1] Anubin cynocephalum Cani caelesti adsimulatum esse ex ipsa eius natura sequitur; cf. Boll, *Sphaera*, p. 179. Sed cum Anubis mortuorum sepulchrorumque custos sit, peregrino deo Graeci Hecatam suam substituerunt. — Martem Caniculae coniunctum esse alibi non invenimus; sine dubio quia sidus eius calidum esse docebant astrologi, illam necessitudinem statuerunt.

[2] Cf. Ps.-Eratosth., *Catast.*, 24 : Λύρα κατεσκευάσθη τὸ μὲν πρῶτον ὑπὸ Ἑρμοῦ ἐκ τῆς χελώνης ... μετέλαβε δὲ αὐτὴν Ἀπόλλων. Cf. Hygin, *Astr.*, II, 7.

[3] Capricornum, Haedos, Capram Pani, pastorum deo, convenire manifestum est, et Hermes, pater eius, saepe et in fabulis et in monumentis cum eo coniungitur. Praetera mythographi Aegyptii narrabant Pana, cum Typhonem fugeret, in flumen se deiecisse et Capricornum factum esse. Evhemerus quoque dixit Capram fuisse Panos uxorem (Hygin, fab. II, 13 et 28). Cf. praeterea Boll, *Sphaera*, p. 480.

[4] Cur Kronos per filios suos Plutonem Neptunumque apparitiones provocet et auxilium praebeat, nobis quidem non omnino perspicuum est.

Quos hic publici iuris facere iuvabit, quo facilius fragmentum hoc agnoscatur, si in collectaneis Byzantinorum vel in vetere opere astrologico inveniatur. Fieri poterit ut inde nomen auctoris ignoti detegatur, quod est in votis.

F. 142 (cod. Med.). ρλη'. Περὶ συναφῶν καὶ ἀπορροιῶν τῆς Σελήνης πρὸς τοὺς ἀστέρας.

Κενοδρομοῦσα ἡ Σελήνη καὶ ἀκαταμαρτύρητος παρὰ τῶν ἀγαθοποιῶν, μετρίους φιλερήμους ποιήσει, ἔτι δὲ μᾶλλον ἀφαιρετικὴ οὖσα οὐ μόνον μετρίους ἀλλὰ καὶ πτωματικοὺς ποιήσει, χεῖρον δὲ καὶ ἐὰν ὑπὸ δύσιν τύχωσιν ἢ ἀποκλίναντες. πρὸς δὲ τὰς φύσεις τῶν ζῳδίων τὰ συμβαίνοντα ἔσται (f. 142v)· Σελήνη Κρόνῳ συνάπτουσα, ἀνατολικὴ μὲν ὑπάρχουσα, πρὸς βίον ἀγαθή, ὀφθαλμοὺς δὲ ἀδικεῖ, καὶ στραβοὺς ἢ μύωπας ἢ γλαυκοὺς ἀποτελεῖ. πάντως δὲ σῖνος ἐν ὀφθαλμοῖς ποιήσει, ἢ τὴν ὄψιν [lacuna?]. καὶ τοὺς μὲν γεννηθέντας ποιεῖ συνετούς, ἀπροσκόπους δὲ περὶ τὰς πράξεις καὶ δειλούς· κτλ.

Et post nonnulla :

F. 143. Καὶ ἐπιστήμονας ἀποτελεῖ καὶ παιδείας πολλῆς· τινὰς δὲ μυροπώλους, ἢ ἀνθοπλόκους, ὅσα ἐν ἑορταῖς προσήκει (cf. supra p. 189, 9)· ἐὰν δὲ ἡ Ἀφροδίτη βλάπτηται ἢ ἐν τόπῳ κακῷ ἵσταται ἢ μαρτυρεῖται ὑπὸ Κρόνου, ἐριουργοὺς ἢ ἱστουργοὺς ἀποτελεῖ· ἀπὸ δὲ Ἀφροδίτης ἀπορρέουσα τὰς ἡδονὰς καὶ πάθη καὶ πᾶσαν τὴν τῶν ἀφροδισίων φύσιν ποιεῖ· οἱ δὲ τοιοῦτοι ἀπὸ μικρᾶς τῆς ἡλικίας μιγήσονται γυναιξὶν οὐκ ἀγαθαῖς δέ. δυσπράκτους γὰρ καὶ πολυψόγους κτλ.

Desinit (f. 143v) ἐκεῖνο δέ σοι πρὸ πάντων νοείσθω ὅτι οἱ ὕπαυγοι καὶ ἐν τοῖς ἀποκλίμασιν ὄντες, οὐδὲ μίαν ἔχουσι λύσιν, οἱ δὲ ἐπὶ τῶν κέντρων καὶ τῶν ἐπαναφορῶν καὶ ἔξαυγοι ἰσχύουσιν· ἐῴων δὲ ὄντων αὐτῶν, θερμοὺς ποιοῦσιν καὶ τοῖς πράγμασιν.

THEOPHILI DE STELLIS FIXIS

Caput Theophili de stellis fixis quod ex ipso Palchi libro, ut videtur, excerpsit, edimus ex codice Angelico (A), f. 209, ubi ei est titulus 'Αποτελέσματα τῶν παρανατελλόντων ἀστέρων ἐν πάσαις καταρχαῖς καὶ ἐρωτήσεσιν et ex cod. Paris. Suppl. gr. 1241, saec. XIV, a Minoide Myna ex Oriente allato et partim madore pessumdato (P), f. 30. Praeterea usi sumus codice Marciano 334, s. XIV (M), f. 26, κεφ. ϛ'. Quo in codice numeri longitudinum stellarum pro temporum ratione ita variati sunt, ut auctorem huius syllogae annos c. 790 post Ptolemaeum sive a. 930 p. C. n. scripsisse facile appareat. At longitudinum numeri, quales exhibent codices Angelicus et Parisinus, ad annum 768, id est ad Theophili Edesseni aetatem quadrant, quippe qui a. 785 p. C. n. mortuus est. E. g. Arcturo apud Ptolemaeum adscribitur longitudo ♍ 27°, in codd. A P ♎ 3° 20′, in cod. M ♎ 4° 55′; superant igitur codd. A P Ptolemaei numerum 6 gradibus 20 minutis, cod. M 7 gradibus 55 minutis. Similem in modum Reguli (τοῦ ἐπὶ τῆς καρδίας τοῦ Λέοντος) apud Ptolemaeum longitudo

est ♌ 2° 30′, in codd. A P 8° 50′, in cod. M 10° 25′ : differunt igitur A P a Ptolemaeo 6° 20′, M 7° 55′ ut supra. Numeri in codice M plerumque optime conservati sunt aut levissima sanandi correctura praeter longitudinem extremae Eridani stellae, de qua ipsi Ptolemaei codices valde discrepant. Plura vitia in codd. A P occurrunt : quae aut sanavimus aut in adnotatione significavimus. Ceterum 29 stellae solum hic describuntur omisso Gorgone Persei, qui ab Anonymo anni 379 (v. supra p. 200, 19) post τὸν ἐπὶ τοῦ γόνατος τοῦ Τοξότου nominatur.

***

Theophilum capite astrologi anni 379 de stellis consurgentibus usum esse cum ex toto argumento tum ex ipsis eius verbis apparet, sed ex uberrima qualitatum enumeratione quas singula astra decernunt, pauca elegit, ordine tamen nominum saepe servato. Ne singula persequamur, unum exemplum afferemus. De stella in capite Geminorum dicunt :

Astrologus a. 379, p. 201, 3.	Theophilus, 215, 20.
ποιοῦσι τοὺς οὕτω γεννωμένους ἀρχικούς, δεινούς, δράστας, παραβόλους, ἀνυποτάκτους, θυμικούς, αὐθάδεις, τυραννικούς, πολέμων προϊσταμένους, ἐνδόξους· ἐπὶ δὲ ἡμερινῆς γενέσεως ὡροσκοποῦντες ποιοῦσιν ὑβριστάς, ὠμούς, ἀνελεήμονας, προπετεῖς, ἅρπαγας, τεταραγμένους, μεθύσους· ἐὰν δὲ μεσουρανῶσιν, οὐ καλῷ τέλει πάντως ἀπολλυμένους.	σημαίνει παραβόλους τινὰς καὶ ἀνυποτάκτους στρατιώτας καὶ θυμικοὺς καὶ αὐθάδεις καὶ ἀνελεήμονας, ἁρπαγάς τε καὶ ὑβριστάς, μὴ καλῷ δὲ τέλει κεχρημένους.

Theophilus veteris astrologi sententias non solum mirum in modum decurtavit, sed ad libidinem interdum mutavit. Nam cum Christianus esset pius — quod ex introductione libri infra edenda elucet — quidquid paganam superstitionem olebat, delere conatus est : nomina deorum quae occurrebant praeter solita planetarum suppressit, et sacerdotibus eorum clericos et episcopos substituit (e. g. p. 214, 14, κληρικοὺς ὀνομαστοὺς ἢ ἀρχιερεῖς καὶ ἐπισκόπους, pro p. 199, 15, ἱεροφάντας, ἱερεῖς μεγαλοτίμους ἢ τελετῶν τινων προφήτας etc.).

Sed et suo arbitratu quaedam inseruisse videtur. Nam cum de rebus publicis et de bellis saepe consuleretur, quippe qui astrologus chaliphae Almahdi erat, illae quaestiones ei semper maximae curae fuerunt. Itaque saepe in fine paragraphorum talia addidit, e. g. p. 216, 5 : Συμβάλλονται δ' αἱ τοιαῦται καταρχαὶ εἰς προβολὴν τῶν ἀνυόντων τὰς δημοσίας εἰσφοράς, vel p. 217, 10 : Συμβάλλεται ἡ τοιαύτη καταρχὴ εἰς προβολὴν ἀνατολικῶν ἀρχόντων καὶ στρατηγῶν.

Τὰ παραλειπόμενα
[τῶν καταρχῶν] τῶν παρανατελλόντων ἀστέρων ἀποτελέσματα
ἐν πάσαις καταρχαῖς καὶ ἐρωτήσεσιν.

Ὁ Στάχυς τοῦ Ζυγοῦ μοίρας β′ μς′ νότιος, μεγέθους α′, καὶ ὁ Λυραῖος Τοξότου μοίρας κγ′ μ′ βόρειος, μεγέθους α′, καὶ ὁ λαμπρὸς τῆς Ὄρνιθος Ὑδροχόου ιε′ λ′ νότιος, μεγέθους α′· οὗτοι οἱ γ′ κράσεώς εἰσιν Ἀφροδίτης καὶ Ἑρμοῦ· ἰσομοιροῦντες οὖν τοῖς κέντροις καὶ τοῖς φωστῆρσι καὶ τῷ κλήρῳ τῆς τύχης ἐν πάσῃ καταρχῇ σημαίνουσι λαμπρότητα τῆς καταρχῆς καὶ εὐχέρειαν τῶν πραγμάτων καὶ εὐδοκίμησιν, καὶ ἐὰν ὁ Ζεὺς συσχηματισθῇ ἑνὶ τούτων ἢ καὶ συνῇ, ἐπιφανεστέραν δείκνυσι τὴν πρᾶξιν καὶ ἡγεμονικωτέραν· εἰ δὲ Ἄρης, ὀξυτέραν καὶ δραστικωτέραν.

Ὡσαύτως καὶ ὁ βόρειος Στέφανος τῆς αὐτῆς κράσεως ὑπάρχει· συγκεντρούμενος γὰρ καὶ αὐτὸς καὶ τοῖς φωστῆρσι συνανατέλλων σημαίνει κληρικοὺς ὀνομαστοὺς ἢ ἀρχιερεῖς καὶ ἐπισκόπους.

Ὁ δὲ τοῦ νοτίου Ἰχθύος, τῆς αὐτῆς ὢν κράσεως, σημαίνει βραδυτῆτα τῆς καταρχῆς, ὅμως οὖν τέλος εὔχρηστον.

Πάλιν καρδία Λέοντος Λέοντος μοίρας η′ ν′ βόρειος, μεγέθους α′· Ἀρκτοῦρος Ζυγοῦ γ′ κ′ βόρειος, μεγέθους α′· Ἀντάρης Σκορπίου ιθ′, μεγέ-

1-3 Ἀποτελέσματα τῶν παρανατελλόντων ἀστέρων ἐν πάσαις καταρχαῖς καὶ ἐρωτήσεσιν A. 2 τῶν καταρχῶν uncinis inclus. ἄστρων· τὰ P. 4 Numerus graduum Spicae qualem praebent A P suspectus : cum Ptolemaeus habeat ♍ κς′ μ′ exspectamus apud Theophilum ♎ γ′, non β′ μς′. Theophilus in suo Ptolemaeo aut legit ♍ κς′ κς′ (at in Syntaxi quidem tales minutorum numeri non inveniuntur) aut ♍ κς′ κ′, ut ipse scripserit non ♎ β′ μς′, sed β′ μ′. 4-6 Ὁ στάχυς ♎ μοίρας δ′ λε′ νότιος μεγέθους α′· καὶ ὁ λυριαῖος (sic) ♐ μοίρας κε′ ιε′ βόρειος μεγέθους α′ καὶ ὁ λαμπρὸς τῆς ὄρνιθος ♒ ιζ′ ε′, μεγέθους α′ M. βό(ρειος) A P : in marg. νότιος P. 5 κς′ μ′ A P : corr. 6 νότιος omis. P. λ′ omis. A. 7 καιροῖς P. 7-8 τὸν κλῆρον P. 8 ἐν omis. A P. 8-9 σημασίαν σημαίνει λαμπροτάτης καταρχῆς A P : sed σημασίαν σημαίνει librarius ex falsa coniectura scripsit pro ση ση, idest σημαίνουσιν. 9 εὐδοκιμίαν ut videtur A. 10 δει////νυσθαι M. 11 post ἡγεμονικωτέραν in M insertum : Ὁ ♎ κβ′ λε′. 12 τῆς αὐτῆς ἐστι κράσεως A. 12-13 σύγκεντρος μὲν γάρ A P. 13 σημαίνει omis. P. Post ἐπισκ. transp. A. 15 in marg. man. 1 : ♒ ιδ′ νε′ M (ad piscem australem). 16 ἄχρηστον A. 17-215, 2 Πάλιν καρδία Λέοντος ♌ μοίρας ι′ κε′ βόρειος μεγέθους α′· Ἀρκτοῦρος βόρειος ♎ δ′ νε′ μεγέθους α′· Ἀντάρης ♏ η′ [leg. κ′] λε′ μεγέθους β′· ὁ λαμπρὸς τοῦ Κυνὸς ♊ κε′ λε′ μεγέθους α′ νότιος· ὁ λαμπρὸς τοῦ Ἀετοῦ ♑ ια′ με′ βόρειος μεγέθους α′ M. 17 Pro καρδία in A P figura trigoni posita est. Λέοντος - μεγέθους α′ omissum in A in lacuna circa 22 litterarum. 18 βόρειος ante Ζυγοῦ transp. P M.

θους β′· ὁ λαμπρὸς τοῦ Κυνὸς Διδύμων κδ′, μεγέθους α′, νότιος· ὁ λαμπρὸς τοῦ Ἀετοῦ Αἰγόκερω ι′ κ′ βόρειος, μεγέθους α′. οὗτοι οἱ πέντε κράσεώς εἰσιν Ἄρεως καὶ Διός· συνκεντρούμενοι οὖν ἐν ταῖς καταρχαῖς καὶ τοῖς φωστῆρσι συνανατέλλοντες καὶ τῷ κλήρῳ τῆς τύχης σημαίνουσι βασιλεῖς καὶ ἐνδόξους στρατηγοὺς καὶ φοβεροὺς ἄνδρας καὶ ἀνυποτάκτους, ἁρμόζουσι δ' αἱ τοιαῦται καταρχαὶ εἰς ἐπιστρατείας καὶ στρατηγίας καὶ προβολὰς βασιλέων καὶ στρατηγῶν καὶ τῶν τοιούτων.

Πάλιν ὁ ἐπὶ τοῦ ἀριστεροῦ ἀκρόποδος τοῦ Ὠρίωνος, Ταύρου μοίρας κς′, νότιος, μεγέθους α′, καὶ ὁ μέσος τῶν τριῶν τῆς ζώνης τοῦ Ὠρίωνος Διδύμων μοίρας <...> νότιος, μεγέθους β′, καὶ ὁ ἐπὶ τοῦ δεξιοῦ ὤμου τοῦ Ἡνιόχου Διδύμων θ′ ι′ βόρειος, μεγέθους β′, καὶ ὁ ἐπὶ τοῦ γόνατος τοῦ Τοξότου Τοξότου μοίρας κγ′ κ′ νότιος, μεγέθους β′, καὶ ὁ λαμπρὸς τῆς Αἰγὸς Διδύμων μοίρας α′ κ′ βόρειος, μεγέθους α′· οὗτοι οἱ πέντε κράσεώς εἰσι Κρόνου καὶ Διός· συγκεντρούμενοι οὖν καὶ συνανατέλλοντες τοῖς φωστῆρσι καὶ τῷ κλήρῳ τῆς τύχης σημαίνουσι τὰς καταρχὰς περικτητικὰς καὶ ἐπωφελεῖς· συμβάλλονται δ' αἱ τοιαῦται καταρχαὶ εἰς οἰκοδομὰς ναῶν καὶ πόλεων καὶ τῶν τοιούτων.

Πάλιν ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἑπομένου τῶν Διδύμων Καρκίνου μοίρας γ′ βόρειος, μεγέθους β′, κράσεως Ἄρεως καὶ Κρόνου· οὗτος παρανατέλλων ἑνὶ τῶν κέντρων ἢ τοῖς φωστῆρσιν ἢ τῇ τύχῃ σημαίνει παραβόλους τινὰς καὶ ἀνυποτάκτους στρατιώτας καὶ θυμικοὺς καὶ αὐθάδεις καὶ ἀνελεήμονας, ἅρπαγάς τε καὶ ὑβριστάς, μὴ καλῷ δὲ τέλει κεχρημένους.

2 Αἰγόκερω ιβ′ A : ια′ P : verum numerum ex Ptolemaeo et M restituimus. 3 κράσεις P. οὖν omis. MP. 4 ση ση (i. e. σημαίνουσιν) P. 6 ἀρχὰρχαὶ (sic) P. ἐπιστρατείαν καὶ στρατηγίαν M : σατραπείας legit excerptor Venetus, cf. 221, 3. 7 προσβολὰς cod.; corr.; cf. 216, 6. 8 ὁ omis. P. 8-13 Ταύρου μοίρας κα′ [leg. κζ′] με′, μεγέθους α′, νότιος· καὶ ὁ μέσος τριῶν τῆς ζώνης τοῦ Ὠρίωνος ♊ μοίρας ε′ ιε′, νότιος· καὶ ὁ ἐπὶ τοῦ δεξιοῦ (compendio scriptum in cod.) ὤμου τοῦ Ἡνιόχου ♊ ι′ με′, μεγέθους β′· καὶ ὁ ἐπὶ τοῦ γόνατος τοῦ Τοξότου Τοξότου μοίρας κδ′ νε′, νότιος, μεγέθους β′· καὶ ὁ λαμπρὸς τῆς Αἰγὸς ♊ μοίρας γ′ [reponendum videtur β′] νε′ βόρειος, μεγέθους α′ M. 8 Pro κς′ calculo invenimus κς′ ι′. 9 μεγέθους α′ νότιος MP. 9-10 καὶ ὁ μέσος - β′ in textum recepimus ex M: omis. AP. 11 ♊ //// ι′ P. 12 η′ (sic A) incertum in P : scripsimus κ′. 13 α′ P : α′ η′ A : scripsimus α′ κ′. 14 συγκεντρουμένου καὶ συνανατέλλοντος P. οὖν M : τοίνυν A. 15 τὸ κλῆρος P. 15-16 περικτη(τικ)ὰς M (περικτητικάς scribit Paulus Alexandr.). 16-17 οἰκοδομίας M. 18 Καρκίνου omis. P. 19 μοίρας δ′ λε′ M. μόνου PM : μ cum signo Saturni superscr. A. οὗτε P. 20-21 ἐπιβόλους M. 21 καὶ ante θυμικοὺς omis. M. αὐθαύδεις (sic) P. 22-23 κεχρῆναι P : κεχρῆσθαι? A.

Πάλιν ὁ ἐπὶ τῆς δευτέρας χηλῆς τοῦ Σκορπίου Ζυγοῦ κς′ βόρειος, μεγέθους β′, καὶ ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἡγουμένου Διδύμου <Διδύμων> κθ′ μ′, μεγέθους β′· οὗτοι οἱ δύο κράσεώς εἰσι Διὸς καὶ Ἑρμοῦ· συγκεντρούμενοι δὲ καὶ συνανατέλλοντες τοῖς φωστῆρσι σημαίνουσι δικαιοπραγίαν κατ' εὔνοιαν καὶ θεοσέβειαν καὶ πολυγνωσίαν· συμβάλλονται δ' αἱ τοιαῦται καταρχαὶ εἰς προβολὴν τῶν ἀνυόντων τὰς δημοσίας εἰσφοράς.

Πάλιν ὁ ἐν τῷ ἡγουμένῳ ὤμῳ τοῦ Ὠρίωνος Διδύμων ο′ κ′ νότιος, μεγέθους β′, καὶ ὁ Προκύων Καρκίνου μοίρας ε′ μδ′, μεγέθους β′, καὶ ὁ ἐπὶ τῷ δεξιῷ ὤμῳ τοῦ Ὠρίωνος Διδύμων μοίρας η′ κ′ νότιος, μεγέθους α′, καὶ ὁ κοινὸς Ἵππου καὶ Ἀνδρομέδας Ἰχθύων μοίρας κδ′ βόρειος, μεγέθους β′, καὶ Ἵππου ὦμος Ἰχθύων μοίρας η′ λ′ βόρειος, μεγέθους β′. οὗτοι οἱ πέντε κράσεώς εἰσιν Ἄρεως καὶ Ἑρμοῦ· συγκεντρούμενοι οὖν καὶ συνανατέλλοντες τοῖς φωστῆρσι σημαίνουσιν ἐν ταῖς καταρχαῖς στρατηγέτας πολεμικούς, μηχανικούς, δολίους καὶ ὠμοὺς καὶ ψεύστας καὶ ἀναιρέτας καὶ ἀνδροφόνους καὶ οὐ καλῷ τέλει κεχρημένους.

Πάλιν ὁ ἐπὶ τοῦ δεξιοῦ ποδὸς τοῦ Κενταύρου Σκορπίου ιδ′ μ′, μεγέθους α′ νότιος καὶ ὁ ἔσχατος τοῦ Ποταμοῦ Κριοῦ ε′ μ′ νότιος, μεγέθους α′, κράσεως Ἀφροδίτης καὶ Διός· οὗτοι συγκεντρούμενοι ἢ καὶ συνανατέλλοντες τοῖς φωστῆρσι σημαίνουσιν ὑπηκόους, ἀδόλους, φιλοθέους, καλοσυμβούλους, εὐγνώμονας· συμβάλλεται δὲ ἡ τοιαύτη καταρχὴ εἰς προβολὴν ἀγαθῶν ἀνδρῶν.

1-2 Πάλιν ὁ ἐπὶ τῆς δευτέρας χηλῆς τοῦ ♏ ♏ ο ε′ βόρειος, μεγέθους β′· καὶ ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἡγουμένου Διδύμου ♋ α′ ιε′, μεγέθους β′ M. 1 Numerus κς′ in AP corruptus : debebat κη′ λ′. 2 Διδύμων suppl. 3 κράσεις P. 4-5 καὶ εὔνοιαν A fors. recte. 5 δ' omis. M. 6 ἀνιόντων A. 7 ὁ - Ὠρίωνος in P madore evanuerunt, item multa alia verba usque ad καὶ οὐ v. 15 ; supplevimus ex AM. Διδύμων η′ νότιος in versu 7 A, falso numero ; ο β′ paulum rectius P : scripsimus ο κ′. Longitudinum numeri sic habentur in M : ὁ ἐν τῷ ἡγουμένῳ ὤμῳ τοῦ Ὠρίωνος Διδύμων α′ νε′ ... καὶ ὁ Προκύων ♋ μοίρας ζ′ νε′ [immo ε′] ... καὶ ὁ ἐν τῷ δεξιῷ ὤμῳ τοῦ Ὠρίωνος ♊ μοίρας θ′ νε′ ... καὶ ὁ κοινὸς Ἵππου καὶ Ἀνδρομέδας ♓ μοίρας κε′ με′ [restituendum νε′] ... καὶ Ἵππου ὦμος ♓ μοίρας ις′ [scribendum ι′ ε′]. 8 Καρκίνου omis. A. Numerus non prorsus cum Ptolemaeo concordat ; at ipsi Ptolemaei codices hic inter se dissentiunt. μεγέθους α′ M. ἐν τῷ AM. 9 κη′ aperto errore A (in P evanuit) : scribendum η′ κ′. 10 κυνὸς ἵππου A. Pro κδ′ calculus suadet κδ′ ι′. νότιος A. 11 ὦμος - μεγέθους β′ superscr. in A. 15 οὐκ ἀποτέλει P. 16-17 Πάλιν omis. AP. Numeri in M hi sunt : ὁ ἐπὶ τοῦ ποδὸς τοῦ Κενταύρου ♏ ις′ ιε′ ... καὶ ὁ ἔσχατος τοῦ ποταμοῦ ς′ νε′. De hoc numero vide supra in praefatione (p. 213). Numerus in AP traditus neque cum codicibus Ptolemaei neque cum codice M concordat ; ac ne M quidem cum Ptolemaei codicibus facit. 18 καὶ omis. M. 20-p. 217, 4 καταρχὴ - εὐτυχίαν τῆς omis. A.

Πάλιν οὐρὰ Λέοντος Παρθένου ὁ βόρειος, μεγέθους α' καὶ ὁ ἐπὶ τῆς ὀσφύος τοῦ Λέοντος Λέοντος ιθ' μη' βόρειος, μεγέθους β'· καὶ Ὕδρου αὐχὴν Λέοντος μοίρας ϛ' κ' νότιος, μεγέθους β'. οὗτοί εἰσι κράσεως Κρόνου καὶ Ἀφροδίτης, σημαίνουσι δὲ εὐτυχίαν τῆς καταρχῆς καὶ περίκτησιν μετά τινος ἀδικίας καὶ μεθ' ὑποκρίσεως.

Πάλιν ὁ λαμπρὸς τῆς Ὑάδος Ταύρου ιθ', κράσεως Ἀφροδίτης καὶ Ἄρεως· συνανατέλλων ἢ καὶ συγκεντρούμενος ἐν τῇ καταρχῇ σημαίνει μέγαν ἄνδρα καὶ περιβόητον καὶ εὐτυχῆ καὶ πλούσιον, ὑποτάσσοντα πόλεις καὶ χώρας καὶ μάλιστα τοῦ Ἀνταρέως διαμετροῦντος αὐτόν· συμβάλλεται δὲ ἡ τοιαύτη καταρχὴ εἰς προβολὴν ἀνατολικῶν ἀρχόντων καὶ στρατηγῶν.

1-3 Longitudines sic habentur in M : οὐρὰ Λέοντος ♍ β' [postulatur β' κε'] ... καὶ ὁ ἐπὶ τῆς ὀσφύος τοῦ Λέοντος ♌ κβ' ε' ... καὶ Ὕδρου αὐχὴν ♌ ζ' νε'. 2-3 καὶ Ὕδρου - β' omis. P. Verba supplevimus ex M, numerum ex Ptolemaeo et M. 5 περὶ κτῆσιν A. καὶ omis. MP. 6 τῶν Ὑάδων A : τοῦ Ὑάδος P. ιθ' dubium in P. Numerus sine dubio corruptus ; calculus efficit κ' λ'. Ταύρου κ' λε' M. 7 καὶ omis. AM. 8 καὶ omis. P.

EXCERPTA PARISINA

Haec excerpta edimus ex codice Parisino 2506, saec. XIV, f. 11 ss., (P), quem descripsimus, et ex codice Marciano 335, saec. XV, qui est noster Venetus 7, f. 100 ss., (V), cuius apographum v. d. Daniel Ricobboni petentibus nobis comiter misit. Praeterea ad locum p. 225, 20-p. 226, 10, qui in *Sphaera*, p. 479, iam typis expressus est, Parisino 2420, saec. XVI, usis umus (= O).

Collectanea, quae haec capita continent, sibi composuit astrologus quidam Constantinopolitanus saeculi XI (*Catal.*, II, p. 37, n. 1); ergo illius aevi est archetypus ex quo codices nostri fluxerunt. Excerptum vero paulo antea ex Palchi libro, ut videtur, factum esse iam supra monuimus, nam auctor eius ipse dicit se anno χ' Diocletiani, i. e. 884 p. C. n., scripsisse et ad hanc aetatem quadrant longitudine quae in codice Parisino notatae sunt [1]; ante longitudines excerptor cum quo quaeque stella ascendat gradu eclipticae, diligenter adnotat. Contra in codice Veneto mutatae sunt longitudines mirum in modum e. g. librarius longitudinem Spicae fert ♎ 15° 48′ 11″, qui numerus a Ptolemaeo circa 19 gradibus differt. Igitur secundum Ptolemaei regulam hic numerus ad annum p. Chr. n. 138 + 1900 = 2018 deduceret. Iam apparet librarius *vera* ratione usum praecessionis, quae non intra 100 annos, sed intra 76 annos unum gradum facit, suae aetati numeros accomodasse : vixit igitur

[1] Cf. supra p. 195, n. 2.

post Ptolemaeum 19 × 76 annos, i. e. circa annum p. Chr. n. 1444, quod ipsa scriptura codicis optime confirmatur.

Excerptor post breve prooemium duo fragmenta astrologi anni 379, quem Iulianum vocat (v. supra p. 195), praebet : Primum doctrinam de fixarum triginta stellarum effectibus, quam ex auctoris sui capite Ἀποτελέσματα τῆς τῶν ἀπλανῶν ἀστέρων ἐποχῆς, p. 198, 12-225, 19, exscripsit tabulis quoque usus quae nunc perierunt. Astrorum ordinem paulo aliter disposuit (v. ad p. 200, 21) et, ut diximus, positiones quas anno 884 obtinebant accurate adnotavit; sed virtutes vel vitia, casus felices infelicesque, quae ex singulis genituris pendent, paene ad verbum ex exemplari suo repetiit. Huic excerpto alterum sine intervallo coniunxit ex extremo capite Περὶ σινοποιῶν μοιρῶν, p. 210, 1 ss.

Sententias quasdam excerptorum modo mutavit vel verba quaedam interdum omisit et ducis sui vestigia, licet raro, deseruit, ne aequalium suorum fidem christianam offenderet. Quamquam deorum nomina non ubique suppressit, sicut Theophilus, et hierophantarum mysteriorumque sacerdotum nomina non abhorruit (p. 220, 16), tamen de apparitionibus (ἐπιφάνειαι) singulorum deorum loqui veritus est (p. 225, 22 ss.), et sacrificiis, quae ferro et sanguine fiunt daemonumque coniurationibus preces pias supplicationesque substituit (p. 225, 28, cf. supra p. 211, 1; cf. etiam p. 220, 18 et 199, 18). Remanserunt tamen nonnulla quae christianis offensionem afferre potuissent, et saeculo XIV librarius codicis Parisini ne in suspicionem heresiae incideret, nomina deorum cryptographice exaravit. Quod haud raro in libris astrologicis fieri solet [1].

In Excerptum saeculi IX librarius codicis Veneti fragmentum brevius inseruit (p. 220, 25 ss.). Compendium doctrinae Theophili de stellis fixis (supra p. 214 s.) esse videtur, sed verba quaedam aliunde petita sunt, ubi vestigia nominum stellarum Arabicarum deprehendimus (p. 221, 11).

***

Capita quae in codicibus Parisino Venetoque hoc, quod edimus, sequuntur Περὶ καθολικῶν σχημάτων τῆς Σελήνης et Καθολικὰ σχήματα περὶ σινῶν καὶ παθῶν (cf. *Catal.*, II, p. 43), utrum ad astrologum anni 379 referenda sint an non, nos nescire fatemur. Certe a capite codicis Angelici Περὶ συναφῶν καὶ ἀπορροιῶν τῆς Σελήνης, de quo supra (p. 212) verba fecimus, omnino diversa sunt. Si eidem scriptori saeculi IV adscribenda sunt atque prius fragmentum, certe aliena excerptor immiscuit, nam Vetti Valentis verba bis referuntur. (Cod. Paris., f. 13 : Φησὶ δὲ Οὐάλης ὅτι δεῖ ἐπιβλέπειν et Καθὼς ἐξέθετο ὁ Οὐάλης ἐν τῷ β' κεφαλαίῳ τοῦ πρώτου βιβλίου.)

Post illa capita inveniuntur notae brevissimae quibus titulus est Μοῖραι σινωτικαὶ ὀφθαλμῶν. Quas hic edere visum est, quia aut ex astrologo anni 379,

---

[1] Cf. *Catal.*, II, p. 217; IV, p. 45, 321 ss., f. 344r; Boll, *Sphaera*, p. 479. Crebra sunt cryptographica in codice Parisino 2419, saec. XV.

p. 208, 22 ss. excerptae, aut certe cum eo necessitudine quadam coniunctae sunt. Longitudinum numeri non omnino inter se consentiunt; sed cum Ptolemaei numeris longitudinum Vergiliarum et Frontis Scorpionis et Spicae Capricorni sive 3° 26′ sive 3° 30′ addita sint, haec 350 annos post Ptolemaeum sive a. 480 p. Chr. n. scripta esse videntur. Igitur haec fortasse Iulianum Laodicensem auctorem habent, cuius nomen toti collectioni excerptor praemisit (cf. supra p. 195).

Περὶ τῆς τῶν ἀπλανῶν ἀστέρων δυνάμεως.

Ἀναγκαῖον ᾠήθην καὶ τὰς τῶν ἀπλανῶν δυνάμεις τε καὶ ἐνεργείας καθυποτάξαι, ὡς πολλὰ δύνανται ἰσομοιροῦντες τοῖς κέντροις καὶ τοῖς πλανήταις, ξένας γὰρ καὶ περιδόξους γεννήσεις παρασκευάζειν εἰώθασιν, ὥς φησιν ὁ πολυΐστωρ Ἰουλιανὸς ἐν τοῖς αὐτοῦ ἀποτελέσμασιν· εἰσὶ δὲ αἱ τῶν ἀπλανῶν ἐποχαὶ κατὰ τὸ χ′ ἔτος τῆς Διοκλητιανοῦ βασιλείας οὕτω κατά τε μῆκος καὶ πλάτος.

Ὁ Στάχυς παρανατέλλει τῇ κθ′ μοίρᾳ τῆς Παρθένου, τοῦ Ζυγοῦ δ′ ι′, νότιος β′ ο′, μεγέθους α′, κρά(σεως) Ἀφροδίτης Ἑρμοῦ.

Ὁ λαμπρὸς τῆς Λύρας παρανατέλλει τῇ ι′ μοίρᾳ τοῦ Ὑδροχόου, Τοξότου κδ′, πλάτος βόρειος ξβ′, μεγέθους α′, κράσεως Ἀφροδίτης Ἑρμοῦ.

Ὁ μέγας Ἰχθὺς ὁ νότιος Ὑδροχόου ιδ′ λ′, νότιος κγ′ ο′, μεγέθους α′, κράσεως Ἀφροδίτης Ἑρμοῦ.

Ὁ λαμπρὸς τοῦ Ὄρνιθος τῇ ιβ′ τοῦ Αἰγόκερω, Ὑδροχόου ις′ μ′, βόρειος ξ′, μεγέθους β′, κράσεως Ἀφροδίτης Ἑρμοῦ.

Ὁ βόρειος Στεφάνου παρανατέλλει τῇ ις′ τοῦ Ζυγοῦ, <Ζυγοῦ> κβ′ ι′, βόρειος μδ′ λ′, μεγέθους β′, κράσεως Ἀφροδίτης Ἑρμοῦ.

Οὗτοι οἱ ἀπλανεῖς ἀστέρες ἰσομοίρως ὡροσκοποῦντες ἢ μεσουρανοῦντες ποιοῦσι τοὺς γεννωμένους οὐ μόνον περιφανεῖς καὶ εὐπόρους καὶ ἐνδόξους ἀλλὰ καὶ πολυμαθεῖς καὶ φιλοσόφους καὶ λογίους καὶ ποιητικοὺς καὶ ἐπιστημονικοὺς καὶ εὐφυεῖς καὶ φιλομούσους καὶ φιλοτέχνους καὶ χρηστοήθεις καὶ ἀπολαυστικοὺς καὶ τρυφηλοὺς καὶ εὐφροσύνους, συνετούς τε καὶ διανοητικοὺς καὶ εὐεπιβόλους καὶ κατορθωτικοὺς καὶ σχεδὸν αὐτοδι-

1 P(arisinus), f. 11; V(enetus), f. 100. 4 γενέσεις V. 8-9 καὶ τοῦ ♎ P : καὶ τοῦ omis. V : ♎ ιε′ μη′ ια″ πλάτ(ος) ν(ότιος) β′ ο′ V. 10-11 Αἰγόκερω ς′ κα′ ια″ V. 12 Ὑδροχόου κς′ η′ ια″, μεγέθους α′, πλάτος νότιος κγ′ ο′ V. 14-15 Ὄρνιθος ♒ κβ′ ιη′ ια″, μεγέθους β′, πλάτος βόρειος ξ′ ο′ V. 16 Ζυγοῦ suppl. : ♏ γ′ με′ ια″, πλάτος βόρειος V. 18 ἀπλάνοι (sic) V : omis. P. 19 ἐπιφανεῖς P. 20 ἢ λογίους V. 20-21 καὶ ἐπιστημονικοὺς omis. V. 22 τρυφελούς V. 23 ἐπιβόλους V.

δάκτους καὶ καθολικῶς διὰ λόγων ἀρετὴν δοξαζομένους, ζηλωτὰς ἀρετῶν, εὐστόμους, ἐπιχαρεῖς τῷ λόγῳ, ἐρασμίους, εὐαρμόστους, σπουδαίους, κριτικούς, μεγαλόφρονας ἐνίοτε καὶ πολυκοίνους, εὐκινήτους περὶ τὰ ἀφροδίσια, ἐάνπερ καὶ ὁ Ἄρης ἀνατολικὸς ὢν ὑπέργειος ἐπιθεωρήσῃ ἕνα αὐτῶν ὡρονομοῦντα· ἐὰν δὲ ἐπιθεωρήσῃ ἐπίκεντρος Ἄρης καὶ γράμμασι περιπλέκονται γραπτῶν χάριν ἢ ἐπιθυμιῶν τινων, ἐὰν μάλιστα Ἄρης πρὸς Ἥλιον ὡρονομήσῃ. ἐὰν δὲ ἐν τῷ δ' τύχῃ Ἄρης ἢ Ἀφροδίτη ἢ τῷ ζ', ἑνὸς τούτων ὡροσκοποῦντος, ἐκ τῶν ἐναντίων <ποιεῖ> σώφρονας, θεοσεβεῖς, ἐνεργεῖν ἀδυνάτους ἐν τοῖς ἀφροδισίοις ἢ σπανοτέκνους ἢ θηλυτέκνους· μεγάλη γὰρ διαφορὰ γίνεται ἐκ τῆς ἀπὸ τῶν κέντρων θέσεως τῆς Ἀφροδίτης καὶ τοῦ Ἄρεως· ἐὰν Κρόνος ἐπίδῃ τινὰ αὐτῶν τῶν ε' ἀπλανῶν ὡρονομοῦντα, ἰατρικῆς [γὰρ] ἔμπειροι γίνονται καὶ προγνῶσται καὶ ἀποκρύφων βίβλων καὶ τελετῶν πολυΐστορες, ἐὰν δὲ <Ζεὺς> ἐπιθεωρήσῃ ὡρονομοῦντα ἕνα τῶν ε', μόνας τὰς εὐτυχίας καὶ δόξας καὶ ἀρχὰς παρέχει· καὶ ἐν αὐτοῖς δὲ τούτοις διάφορά τινα εὑρήσομεν· ἐὰν γὰρ ὡροσκόπῃ ἢ μεσουρανῇ ὁ τοῦ Στάχυος, ἱεροφάντας, ἱερεῖς μεγαλοτίμους, φιλοσόφους ἢ τελετῶν τινων προφήτας καὶ μάλιστα τοὺς περὶ τὴν Ἑλλάδα γεννωμένους· καὶ ἐπὶ θηλυκῶν δὲ γενέσεων οὗτος εὑρεθεὶς ἱερείας ἢ ἱεροφαντίδας [f. 11v] ἢ μυστηρίων τελεστικῶν εἰδήμονας καὶ διὰ θεῶν μεγάλων βοηθουμένας· ἐὰν δὲ ὡροσκοπῇ ἢ μεσουρανῇ ὁ βόρειος Στέφανος, εὐδόξους στεφανηφόρους, ἀρχιερεῖς, βασιλέων φίλους, καὶ τῷ σώματι ἰσχυροὺς καὶ ὀνομαστούς, πολυφίλους· ἐὰν δὲ ὡροσκοπῇ ὁ νότιος Ἰχθύς, σπανοτέκνους ἢ βραδυτέκνους ἢ θηλυγόνους ἢ ἀτέκνους, λογίους δὲ πάνυ καὶ μᾶλλον εὐειδεῖς.

Οὗτοι οἱ ἄπλανοι ἀστέρες σὺν Ἡλίῳ ἢ Σελήνῃ ἢ κλήρῳ Τύχης εἰς τὸ μεσουράνημα τυχόντες, ὅσοι μὲν κράσεως Ἀφροδίτης Ἑρμοῦ εἰσιν εὐτυχεῖς εἰς καταρχὴν δουλειῶν, μάλιστα ἐὰν ὁ Ζεὺς σὺν αὐτοῖς συνοδεύῃ ἢ συσχηματίζηται· εἰ δὲ καὶ ὁ Ἄρης δυναμοῖ τὸν Δία. ὁ δὲ βόρειος Στέφανος δηλοῖ κληρικοὺς καὶ μητροπολίτας.

1 καθολικοὺς P. δι' ἄλλων V. 2 ἐπίχαρις P : ἐπίχαρεις (sic) V. ἐρασμίους P : εὐκοσμίους V. 3 ἐνίοτε post πολυκοίνους transp. V. 4 ἐπιθεωρήσει V. 5 ἐπιθεωρῇ P. Ἄρης. L. Ἑρμῆς? 7 ὡρονομήσει V. ἢ omis. V. ζ'] Αἰγόκερῳ codd. (signo astrol.). 8 ποιεῖ suppl. 9-10 θηλυτέμνους V. 11 ἐὰν ♄ corr.; cf. supra p. 199, 9 : ἐπάν codd. 12 ἰατρικοῖς cod., corr. γὰρ] del. ἔμπειροι (ειροι e corr.) P. 13 Ζεὺς suppl.; cf. supra p. 199, 11. 13-14 ἐπιθεωρήσει ὡροσκοποῦντα V. 14 μόνας] Leg. μείζονας? 15 τούτου V. An διαφοράν; cf. supra p. 199, 14. 18 θηλυκοῖς δὲ γενέσεως P. ἢ omis. V. 19 τελευτικῶν V. 25 Versus 25-p. 221, 15 codex Venetus praebet solus. Astrologus quidam Byzantinus haec interpolavit ex Theophilo (cf. supra p. 218). 25-26 μεσουράνημα signum astrolog. dubium. 27 σχηματίζεται codd.; corr. ex Theophilo.

ὁ δὲ μέγας Ἰχθὺς βραδύνει τὸ τέλος τῆς καταρχῆς, ἀλλὰ καλὴ ὑπάρχει· ὅσοι δὲ κράσεως Ἄρεως καὶ Διὸς <καλοὶ> εἰς προβολὴν ἀρχόντων καὶ βασιλέων καὶ στρατιωτῶν, εἴς τε ἄνδρας ἀνυποτάκτους στρατηγούς τε καὶ σατράπας. ὅσοι δὲ κράσεως Κρόνου καὶ Διὸς καλοὶ εἰς καταρχὴν οἰκοδομίας ναῶν πόλεων οἴκων καὶ τῶν ὁμοίων τούτου. ὅσοι δὲ Ἄρεως μόνου καλοὶ εἰς ἁρπαγὰς καὶ λῃστείας καὶ στρατείας· ὅσοι Διὸς Ἑρμοῦ κράσεως καλοὶ εἰς θεοσεβεῖς πράξεις καὶ δημοσίας· ὅσοι Ἄρεως Ἑρμοῦ καλοὶ εἰς μηχανικούς, δολίους, φονεῖς, ψεύστας, δυστυχεῖς· ὅσοι δὲ Ἀφροδίτης μόνης, Κένταυρος, πούς Γυναικὸς ἀλυσιδωτός, ἀριστερὸς πούς Γυναικός, καλοὶ εἰς εὐγνώμονας, ἀδόλους καὶ καλοὺς εἰς βουλάς, εἰς προβολὴν ἀκάκων ἀνδρῶν μάλα θαυμαστῶν καὶ ταπεινῶν τῇ φύσει· ὅσοι δὲ κράσεως Κρόνου Ἀφροδίτης, Χεὶρ βεβαμμένη, ὁ ἐν θρόνῳ καθήμενος, κεφαλὴ Ὀφιούχου, καλοὶ εἰς εὐτυχεῖς περικτήσεις πράγματων ἐξ ἀδικίας ἔχοντας, ὡς ὑποκεκρυμμένους. ὁ λαμπρὸς τῶν Ὑάδων καλὸς εἰς περίκτητον ἄνδρα καὶ μεγιστᾶνα εὐτυχῆ, πλουσιώτατον, ὑποτάσσοντα πόλεις· εἰ δὲ ὁ Ἄρης διαμετρεῖ, καλὸς εἰς σατραπίας.

Παρανατέλλοντες τῇ ε' μοίρᾳ τοῦ Λέοντος· ϛ'. <Ὁ ἐπὶ τῆς> καρδίας <τοῦ> Λέοντος, Λέοντος ι' ο', βόρειος ο' ι', μεγέθους α', κράσεως Διὸς καὶ Ἄρεως.

ζ'. Ἀρκτοῦρος τῇ λη' τοῦ Αἰγόκερω, Ζυγοῦ δ' λ', βόρειος λα' λ', μεγέθους α', κράσεως Ἄρεως καὶ Διός.

η'. Ὁ λαμπτὴρ τοῦ Ἀετοῦ τῇ ξ' τοῦ Αἰγόκερω, <Αἰγόκερω> ια' κ', βόρειος κθ' ι', μεγ(έθους) β', κράσεως Ἄρεως καὶ Διός.

θ'. Ἀντάρης παρανατέλλει τῇ ιε' τοῦ Ὑδροχόου, Σκορπίου κ' ι', νότιος δ' ο', μεγέθους β', κράσεως Ἄρεως καὶ Διός.

ι'. Κύων ὁ Σείριος Καρκίνου κε' ι', νότιος λθ' ι', μεγέθους α', κράσεως Ἄρεως καὶ Διός.

Οὗτοι οἱ ἀστέρες ἰσομοίρως ὡροσκοποῦντες ἢ μεσουρανοῦντες ποιοῦσιν ἐνδόξους στρατηγικούς, ἔθνη ὑποτάσσοντας, φοβερούς, ἡγεμονικούς,

2 καλοὶ suppl. προσβολὴν cod. 3 Lege στρατηγῶν, ut Theophilus p. 215, 7. 4 πόλεων corr. ex Theophilo : τελέων cod. 6 τοῦ Διὸς cod. 8 Γυναικός] Haec mulier est Andromeda, cf. Ideler, *Sternnamen*, p. 424; *Sphaera*, p. 436. 11 ὁ ... καθήμενος] Hic est Cassiopeia. 16 Scribendum παρανατέλλων. τῇ ε' - Λέοντος omis. V. ϛ' et ceteri numeri triginta astrorum omis. V. ὁ ἐπὶ τῆς suppl. Lac. V fere litt. in P : omis. V. 17 τοῦ suppl. Λέοντος κα' λη' πλάτος βόρ. ο' ι' V. 18 Post Ἄρεως] τῇ ε' μοίρᾳ τοῦ Λέοντος add. V. 19 Ἀρκτοῦρος Ζυγοῦ ιϛ' κ', πλάτος βόρειος λα' λ', κράσεως ♂ ♃ V. 21 Ἀέτου Αἰγόκερω κβ' νη', πλάτος βόρειος κθ' ι', κράσεως ♂ ♃, μεγέθ. β' V. Αἰγόκερω suppl. 23 Ὑδροχόου Τοξότου α' μη' ια'', πλάτος νότιος δ' ο' V. — 25 Canicula cum stella ιζ' (infra p. 222, 24) in Anonymo coniungitur p. 200, 32. Numerus longitudinis excidit, ut infra saepius. σύριος ♋ ϛ' μη' ια'', πλάτος νότιος λθ' ι', κράσεως ♂ ♃ V.

στρατηλάτας, διοικητικούς, κεκινημένους, ἀνυποτάκτους, παρρησιαστικούς, φιλονείκους, ἀνυστικούς, εὐεπιβόλους, ἐπάνδρους, νικητικούς, πολυκτήμονας πάνυ καὶ ἄγαν πλουσίους, μεγαλοψύχους, φιλοτίμους, φιλοκάλους, οὐ πάντως δὲ εὐθανατοῦντας.

Τῇ κ' μοίρᾳ Ταύρου. ια'. Ἀριστερὸς ποὺς Ὠρίωνος Ταύρου κζ' κ', νότιος λα' λ', μεγέθους α', κράσεως Διὸς καὶ Κρόνου.

ιβ. Ὁ μέσος τῶν γ' τῆς ζώνης Ὠρίωνος λ' μοίρᾳ τῶν Διδύμων, <Διδύμων> δ' ν', νότιος κδ' ν', μεγέθους β', κράσεως Διὸς καὶ Κρόνου.

ιγ'. Ὦμος δὲ Ἡνιόχου ε' μοίρᾳ τῶν Διδύμων, Διδύμων ιβ', βόρειος κ' ο', μεγέθους β', κράσεως Διὸς καὶ Κρόνου.

ιδ'. Γόνυ Τοξότου τῇ ιθ' μοίρᾳ, Τοξότου κδ' λ', νότιος ιη' ο', μεγέθους β', κράσεως Διὸς καὶ Κρόνου.

ιε'. Λαμπτὴρ τῆς Γοργόνης ιβ' μοίρᾳ Ταύρου, <Ταύρου> ζ' ι', βόρειος κγ' ο', μεγέθους β', κράσεως Διὸς καὶ Κρόνου.

ις'. Ὠλενία Αἴξ Διδύμων β' λ', βορεία κβ' λ', μεγέθους α', κράσεως Διὸς καὶ Κρόνου.

Πάλιν οὗτοι ἰσομοίρως ὡροσκοποῦντες ἢ μεσουρανοῦντες ποιοῦσι πλουσίους ἄγαν, ἐν διαφόροις τόποις κτωμένους φιλογεώργους, φιλοικοδόμους, εἰ μὴ καὶ ἡ Σελήνη οὕτως ὄντας ἐπιθεωροίη ποθὲν αὐτούς, ἀγαθοὺς δὲ τοῖς τρόποις καὶ τιμητικοὺς τῶν πρεσβυτέρων, μεταδοτικούς, ἀνεξικάκους, σώφρονας, φιλοικείους· ἰδίως δὲ πάλιν ἐκ τούτων ὁ μὲν ἐπὶ τοῦ γόνατος τοῦ Τοξότου καὶ ὁ ἐπὶ τοῦ δεξιοῦ ὤμου τοῦ Ἡνιοχοῦ τετραπόδων ἢ καὶ ἡνιόχων ἐργάτας ἢ καὶ αὐτοὺς ἱππηλάτας ἢ ἡνιόχους ποιεῖ.

ιζ'. Ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἑπομένου Διδύμου, Καρκίνου δ' ι', βόρειος ς' ιε', μεγέθους β', κράσεως Ἄρεως μόνου, τῇ κε' τοῦ Διδύμου [καλεῖται δὲ Ἡρακλέους].

Ἐὰν οὗτος τύχῃ ὡροσκοπῶν ἢ μεσουρανῶν καὶ μάλιστα νυκτὸς ποιεῖ ἀρχικούς, δεινούς, δράστας, παραβόλους, ἀνυποτάκτους, θυμικούς, αὐθάδεις, τυραννικούς, πολέμων προϊσταμένους, ἐνδόξους, μεγάλους· ἡμέρας <δὲ> ὡροσκοπῶν, ὑβριστάς, ὠμούς, ἀνελεήμονας, προπετεῖς, ἅρπαγας,

1 στρατείας P : στρατιώτας V; corr. 5. Τῇ κ' μοίρᾳ Ταύρου ια' omis. V. Ὠρίωνος Διδύμων η' νη' ια'', μεγέθους α' τῇ ε' μοίρᾳ Ταύρου V. 7-12 Ὁ μέσος - Κρόνου omis. V. 8 Διδύμων suppl. 13 Γοργόνης Ταύρου ιη' μη' ια'', πλάτος βόρειος κγ' ο', μεγέθους V. Ταύρου suppl. 14 Post ο' lacuna quinque litt. in P. 15 ὠλελίνη (sic) αἴξ Διδύμων ιδ' η' ια'', πλάτος βόρ(εια) κβ' λ' V. Gradus cum quo Capella ascendit intercidit. 19 καὶ omis. V. 24-25 Καρκίνου ιε' μη' ια'' πλάτος βόρειος. 25 τῇ κε' τοῦ Διδύμου sc. παρανατέλλει; cf. infra p. 223, 7 etc. 26 καλεῖται δὲ Ἡρακλέους omis. P; secl. 29 ἐπισταμένους V.

τεταραγμένους, μεθύσους· μεσουρανῶν δέ, λογίους μὲν πάνυ καὶ φίλους ἐλεῶν, οὐ καλῷ δὲ τέλει πάντως ἀπολλυμένους.

ιη'. Βορεία χηλὴ τοῦ Σκορπίου τῇ κε' μοίρᾳ τοῦ Ζυγοῦ, Ζυγοῦ κθ' μ', βορεία η' ν', μεγέθους β', κράσεως Διὸς Ἑρμοῦ.

ιθ'. Κεφαλὴ τοῦ ἡγουμένου Διδύμου Καρκίνου ο' ν', βορεία θ' λ', μεγέθους β', κράσεως Διὸς Ἑρμοῦ, τῇ κς' μοίρᾳ τῶν Διδύμων.

Ἐὰν οὗτοι ὡροσκοπῶσιν ἢ μεσουρανῶσιν, ποιοῦσι φιλοσόφους, πολυΐστορας, δημηγορικούς, φιλομούσους, ποιητικούς, φιλόχλους, εὐεπιβόλους, εὐφυεῖς, πολυπράκτους, ἀξιωματικούς, εὐσεβεῖς, φιλοθέους, εὐχρηματίστους, πολυγνώστους, ἀπὸ δωροδοκίας εὐτυχοῦντας μεγάλως χρυσοῦ τε καὶ ἀργύρου καὶ πρὸς τὰς συμφορὰς ἐλευθεριωτέρους, μάλιστα ἐπὶ ἡμέρας, ἐπὶ γὰρ νυκτὸς ὡροσκοποῦντες ποιοῦσι δοξοσόφους, ἀλαζονικούς, ἐπιτηδευματικούς, ὑποκρινομένους, πολυΐστορας δὲ καὶ μνημονικοὺς καὶ διδασκάλους καὶ καθαροὺς ἐν ταῖς ἐπιθυμίαις.

κ'. Ὦμος ἡγούμενος Ὠρίωνος Διδύμων α' λ', νότιος ιζ' λ', μεγέθους β', κράσεως Ἄρεως Ἑρμοῦ, τῇ ς' μοίρᾳ Ταύρου.

κα'. Προκύων Καρκίνου ζ' ο', Καρκίνου ς' ι', μεγέθους α', κράσεως Ἄρεως Ἑρμοῦ, τῇ β' μοίρᾳ Καρκίνου.

κβ'. Ὦμος δεξιὸς Ὠρίωνος τῇ β' Διδύμων, Διδύμων θ' λ', νότιος ιζ' ο', μεγέθους α', κράσεως Ἄρεως Ἑρμοῦ.

κγ'. Ὁ κοινὸς Ἵππου καὶ Ἀνδρομέδας τῇ κα' τῶν Ἰχθύων, Ἰχθύων κε' κ', βόρειος κς' ο', μεγέθους β', κράσεως Ἄρεως Ἑρμοῦ.

κδ'. Ὦμος Ἵππου Ἰχθύων θ' μ', βόρειος λα' ο', μεγέθους β', κράσεως Ἄρεως Ἑρμοῦ.

Καὶ οὗτοι πάλιν ἰσομοίρως ὡροσκοποῦντες ἢ μεσουρανοῦντες, μάλιστα δὲ νυκτὸς ποιοῦσι στρατηγικούς, δεινούς, δράστας, πολυτρόπους, σοφιστικούς, πολυπράγμονας, λογίους, ὀξυφώνους, ἐξαπατητάς, ἐπιτευκτι-

1 μεθύστας P. Leg. φιλελέονας vel φιλελεήμονας. 3 βόρειος χηλ(ῆς) P. τοῦ omis. V. 3-4 Σκορπίου ια' ιη' α'' πλάτος βορεία η' ι', μεγέθους β^ου V. 5 ἡγουμένου Διδύμου V : κγ' μοι. Διδύμ(ων) P. Καρκίνου ιβ' κη' ια'', πλάτος νοτία θ' λ' V. 6 τῇ κς' μοιρ. τῶν Διδύμων omis. V. 8 φιλοόχλους codd.; corr. ex Ptolem., p. 163, 11 (ed. 1553). 13-14 Leg. μνημονευτικούς? 14 Leg. καθαρίους? 15 Διδύμων ιγ' η' ια'', πλάτος νότιος ιζ' λ' V. 16 τῇ β^α μοίρᾳ Καρκίνου V. 17 Καρκίνου (alter.) signo dubio. Latitudo omissa est. 17-18 Προκύων - Καρκίνου omis. V. 19 Ὠρίωνος Διδύμων κα' η' ια'', πλάτος νότιος ιζ' ο' V. 21 καινὸς P. 21-22 Ἀνδρομέδας Κριοῦ ς' νη' ια'', μεγέθους β^ου, πλάτος βόρειος κς' ο', κράσεως ♂ ☿ V. 23 Ἰχθύων κα' ιη' ια'', πλάτος βόρειος λα' ο' V. 26 νυκτὸς δὲ P. δράστας P : στρατιώτας V. 27 Rectius δολίους, cf. (p. 243) addenda ad p. 202, 1.

κούς, ὀξεῖς δ' ἅμα καὶ ἀπροσκορεῖς πρὸς τὰς ἐπιθυμίας, ἀσελγεῖς, ἐπιόρκους, εἰ δὲ <ἡμέρας> ὡροσκοποῦσιν, τολμηρούς, ὠμούς, μεταμελητικούς, ψεύστας, κλέπτας, ἀθέους, ἀφίλους, ἐπιθέτας, θεατροκόπους, ἐφυβριστάς, μιαιφόνους, πλαστογράφους, γόητας, βιαιοθανάτους πολλάκις.

κε'. Ποὺς δεξιὸς Κενταύρου τῇ ια' μοίρᾳ τοῦ Σκορπίου, Σκορπίου ιε' ν', νότιος μ' α', μεγέθους α', κράσεως Ἀφροδίτης Διός.

κς'. Ὁ ἔσχατος τοῦ Ποταμοῦ Ταύρου ζ' μ', Σκορπίου ιε' ν', νότιος μ' α', μεγέθους α', κράσεως Ἀφροδίτης καὶ Διός.

Καὶ οὗτοι πάλιν ἰσομοίρως ὡροσκοποῦντες ἢ μεσουρανοῦντες ποιοῦσι καθαρίους, ἀπολαυστικούς, φιλοκάλους, φιλομούσους, φιλοθέους, φιλοδώρους, φρονίμους, φιληκόους, καλοσυμβούλους, ἐν τῷ σεμνῷ μεγαλοψύχους, εὐγνώμονας, εὐσχήμονας πρὸς τὰ ἀφροδίσια καὶ ἀπὸ γυναικείων προσώπων ὠφελουμένους, μεγάλους, ξανθότριχας μᾶλλον, εὐειδεῖς, ἁπαλοσώμους, μάλιστα δὲ ἐὰν τὴν Σελήνην ἐπιθεωρήσωσιν.

κζ'. Οὐρὰ Λέοντος Παρθένου β' ο', βορεία ια' ν', μεγέθους α', κράσεως Κρόνου Ἀφροδίτης.

κη'. Ὀσφὺς Λέοντος Λέοντος κα' μ', βορεία ιγ' μ', μεγέθους δευτέρου, κράσεως Κρόνου Ἀφροδίτης.

κθ'. Ὕδρου αὐχὴν Λέοντος ζ' λ', νότιος κ' λ', μεγέθους β', κράσεως Κρόνου Ἀφροδίτης.

Καὶ οὗτοι πάλιν ὡροσκοποῦντες ἢ μεσουρανοῦντες ποιοῦσιν εὐτυχεῖς μὲν καὶ περικτήμονας καὶ περιφανεστάτους, ἐμπαθεῖς δὲ καὶ αἰσχροποιοὺς καὶ μαλακοὺς καὶ φιλορχηστὰς καὶ κακοφήμους περὶ τὰ ἀφροδίσια· προβαίνοντας δὲ τῇ ἡλικίᾳ ἱεροσυνῶν τινων μεταλαμβάνουσιν διὰ θρησκείαν τινὰ θεϊκὴν ἢ ἐγκράτειαν τιμώμενοι καὶ ἐδεσμάτων τινῶν ἀπεχόμενοι καὶ βιβλίων δέ τινων ἀπορρήτων εἰδήμονες· γίνονται καὶ περὶ τὰ οὐράνια φιλόκαλοι· τοὺς δὲ ὀφθαλμοὺς μᾶλλον ὑπογλαύκους ἢ χαροποὺς ἔχοντες, εὐειδεῖς εἰσι ταῖς ὄψεσιν.

1 πρὸς omis. V. 2 ἡμέρας suppl. 4 ἐφυβρίστους codd.; cf. p. 202, 6. βιοθάνατους codd.; cf. ibid. v. 7. 6 ποὺς V : παρὰ (compendio) P. 6-7 Σκορπίου κζ' κη' ια'' πλάτος νότιος μα' ς' V. 8 Σκορπίου ιε' ν' corruptum. Fort. Κριοῦ ε' ν'. 8-9 ποταμοῦ Αἰγοκέρω ιθ' ιη' α'' πλάτος νότιος νγ' ιη' λ'' V. 11 καθαροὺς ut vid. P : κιθάρας V. ἀπολαύειν V. 14 ὠφελουμένους omis. P. Leg. μεγάλως, cf. 102, 17. ἁπαλοσωμάτους V. Fuit fort. ἁπαλοστόμους. 16 Παρθένου ιγ' λη' ια'' πλάτος βόρ. ια' ν' V. 18 Λέοντος Παρθένου γ' ιη' ια'' πλάτος βορ. ιγ' μ' V. μεγέθους δευτέρου omis. P. 20 Λέοντος ιθ' η' ιγ'' πλάτος νότιος ο' κ' λ'. 22 μὲν εὐτυχεῖς V. 24 φιλορχήτας codd. Cf. p. 102, 27.

λ'. Ὁ λαμπτὴρ τῶν Ὑάδων Ταύρου κ' ι', νότιος ε' ι', μεγέθους α', κράσεως Ἄρεως Ἀφροδίτης.

Οὗτος ὡροσκοπῶν τῇ γεννήσει ποιεῖ εὐτυχεῖς ἄγαν καὶ πλουσίους καὶ χώρας ὑποτάσσοντας ἢ διοικοῦντας, ὥσπερ γὰρ αὐτὸ τὸ ἄστρον καὶ ἡ θέσις τῶν Ὑάδων πᾶσιν ἀνθρώποις εὐεπίγνωστόν ἐστιν, οὕτως ἐκεῖνοι περιφανέστεροι καὶ πλουσιώτεροι τῶν ἄλλων γίνονται, τὰ αὐτὰ δὲ ποιεῖ καὶ ὅταν ἰσομοιρήσῃ ἢ παρανατείλῃ τῇ Σελήνῃ, μάλιστα ἐπειδὴ οὗτος μόνος ὁ ἀστὴρ σχεδὸν διπλῆν δύναμιν ἔχει τῶν ἄλλων ἀστέρων· ἀνατέλλοντος γὰρ αὐτοῦ, δύνει ὁ Ἀντάρης [f. 12ᵛ] καὶ ἀμφὼ ἐν αὐτῷ τῷ ζῳδιακῷ κεῖνται, διὰ τοῦτο συμπερίδοξοι οἱ οὕτως γεννώμενοι ἔν τε τοῖς ἑῴοις καὶ ἑσπερίοις κλίμασι τῆς γῆς· διὰ γὰρ τὸ εἶναι τὸν Ἀντάρην ἐν τῇ δύσει ποιεῖ, καθὼς προείπομεν, διὰ γυναικῶν μεγάλας εὐτυχίας καὶ κληρονομίας. καὶ γὰρ αἱ γυναῖκες αὐτῶν πλουσιώταται μέν, ἀλλ' οὐ πολυχρόνιοι ἐπειδὴ ὁ Ἀντάρης εὐθέως δύνει ἐν τῷ γαμοστολικῷ τόπῳ κείμενος· ὁ δὲ λαμπρὸς τῶν Ὑάδων ὡροσκοπῶν ποιεῖ διὰ τὸν Ἄρην καὶ τὴν Ἀφροδίτην θερμοὺς πάνυ περὶ τὰς ἐπιθυμίας καὶ ἀδιαφόρους περὶ τὰ ἀφροδίσια· φύσει γὰρ οὗτος ὁ τόπος τῶν Ὑάδων ὡροσκοπῶν ἀπὸ μοίρας ιβ' μ' ἕως μοίρας ις' κ' ἐμπαθεῖς περὶ τὰς ἡδονὰς ποιεῖ καὶ ἐπισήμους μᾶλλον καὶ εὐειδεῖς.

Ἰδίως δὲ καί τινα ζῴδια καὶ ἀστέρες τῶν ἀπλανῶν ἐν τῷ θ' μοιρικῶς εὑρισκόμενα, εἰ δὲ καὶ ὡροσκόπῃ, μεγάλας βοηθείας διὰ θεῶν ἐπιφανείας ἢ δι' ὀνείρων παρέχονται· ὁ μὲν Σκόρπιος οὕτως εὑρισκόμενος καὶ μάλιστα περὶ μοίραν ἔνθα ἐστὶν ὁ λαμπρὸς τοῦ Ὀφιούχου, δι' ἰατρῶν ἀριστῶν συναστρίας θεραπεύει· ὁ δὲ Στάχυς διὰ Ἀφροδίτης ἢ Κόρης ἢ τῆς Μητρὸς τῶν θεῶν ὑγείας ἀποτελεῖ· ὁ δὲ ἐπὶ τῆς κεφαλῆς τοῦ ἡγουμένου Διδύμου ἐν τῷ θ' καὶ μάλιστα νυκτὸς διὰ Ἡρακλέους ἢ ἡμέρας <διὰ> Διοσκούρων βοηθείας παρέχεται· ὁ δὲ Κύων ἐν τῷ θ' καὶ μάλιστα νυκτὸς [τὰς] ἀπὸ Ἑκάτης ἢ Ἀνούβιδος ἢ τοῦ Ἄρεως τὰς δι' εὐχῆς βοηθείας παρέχεται καὶ παρακλήσεως· ἡ δὲ Λύρα διὰ Ἀπόλλωνος ἢ Ἑρμοῦ. οἱ δὲ ἐπὶ τῶν κεράτων τοῦ Αἰγόκερω καὶ οἱ Ἔριφοι καὶ ἡ Αἴξ

1 Ὑάδων Διδύμων β' η' ιγ'', πλάτος νότιος ε' ι' V. 3 οὗτος ἐν τῇ γεννήσει V. 5 τῶν ὑδάτων codd.; corr. 8 μόνως V. ὁ omis. P. 14 δύνει εὐθέως P. 18 μᾶλλον καὶ μᾶλλον P. 20 ss. Cf. supra p. 210, 1 ss. 21 εἰ καὶ ὡροσκοποῦσι O. 22 οὗτος O P. 23 δ' ἰατρῶν P. 24-25 κόρης et μητρὸς cryptogr. O P. 26-27 νυκτὸς - καὶ μάλιστα omis. V. Ἡρακλέους et Διοσκούρων cryptogr. O P. 27 διὰ suppl. 28 τὰς secl. Ἑκάτης et Ἀνούβιδος cryptogr. O P : ἢ γούβιδος V. 29 Ἀπόλλωνος cryptogr. O P.

ἐν τῷ θ' διὰ Πανὸς ἢ Ἑρμοῦ βοηθοῦσιν, καὶ μάλιστα ἐὰν καὶ τῶν ἀγαθοποιῶν τις τοὺς εἰρημένους τόπους ἐπιθεωρῇ· καὶ ἕκαστος δὲ τῶν πλανητῶν κατὰ τὴν οἰκείαν αὐτοῦ φύσιν ἐπὶ τῶν εἰρημένων τόπων εὑρισκόμενος καὶ μάλιστα οἱ ἀγαθοὶ τὰς βοηθείας ποιοῦσι κατὰ τὰς φυσικὰς αὐτῶν δυνάμεις· καὶ ὁ Κρόνος δὲ ἐπὶ ἡμέρας τὰς ἰδίας ἢ τὰς διὰ Πλούτωνος καὶ Ποσειδῶνος ὄψεις καὶ βοηθείας παρέχεται καὶ ἐξ ἀντιπαθείας τῶν ἰδίων βοτανῶν καὶ τῶν ἄλλων θεραπείας παρέχεται. νυκτὸς δὲ καλῶς κείμενος τὰς διὰ γυναικῶν ἐπισήμων· καὶ ὁ Ἄρης δὲ τὰ οἰκεῖα τῇ ἑαυτοῦ φύσει δωρεῖται καὶ νυκτὸς μὲν ὠφέλιμα, ἡμέρας δὲ φοβερὰ καὶ ἐναντία καὶ βλαβερά.

Μοῖραι σινωτικαὶ ὀφθαλμῶν.

Χαίτη Λέοντος ἀπὸ <μοίρας> κζ' λς' ἕως κη'.

Κέντρον Σκορπίου Τοξότου μοίρᾳ α', κράσεως Ἀφροδίτης καὶ Ἄρεως.

Μέτωπον Σκορπίου ἀπὸ μοίρας θ' ς' ἕως μοίρας ι', κράσεως Ἄρεως καὶ Κρόνου.

Ἡ ἀκὶς τοῦ Τοξότου <μοίρᾳ> ζ' νς'.

Ἡ Πλείας Ταύρου ἀπὸ μοίρας ε' λς' ἕως ζ' ς'.

Τὸ νεφέλιον τοῦ Καρκίνου ἀπὸ μοίρας ι' ἕως ιε'.

Ὁ ὀφθαλμὸς τοῦ Τοξότου μοίρᾳ ις' λς'.

Ἡ κάλπις τοῦ Ὑδροχόου ἀπὸ μοίρας ιη' ις' ἕως ιθ'.

Ἡ ἄκανθα τοῦ Αἰγόκερω ἀπὸ μοίρας κς' μς' ἕως κθ'.

1 Πανὸς cryptogr. O P. ἢ καὶ Ἑρ. P. 2 θεωρῇ P. δὲ superscr. P. 6 πλούτωος (sic) cryptogr. P. καὶ omis. V. ποσηωνος cryptogr. P : ηωνος cryptogr. V et ut vid. O. 7 θεραπίας P. 11 Haec anno 488 scripta esse videntur, cf. supra p. 219. 12 μοίρας supplevi. 14-15 κράσεως ♃ καὶ ♄ V : κράσις ♂ καὶ ♄ P. 17 Ταύρου corr. : ἡμέρας (signo astrol.) codd. 18 Leg. ιβ' ἕως ις'?

Ex collectaneis apotelesmaticis Byzantinis.

Perpauca descripsimus ex collectaneis quae tertiam partem codicis Angelici obtinent et de quibus supra (p. 36, n. 1) verba fecimus. Propter vocabulorum rariorum usum fragmentum elegimus quod iam ex codice Parisino, ut videtur, Ducangio innotuit, qui illud Eleutherio Zebeleno attribuit, et aliud, quo eiusdem Eleutherii aetas accurate significatur. — Caput huius astrologi iam editum est in Catalogo nostro t. II, p. 132.

F. 176v. ρμβ'. Περὶ τύχης ἀξιωματικῆς.

Ἐπιτηρεῖν δεῖ ἐὰν ὑπὲρ γῆν εὑρεθῇ ὁ Ἥλιος <μὲν> ἐν ἡμέρᾳ, ἡ δὲ Σελήνη ἐν νυκτί, καὶ πῶς ὑπὸ τῶν ἀστέρων δορυφοροῦνται, καθώσπερ καὶ ὁ Πτολεμαῖός φησιν· ἐπιτηρεῖν δὲ πάλιν δεῖ καὶ τοὺς ἀπλανεῖς τῶν ἀστέρων ποῖος ἐγγίζει τοὺς φωστῆρας καὶ τὰ μεγέθη αὐτῶν· τὰ μὲν οὖν πρώτου μεγέθους ἐνδοξοτέρους ποιεῖ, τὰ δὲ β' μέσους, τὰ δὲ γ' μεγέθους ἐλάττους· εἰ δέ ἐστι κακοποιός, τὸ τέλος κακὸν δηλοῖ τῆς ἀξίας.

ρμγ'. Περὶ πράξεως ποιότητος.

Ὀφείλεις κρατεῖν τὸ ζῴδιον τὸ μεσουρανοῦν καὶ τὸν κύριον αὐτοῦ τόν τε Ἄρην Ἀφροδίτην καὶ Ἑρμῆν καὶ τὸν κλῆρον τῆς πράξεως καὶ τὸν κύριον αὐτοῦ, καὶ ἐξ αὐτῶν οἷος εὑρέθη ἰσχυρότερος καὶ ἐνδοξότερος, αὐτός ἐστιν οἰκοδεσπότης τῆς πράξεως· καὶ οἱ Πέρσαι τὸν Ἥλιον μόνον λέγουσι δηλοῦν τοὺς μεταλλικοὺς τοὺς ἐργαζομένους τὰ κανία καὶ μεγαράδια. τὴν δὲ Σελήνην εἰς τοὺς πεζοδρόμους καὶ σικρικίους ἤγουν ταχυδρόμους, μαντατοφόρους καὶ ἀποκρισιαρίους.

F. 226. σμα'. Πῶς δεῖ εὑρίσκειν τοὺς περιπάτους τῶν ἀστέρων καὶ τῶν τόπων[1].

Εἰς τὸν ζητούμενον μῆνα καὶ τὴν ἐνισταμένην ἡμέραν τοῦ μηνὸς ἀφαιροῦμεν τὰ ἔτη ἐν οἷς ἡ καταρχὴ ἀπὸ τῶν ἐτῶν τῶν μετὰ τὴν καταρχήν, καὶ τὰ λοιπὰ τίθει εἰς τὴν ταῦλαν ἰδίως· εἶτα ζήτει τὰς λειπομένας ἡμέρας τοῦ μηνός, ἀφ' οὗ ἡ καταρχὴ ἐγένετο· ἔπειτα ζήτει

2 μὲν suppl. 4 Ptolem., *Tetrab.*, IV, 2. 7 ἐλάττωcodd. : ἐλαττοῖ coni. Kroll. 14 μεταλικούς. 15-16 σικρίκιος " cursor ", Ducangius, his ipsis verbis allatis quae Eleutherio Zebeleno " De forma et constit. corporis " adscribit. 21 ταῦλαν = tabulam.

[1] Auctor huius capituli Eleutherius Zebelenus esse videtur, qui in praecedentium titulis nominatur (cf. supra p. 50). Ex computatione quam exempli gratia praebet, apparet eum die 12 Augusti a. 1040 natum esse et die 18 Decembris a. 1079 scripsisse.

καὶ τὰς λοιπὰς τῶν ζητουμένων μηνῶν καὶ ἡμερῶν ἀνὰ λ' ἡμέρας λαβὼν ὑπὲρ ἑκάστου μηνός, καὶ ποίησον τὰς ἡμέρας ὅλως (?), εἶτα μέρισον εἰς λ' καὶ ζήτει <τοὺς> μῆνας· καὶ ὅσοι μῆνες ἐξέλθωσι, λαβὲ κατὰ μῆνα ἕνα λεπτὰ ε' καὶ πρόσθες ταῦτα τὰ λεπτὰ τοῖς χρόνοις τοῖς διελθοῦσι μετὰ τὴν καταρχὴν καὶ τότε πρόσθες ταῦτα ταῖς ἀναφοραῖς τοῦ κλίματος καὶ τῆς ὀρθῆς σφαίρας καὶ ποίει τοὺς περιπάτους.

Ὑπόδειγμα. Καταρχὴ τῆς γενέσεώς μου. Ἔτους ,ςφμη' μηνὸς Αὐγούστου ιβ' ἡμέρᾳ δευτέρᾳ. ζητῶ τὸν περίπατον τοῦ ὡροσκόπου ἔτους ,ςφπη' μηνὸς Δεκεμβρίου ιη'. ἀφαιρῶ ἐκ τῶν 'ςφπη' ἐτῶν ἔτη ,ςφμη' λοιπὰ μ'· λαμβάνω καὶ ἡμέρας τοῦ Αὐγούστου ιβ', Σεπτεμβρίου λ', Ὀκτωβρίου λ', Νοεμβρίου λ', Δεκεμβρίου ιη', ἤγουν (?) ρκ' ἡμέραι, γίνονται μῆνες δ'. εἶτα κατὰ μῆνα λαμβάνω λεπτὰ ε', καὶ γίνεται λεπτὰ κ' ἀντὶ τῶν δ' μηνῶν, καὶ τῷ μηνὶ γοῦν Δεκεμβρίῳ ιη' ἔτους ,ςφπη' εἰμὶ χρόνων τελείων μ' μηνῶν τεσσάρων. καὶ προστίθημι ταῦτα τὰ μ' ἐν τῇ ἀναφορᾷ τοῦ ὡροσκόπου ἤτοι ταῖς σμγ' κβ' καὶ γίνονται σπγ' μβ' καί ἐστιν ὁ περίπατος τοῦ ὡροσκόπου ἐν ταῖς ἀναφοραῖς εἰς τὸν Τοξότην κβ' κγ' κατὰ τὸν δηλωθέντα μῆνα Δεκέμβριον ιη' τοῦ μηνός.

2 ὅλως hic et 11 ἤγουν compendio dubio. 3 τοὺς suppl. 3 et 4 πρόσθες compendio. 11 Debebat non ιη' sed ιβ', aut supra ιη' pro ιβ' scribendum. 14 προστίθημι compendio.

EXCERPTA EX CODICE 7 (VATIC. 212).

Theophili Edesseni prooemia.

Inter auctores qui Graecorum astrologiam ad Arabes saeculo VIII transtulerunt, unde postea immutata quidem ad Byzantinos reversura erat, clarissimus habetur Theophilus, Thomae filius Edessenus. Nonnulla de vita operibusque illius viri, cuius ne nomen quidem historiae litterarum Graecarum scriptoribus innotuisse videtur, prooemia librorum edituri hic collegimus. Natus est paulo ante a. 695 p. C. n.[1] et sectae addictus est Maronitarum[2]. Eum semper christianum fuisse pium ex praefationibus, quae edimus, apparet, ubi astrologiam cum ad fidem suam accomodare nititur. Edoctus est Edessae, cuius ludi litterarii tunc quoque antiqua fama haud indigni celebrabantur, et praeter vernaculam Syrorum linguam Graecam quoque calluit, ita ut sermone nitido quidem haud tamen molestiae cuiusdam experti utatur. Homeri poemata in syriacam linguam elegantissime vertit[3], quorum carminum nonnulli tantum versus supersunt[4]. Ad nomina Homerica accuratius exprimenda quinque vocalium syriacarum figuras effinxisse fertur, sed de hac re iure ambigitur[5]. Syriace quoque librum historicum vel potius chronologicum composuit, qui a Bar Hebraeo laudatur[6]. Ex quibus elucet eum omnibus aetatis suae disciplinis excultum fuisse.

Paulo postquam Al-Mansur Bagdadam condidit (762 p. C.), in novam urbem

---

[1] Mortuus est enim a. 785 plus nonaginta annos natus. Cf. infra p. 231, n. 1.

[2] Bar-Hebraeus, *Histor. Dynast.* ed. Pococke, Oxonii, 1663, p. 148 : „*Fuit autem Theophilus iste sectae Maronitarum, qui in monte Libano christianorum secta sunt.*„

[3] Bar-Hebraeus, *l. c.*; cf. Wenrich, *De auctorum Graecorum versionibus*, 1842, p. 73 ss.

[4] Rubens Duval, *La littérature syriaque*, p. 325 ; cf. Derenbourg, *Mélanges Henri Weil*, p. 118, n. 4.

[5] Wenrich, *l. c.*; cf. Duval, *op. cit.*, p. 292.

[6] Bar-Hebraeus, *Hist. Dyn.* ed. Pococke, p. 148 : „*Est illi historia egregia*„; cf. *Chronicon*, ed. Bruns et Kirsch, p. 134 : „*Est illi liber historiarum egregius in syriaca lingua etiamsi ... orthodoxos vituperabat,*„ et p. 63 [Pococke] : „*Ab initio imperii ipsius (Seleuci Nicatoris) orditur aera quae Alexandri audit ... Ab Adamo ad initium huius epochae, ex sententia Theophili Rohensis (= Edesseni), sunt anni quinquies mille centum nonaginta septem.*„

regiam migrasse videtur, sine dubio a chalifa excitus studiorum fautore, qui viros doctos undique in aulam regiam arcessebat. Ad Bagdadae latitudinem longitudinemque motus astrorum se computasse ipse nos certiores facit [1]. Praeterea comperimus eum iam antea regii principis Al-Mahdi comitem fuisse in expeditione per Margianam, ubi exercitus frigoribus laboravit asperrimis annis 757-758, ut videtur [2]. Chaliphae Al-Mahdi, a. 775 imperium adepto, acceptissimus remansit, ita ut primus regiorum astrologorum factus sit [3]. Quantopere gratiam eius usque ad exitum suum sibi conciliarit, ex narratiuncula haud illepida discimus quam de morte utriusque Bar Hebraeus refert [4] : *Fertur cum Al-Mahdius Masabdanum proficisci statuens Hasanam concubinam suam secum ire iussisset, ipsam ad Theophilum, Thomae filium, christianum, astrologum Rohensem* [= *Edessenum*], *astrologorum Al-Mahdii principem mittentem dixisse : " Tu imperatori fidelium huius itineris auctor fuisti, nobisque iter imposuisti quod in mentem non venerat; acceleret Deus mortem tuam, qua te liberemur ". Ipsum vero, ubi ad eum pervenissent litterae eius, dixisse puellae, quae eas pertulerat : " Ad ipsam reversa dicas : non est a me hoc consilium, verum quod mihi precaris ut cito moriar, res haec est a deo decreta ac mors mea prope adest. Ne vero putes preces tuas exauditas esse, at tibi ipsi multum pulveris pares, cumque ego mortuus fuero, illum capiti tuo imponas. " Non desiit autem interpretationem dicti ipsius quaerere ex quo obiit ille, donec viginti post diebus mortuus est Al-Mahdius* [5].

Ex hac Theophili praedictione, ut credebant, memorabili apparet eum viginti

---

[1] *Catal.*, I, p. 130, 26 ss.

[2] Cf. infra p. 234, 7.

[3] Bar-Hebraeus, *l. c.*, El Qifṭî, infra p. 231, n. 2.

[4] *Hist. Dyn.* ed. Pococke, p. 147.

[5] Paulo aliter historia narratur in Bar-Hebraei Chronico syriaco (ed. Bedjan, p. 127, 4 ss.), cuius versionem gallicam comiter mihi misit vir humanissimus Rubens Duval. Qua textus arabicus vel potius interpretatio Pocockii optime illustratur : *Théophile servait le calife Al-Mahdi, qui l'estimait beaucoup à cause de sa supériorité dans l'art de l'astrologie. On raconte que certain jour le calife voulut se rendre dans une de ses provinces et emmener sa cour avec lui. L'épouse du calife envoya dire à Théophile : " C'est toi qui a conseillé au calife ce voyage et nous a imposé la fatigue et l'ennui de la route dont nous n'avions nul besoin. J'espère donc que Dieu te fera périr et disparaître de ce monde afin que débarrassées de toi nous trouvions du repos. " Théophile répondit à la servante qui lui avait porté ce message : " Retourne vers ta maîtresse et dis-lui : ce n'est pas moi qui ai conseillé au roi ce voyage; il voyage quand il lui plaît. Quant à la malédiction que tu as lancée contre moi pour que Dieu accélère ma mort, la décision en a déjà été prise et affirmée par Dieu : je mourrai prochainement; mais ne t'imagine pas que je mourrai parce que ta prière aura été exaucée : c'est la volonté de mon créateur qui s'accomplira. Mais toi, ô reine, je te dis : prépare pour toi beaucoup de poussière, et quand tu apprendras que je suis mort, amoncelle toute cette poussière sur ta tête. " Lorsque la reine eut entendu ces paroles, elle fut saisie d'une grande frayeur, et elle attendit quel serait le résultat. Peu après Théophile mourut et vingt jours après le calife Al-Mahdi mourut également. Ce que Théophile avait déterminé se réalisa donc.*

dies ante califam obiisse, i. e. die 15 Augusti a. 785[1]. Ex alio testimonio[2] comperimus eum tunc nonaginta fere annos natum esse.

Libri Theophili saeculo IX Bagdadae in bibliotheca secretiore palatii servabantur (*Catal.*, I, p. 83, n. 4), et astrologorum Arabum eruditio interdum ad hunc fontem referenda est. Vix dubium est saeculo IX Abû-Mašarem ab eo multa mutuatum esse (cf. supra p. 7, f. 21 ss.), et saeculo XI 'Alî ben Abî'l' Rigâl Abû'l Ḥasan (Abenragel) eum et laudat et describit[3]. Plura furta sine dubio deprehendent viri litterarum Arabicarum periti[4].

Sed Graecorum magis quam Arabum ope opera eius usque ad nostram transmissa sunt aetatem. Tempore enim circiter quo vixit, studia astronomica Constantinopoli refloruerunt (*Catal.*, II, p. 181), et scripta graeca potentissimi gratia Chalipharum astrologi a Byzantinis quoque sedulo lectitata sunt et expilata. Collectanea astrologica saeculorum IX-XI Theophili capitibus referta sunt nomine eius vel addito vel praeterito[5]. E quibus nonnulla iam in Catalogo nostro typis expressimus[6].

---

[1] Al-Mahdi mortuus est die 4 Augusti a. 785 p. C.; cf. Weil, *Gesch. der Chalifen* (1848), t. II, p. 113. — Assemani, *Bibl. Orient.*, III, 1, p. 161 *a*, dixit Chaliphae Rashidi temporibus claruisse Theophilum astronomum, teste Amro. Sed mirum in modum erravit, nam Amrus de Theophilo quodam Edesseno, aerarii praefecto non de astronomo loquitur; cf. Gismondi, *Maris Amri et Slibae de patr. Nestorian.*, Romae, 1899, I, p. 66. — De alio Theophilo Edesseno qui saeculo V, ut videtur, vitas martyrum syriace scripsit, cf. *Byzant. Zeitschr.*, IX, p. 580; XI, p. 241.

[2] Ibn el Qifṭî († 1248 p. C.) in libro de vitis virorum doctorum (Târîch el ḥokama). Germanicam versionem capituli de Theophilo liberalissime mecum communicavit Carolus Dyroff ex codice Monacensi Arab. 440, f. 44v: " *Theophil, Sohn des Thomas, der Astronom, aus Edessa. Dieser Astronom lebte in Bagdad und war das Haupt der Astronomen des Al-Mâhdi. Er war kundig in den Geschichten* (?) *der Sterne und hat in der " astronomia iudiciaria " merkwürdige Fälle vom Eintreffen (seiner Voraussagungen) gehabt, noch als er sich bereits seinem 90 Lebensjahr näherte.* "

[3] Albohazen Haly filius Abenragel, *In iudiciis stellarum* ed. impensis Io. Ba. Sessa, 1503, vide e. g., p. 11 : *Dixit Nayfel filius Thome*... (lege " Ṭâ'ûfil " i. e. Theophilus) et p. 25 : *Quando a te quaesitum fuerit pro aliqua civitate vel castro si obsidebitur vel non; aut, si obsidebitur, si capietur vel non, et si capietur, si pro pace aut violentia.* Cf. cod. Paris. 2417, f. 23 : Ἐὰν ἐρωτηθῇς περὶ πόλεως πολιορκεῖται ἢ οὔ καὶ ἐὰν πολιορκῆται, σώζεται ἢ παραλαμβάνεται ... et supra p. 68, capp. κζ', κθ'.

[4] Cf. Steinschneider, *Hebräische Uebersetz. des Mittelalters*, p. 833, n. 372.

[5] De Theophili excerptis in " Syntagmate Laurentiano " saec. IX, cf. Boll, *Sitzb. Akad. Münch.*, 1899, p. 92 ss.; in " Syntagmate Parisino " saec. XI, cf. *Catal.*, II, p. 37, n. 1 et p. 35, f. 203 ss. In omnibus fere codicibus capitulum quoddam huius astrologi inveneris.

[6] *Catal.*, I, p. 129 : Περὶ κοσμικῶν καταρχῶν; *Catal.*, II, p. 195 : Περὶ ζωῆς; *Catal.*, IV, p. 93 : Περὶ προβολῆς ἄρχοντος; p. 122 (= Ludwich, *Maximi reliq.*, p. 120) : de plantis et animalibus ad planetas pertinentibus; supra p. 212; De stellis fixis, cf.

Maioris autem sunt momenti codices qui tota opera celeberrimi astrologi continent. Nobis quidem noti sunt:

a) Vaticanus 212, f. 108 ss. = Parisinus Suppl. gr. 1241, saec. XIV, f. 1 ss.; ubi pariter multa capita in indice enumerata nunc desunt. Quae servantur fere omnia ad librum cui est titulus Πόνοι περὶ καταρχῶν πολεμικῶν pertinent; cf. descriptionem nostram supra p. 68 ss. — Inerat in archetypo et altera editio (δευτέρα ἔκδοσις) eiusdem libri et aliud opus in duodecim partes divisum (δωδεκάτροπος τῶν καταρχῶν), cuius pleraque capita, quae desiderantur, ex miscellaneis codicibus suppleri possunt. — Editum est supra ἐκ τῆς δευτέρας ἐκδόσεως Theophili caput de stellis fixis (p. 212), ubi adnotavimus numeros longitudinum planetarum ad annum 768 computatos esse. Igitur hoc anno vel paulo post alter ille libellus editus est.

b) Parisinus 2417, saec. XIII, qui idem opus Περὶ καταρχῶν πολεμικῶν continet, sed multo plures καταρχαί in hoc codice traduntur et de bellis et de morbis et de aliis negotiis. At ordo foliorum turbatus tenorem rerum saepissime interrumpit. Plura de his in catalogo Parisino mox edendo invenies.

Theophilum praeclaris inventis scientiam humanam non promovisse vix est quod moneam — talia ab eo nemo exspectaverit — meritis tamen haud despiciendis posteritati se commendavit. Nam cum astrologiae quasi disciplinarum reginae excelsae totum se dedidisset (p. 235, 10 ss.), huius artis laudem languenti iam Syriae quodammodo eripuit ut Bagdadam transferret. Postquam enim et ecclesia catholica et imperatores Romani[1] illam damnaverunt atque sectatores eius persecuti sunt, librosque eorum comburi iusserunt[2], in Orientis partibus, sicut in provinciis latinis accidit[3], paene exstincta est, et post Arabum irruptionem in regno Mahomedanorum demum recaluit. Theophilus ipse, antequam de singulis tractet, scientiam suam dilectam adversus obtrectatores eius vel rectius adversus anathemata Patrum defendere conatur (p. 235, 12 ss.; 238, 5 ss.). Quo pristinae ac derelictae doctrinae studio multa certe Graecorum scripta ab interitu servavit. Ipse confitetur se ab „antiquis„ pendere et pleraque ex eorum libris excerpsisse (p. 233, 29; 234, 1), et revera veterum auctorum fragmenta plurima per eum ad Byzantinos et usque ad nostrum pervenerunt aevum. Cum a Chaliphis de bellorum successu et de reipublicae administratione praecipue consuleretur (p. 234, 6), talia undique maxima cura congessit. Sed fontibus suis libere usus est: auctoris nomen raro profert, et cum argumenta eius repeteret, alia omisit, alia mutavit, vel addidit. De qua componendi ratione ad caput de stellis fixis iam nonnulla praefati sumus (p. 213).

Dum quaecumque insignis illius viri supersunt colligantur, ad ingenium propositumque eius cognoscenda maxime proderunt prooemia librorum quae hic edimus.

F. C.

---

[1] Cf. Mommsen, *Strafrecht*, p. 865.
[2] *Catal.*, II, p. 79.
[3] Cf. supra p. 86.

F. 108. Θεοφίλου φιλοσόφου πόνοι περὶ καταρχῶν πολεμικῶν καὶ ἐπιστρατείας καὶ τυραννίδος, ἐξ ὧν ἐν πείρᾳ γέγονε καὶ ἐκ τῶν ἀρχαίων συνήγαγε, προσφωνηθέντες Δευκαλίωνι τῷ αὐτοῦ παιδί.

Ἡ φυσικὴ τῶν ἀστέρων ἰδιοτροπία, ὦ κοσμιώτατε Δευκαλίων, οὐχ ἑνιαίαν μόνην ἔχει τὴν ἐνέργειαν ἀλλὰ ποικίλην τε καὶ διάφορον πρὸς πᾶσαν ἀποτελεσματικὴν ἐπιτηδειότητα, εἰ καὶ τὰ μάλιστα ἕκαστος αὐτῶν ἐν μιᾷ τῇ γενικωτάτῃ γνωρίζεται ποιότητι πρὸς τὴν κεκληρωμένην αὐτῷ διάθεσιν καὶ χαρακτηριστικὴν ἔμφασιν, οἷον ἐν τοῖς πολεμικοῖς ὁ Ἄρης καὶ ἐν τῷ λόγῳ ὁ Ἑρμῆς <καὶ> ἐν τοῖς γεωργικοῖς ὁ Κρόνος καὶ ἐν τοῖς ἐρωτικοῖς ἡ Ἀφροδίτη· καίτοι γὰρ τούτων οὕτως ἐχόντων οὐ μόνον ὁ Ἄρης τὸν πόλεμον ἐνεργεῖ, ἀλλὰ καὶ Κρόνος βασιλέων ὄλεθρον ἐπιτελεῖ καὶ πόλεων ἁλώσεις, καθὼς ἔστιν εὑρεῖν ἐν τοῖς κοσμικοῖς ἀποτελέσμασιν· ἀλλά γε καὶ ὁ Ἄρης ἐμπρησμοὺς ποιεῖ καὶ λοιμικὰς <νόσους> καὶ αὐχμωδίας καὶ καρπῶν ἀφορίας. ὡσαύτως καὶ Ἑρμῆς λῃστείας καὶ ἀκαταστασίας καὶ ἀνωμαλίας ἐν τῷ βίῳ, ἢ καὶ διάκτορος ὠνομάσθη καὶ τὴν εἰρήνην βραβεύσει. ὁμοίως δὲ καὶ ἐν τοῖς γενεθλιαλογικοῖς ἀποτελέσμασιν εὑρίσκομεν ἄλλως καὶ ἄλλως τοὺς ἀστέρας ἐνεργοῦντας καὶ σημαίνοντας πρός τε τοὺς σχηματισμοὺς αὐτῶν καὶ τὰς τῶν τόπων ἐναλλαγὰς ἤτοι τοὺς κακοποιοὺς ἀγαθοποιοῦντας καὶ τοὺς καλοποιοὺς ἀδρανῶς ἔχοντας, ὅμως οὖν πρὸς τὸ θέμα [f. 108ᵛ] καὶ τὴν αὐτῶν μοιροθεσίαν ἀνακοινοῦσθαι τὰ ἀποτελέσματα. τοῦτό γε μὴν ἀθρήσαντες οἱ σοφοὶ τῶν ἀποτελεσματικῶν τῇ συγκρατικῇ σχέσει τῶν ἀστέρων ἐχρήσαντο· οὐ μόνον ἐν τοῖς μερικωτάτοις καὶ καθ᾽ ἕκαστον ἀλλὰ καὶ ἐν τοῖς καθολικωτάτοις καὶ γενικωτάτοις, οἱονεὶ περὶ πολέμου, διειληφότες, πᾶσί γε τοῖς ἀστράσιν ἐχρήσαντο καὶ μὴν καὶ τοῖς φωστῆρσι πρὸς μίαν ἀποτελεσματογραφίαν καὶ συμπραξίαν· τοῦτο δὲ κἀγὼ κατὰ νοῦν λαβὼν καὶ εἰδὼς ὅτιπερ σπανιάκις εὑρίσκεται ἡ πολεμικὴ ἔφοδος παρὰ τοῖς ἀρχαίοις, ἐκτὸς εἰ μή γ᾽ ἐν τοῖς κοσμικοῖς ἀποτελέσμασι μόνον ἔσεσθαι πόλεμον ἐν τῇδε τῇ χώρᾳ καὶ αἰχμαλωσίαν, ἀφέντες δηλαδὴ τὰ μερικώτερα ἤγουν ὡς ἂν μάλιστα <τὰς> γινομένας ἐπιστρατείας καὶ ἀντιστρατείας, πολιορκίας τε καὶ τυραννίας, καὶ ὅσα κατὰ καιροὺς ἰδίους κινούμενα καὶ παραθηγόμενά φημι ὑπὸ δύο στρατοπέδων ἄντικρυς ἀλλήλων στρατοπεδευκότων καὶ ἀντεφορμώντων ἀλλήλων, ὧν τὰς ἀκριβεῖς ἐφημερίδας ἄπορον

1 Codicem V(aticanum) descripsit Ioannes Graeven : codicem Parisinum Suppl. gr. 1241, f. 3 ss. contuli. 3 προσφωνηθέντες corr. Parmentier : προσφωνηθὲν καὶ codd. 5-6 οὐκ ἐνιαίαν codd.; corr. Bidez. 10 καὶ suppl. 15 νόσους suppl. <διαθέσεις> καὶ αὐχμώδεις coni. Kroll. 17 ὀνομάσθη P. 20 τόπον (ω superscr.) P. 20-21 ἀγαθοπ. καὶ τ. καλοποιοὺς omis. V. 22 ἀνακαινοῦσθαι P : ἀνακοινοῦται coni. Kroll. 23 ἀθροίσαντες P. 24 ἐν omis. V. 26 πασιγείοις codd.; corr. Bidez. 31 ἐφέντες V. Anacoluthum corrigere nolui. 32 τὰς suppl. Bidez. 35 ἀλλήλοις coni. Bidez. ἀκριβεῖς corr. Kroll : ἀκτῖνας codd.

ἣν εὑρηκέναι ἐν ταῖς τῶν ἀρχαίων βίβλοις· τούτοισί γε μὴν προσεσχηκὼς ἔγωγε ἀναγκαῖον ἐνόμισα μετᾶραι καὶ μετοχετεῦσαι ἔκ τε τῶν γενεθλιακῶν καὶ καταρχικῶν διατυπώσεων καταρχάς τινας πολεμικὰς τὸ πιθανὸν ἅμα καὶ τἀληθὲς ἐχούσας, ἐπειδήπερ καὶ τούτων τὴν ἀπόπειραν πολλοῖς ἐσχηκὼς παρεβιάσθην, ὡς [f. 109] οἶσθα, ὑπὸ τῶν τηνικαῦτα κρατούντων ταῦτα πραγματεύσασθαι, ἐφ' ᾧ καιρῷ τὴν ἐπιστρατείαν πεποιήκαμεν σὺν αὐτοῖς εἰς τὰς ἀνατολὰς κατὰ τὴν Μαργιανὴν χώραν[1], καὶ τὰς ἐπαλλήλους πολεμικὰς συμφορὰς ὑπέστημεν μετὰ πολλοῦ κρύους καὶ δυσκράτου χειμῶνος, φόβου τε πλείστου καὶ ἀντιλογίας ἀμέτρου. καθ' εἱρμὸν δὲ καὶ φυσικήν τινα ἀκολουθίαν ταύτας τὰς καταρχὰς διαταξάμενος, οὐδὲν παρέλιπον τῶν ἐπιδεῶν καὶ ἐπιζητουμένων ἐν ταῖς ἐπιστρατικαῖς παρατάξεσι, βίβλον τε πληρεστάτην ταυτηνὶ συνέταξα ἔχουσαν τὰς πολεμικὰς καταρχὰς μετὰ καὶ τῶν κατὰ πεῦσιν περὶ τυραννίδων καὶ πολιορκουμένων πόλεων καὶ τῶν τοιούτων.

Ἀλλὰ χρή σε μετὰ προσοχῆς καὶ ἐπιμελείας ὑψηλῆς προσϊέναι τὴν τοιαύτην πραγματείαν, ἰσχνῇ δὲ τῇ θεωρίᾳ τὴν σύγκρασιν ποιεῖσθαι τῶν ζῳδίων καὶ τῶν ἀστέρων, φημὶ τῶν πλανητῶν καὶ ἀπλανῶν καὶ τῶν φωστήρων καὶ τῶν ἐγκειμένων κλήρων καὶ τῶν κυρίων αὐτῶν, καὶ οὐ πταίσεις Θεοῦ συνεργοῦντος. F. C.

F. 128v. Τοῦ αὐτοῦ Θεοφίλου φιλοσόφου ἐκ τῆς δευτέρας ἐκδόσεως.

Θεόφιλος Δευκαλίωνι υἱῷ εὖ πράττειν.

Ἤρκει μέν, ὦ τέκνον Δευκαλίων, ὅσα πρὸς σὲ τὸ πρὶν μετὰ πολλῆς φιλοπονίας εὖ μάλα καὶ λίαν καλῶς [f. 129] συνεγραψάμην ὑπεραπολογούμενος τῆς μαθηματικῆς ἐπιστήμης, μαρτυρίαις ἱκαναῖς κεχρημένος ἔκ τε θείων γραφῶν καὶ τῶν σεμνῶν φιλοσόφων, τῶν τε θύραθεν καὶ

4 ἐχούσαις V. 5 πολλὴν coni. Bidez. 11 παρέλειπον codd. 14 περὶ corr. Kroll : καὶ codd. 15 χρῆσαι P. προιέναι codd., corr. 20 F. 19r P. 20-21 Ex indice cod. P add. 22 δεκαλίωνι V. υἱῷ superscr. P. 24 φιλοπονείας εὖ μάλλα P.

[1] In regione Chorassan, quam Graeco nomine Theophilus Margianam nuncupat, temporibus chalifarum Al-Mansur et Al-Mahdi perpetuo seditiones exortae sunt quae duces eorum armis compresserunt (cf. Weil, *Gesch. der Chalifen*, t. II, 1848, pp. 36, 66, 161). Sed utique ante annum 768, quo Theophilus scripsisse videtur (supra p. 232*a*), haec expeditio, cui alludit, suscepta est. Agitur sine dubio de tumultu quem praeses huius provinciae Chazim ibn Chuzeima novarum rerum cupidus annis 757-758 movit. Nam exercitui qui eum debellavit, interfuisse principem regium Al Mahdi, postea (775) chalifam, comperimus (Weil, *op. cit.*, p. 36). Qui, si haec recte coniecimus, iam cum iuvenis esset, Theophilum familiarem habebat. — Ceterum Abassidae in bellis astrologos secum duxisse solebant, nam et mathematicus Persa Jaḥjâ ben Abî Manṣûr Tarsi obiit, cum Chalifam Al-Mamum adversus Graecos pugnantem comitaretur (Suter, *Astronomen der Araber*, p. 8, n° 14).

τῶν τῷ ὀνόματι τοῦ χριστιανισμοῦ πεφωτισμένων καὶ ἔργῳ καὶ ἀληθείᾳ τὴν πίστιν βεβαιωσάντων· ἀλλ' ἐπειδὴ τεθέαμαί σε σπουδαῖον καὶ εὐφυᾶ καὶ τῆς ἄκρας φιλοσοφίας ἁπτόμενον καὶ πολλῷ πλέον πόθον ἔχοντα τῆς μαθηματικῆς, ἀναγκαῖον ᾠήθην καὶ νῦν <πρὸς> τὴν σὴν κοσμιότητα τὰ παραλειπόμενα τῆς τε ὑπ' ἐμοῦ γεγενημένης πληροφορίας προσφθέγξασθαι καὶ σὺν ἄλλοις τισὶ κεφαλαίοις ὑπολειφθεῖσί μοι ἐκ τῶν κοσμικῶν ἀποτελέσεων καὶ τῶν κατὰ πεῦσιν καταρχῶν, ὅπως ἂν διά τε τούτων καὶ τῶν πρὸ αὐτῶν μοι πεπονημένων διαλευκανθῇ σοι ἡ ἀληθὴς ἐπιστήμη. δεῖ οὖν σε μετὰ πάσης προσοχῆς καὶ ἐπιμελείας ἔχεσθαι τῆς ἀστρολογικῆς ἐπιστήμης καὶ μὴ ἐνδοιάζειν ἴσχειν τὸ οἱονδήποτε σκάνδαλον ἀπ' αὐτῆς, διότι αἱρετή ἐστι καὶ ἐξοχωτάτη καὶ πάσης ἐπιστήμης δέσποινα, εἰ καὶ τὰ μάλιστα ὑπὸ πλειόνων σκώπτεται καὶ διασύρεται, κατεξαίρετον δὲ ὑπό τινων τῶν ἐκκλησιαστικῶν καθηγεμόνων· διότι οἱ μὲν τῶν σκωπτόντων θέλουσιν αὐτὴν λέγειν μὴ εἶναι ὅλως, οἱ δὲ εἶναι μὲν αὐτήν, πταιστὴν δέ· ἀλλά γε μήν, ὦ τέκνον, μή σε θροείτω ἡ τοιαύτη διαβολὴ καὶ τοῦ σκοποῦ σε διακωλύσῃ καὶ μὴν καὶ τῆς ἐνούσης σοι προθυμίας, διότι ἐν τῷ πρὸ τούτου συντάγματι [f. 129ᵛ]ἀντεστρατευσάμην τῇ ὁρμῇ τῶν συκοφαντούντων καὶ ἐπηρεαζόντων τῇ ἱερωτάτῃ καὶ ὑψηλοτάτῃ ἀστρολογίᾳ.

Ὅμως καὶ ἐν τούτῳ τῷ συντάγματι οὐκ ἂν ὀκνήσαιμι μικρὰ ἄττα σημαίνειν καὶ προσενεγκεῖν ἐκ τῆς θείας γραφῆς μετὰ φυσικῶν τινων παραδειγμάτων ἐχόντων τὸ πιθανὸν καὶ ἀναμφίβολον, ἵνα σὺν τοῖς ἄλλοις καὶ τούτοις θαρρῶν ἀκλινὴς ἔσῃ καὶ ἀκράδαντος τὴν διάνοιαν καὶ στερρὸς καὶ ἀδιάπτωτος τὴν ὑπόληψιν· καίτοι γὰρ ἐν τῷ πρὸ τούτου συντάγματι ἐμνήσθην τῶν ἑπτὰ ἡμερῶν τῆς κοσμοποιΐας καὶ ὅτιπερ τοῖς ἑπτὰ ἀστράσιν ἐκληρώθησαν καὶ τὰ ἑξῆς, νῦν δὲ φιλόκαλον ᾠήθην σαφηνίσαι πρὸ παντὸς τὴν ἑπταήμερον δόξαν καὶ ἀναθέσθαι μιᾶς καὶ ἑκάστης ἡμέρας τὴν φυσικὴν ἰδιοτροπίαν καὶ τὰς τῶν ἑπτὰ ἀστέρων κράσεις τε καὶ ἐνεργείας καὶ εἶθ' οὕτως τὴν ἑπτάδα διαβεβαιῶσαι διὰ γραφικῶν ὑποδειγμάτων. ἡμέραν πρώτην μίαν ἐκάλεσεν ὁ ἱεροφάντης Μωσῆς ἥπερ μάλιστα τῷ Ἡλίῳ ἀπονενέμηται, καὶ μάλα εἰκότως· ἐν αὐτῇ γὰρ πρῶτον ἔργον Θεοῦ ἐφάνη. φάναι οὖν τὸν προφήτην· « ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν » καὶ ἐν τούτῳ δεῖξαι ὅτι, καθὼς ὁ Ἥλιος τῶν ἄνω καὶ τῶν κάτω φωτισμός ἐστιν, οὕτω καὶ τὸ πρῶτον ἔργον τὸ γενόμενον ἐν τῇ ἡμέρᾳ αὐτοῦ ἔδειξεν τὴν τοῦ οὐρανοῦ καὶ τῆς γῆς ποίησιν· καὶ ἐπειδήπερ πᾶς ὁ ὑπ' οὐρανὸν τόπος

4 πρός suppl. 7 προτελέσεων V : πρός τελέσεων P : corr. Malim ἀποτελεσμάτων. 18 συκοφαντούτων P. 18-19 ἐπηριαζόντων V. 20 ὀνήσαιμι V : ὀνῆσαι P : corr. 21 An προενεγκεῖν? [Kroll]. 28 τὰς ἐκ τῶν P. 30 μίαν μίαν V: μίαν P : πρώτην μίαν scripsi (α' habebat archetypus). Cf. Genes. I, 5 : ἡμέρα μία. Vide etiam Lydum, *De mensib.*, II, 4 (p. 21, 3 ss.; 23, 13, ed. Wünsch) [Bidez]. 32 φάναι] De usu infinitivi, cf. 237, 17. 32-33 Genes. I, 1. 35 αὐτοῦ (sc. Ἡλίου) scripsi : αὐτὸν codd.

σκοτεινός ἐστι καὶ ἀργὸς δίχα τῆς τοῦ Ἡλίου [f. 130] λαμπηδόνος, ἐπήγαγεν· «ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος καὶ σκότος ἐπάνω τῆς ἀβύσσου·» καὶ ἐπιβεβαιῶν τήνδε τὴν ἡμέραν εἶναι τοῦ Ἡλίου ἐπήγαγε μετ' ὀλίγον· «καὶ εἶπεν ὁ Θεὸς γενηθήτω φῶς» καὶ τὰ ἑξῆς· ἔπρεπε γὰρ ἐν τῇ τοῦ Ἡλίου ἡμέρᾳ γεννηθῆναι καὶ τὸ φῶς, ὥστε κατὰ τὸ ὁλόκληρον φανῆναι τὴν πρώτην ἡμέραν ἤγουν μίαν εἶναι τοῦ Ἡλίου.

Ἀκόλουθον δὲ τοῦ Ἡλίου κεκλήρωται ἡ Σελήνη τὴν δευτέραν ἡμέραν· ἐν αὐτῇ γὰρ συνηθροίσθη τὰ ὕδατα εἰς τὰς συναγωγὰς αὐτῶν καὶ διεχωρίσθη μεταξὺ ὕδατος καὶ ὕδατος καὶ ὤφθη ἡ ξηρά, ἐπειδὴ ἡ Σελήνη κάθυργος ὑπάρχει καὶ διάφορος τοῖς φωσὶν εἴς τε τὰς μηνοειδεῖς αὐτῆς φάσεις καὶ διχοτόμους καὶ ἀμφικύρτους, καὶ ἡ Σελήνη μειωτική ἐστιν καὶ αὐξητικὴ καὶ διὰ τῶν αὐτῆς σχημάτων καὶ μεγάλων καὶ ὠκεανιτίδων θαλασσῶν ἀμπώτιδες ἀποτελοῦνται, λείψεις τε ποταμῶν καὶ ἐπικλύσεις μετ' ἄλλων πολλῶν ἀλλοιώσεων, ἃς ἡ πολλὴ πεῖρα τοὺς ἀνθρώπους ἐδίδαξεν.

Τρίτη ἡμέρα τῷ Ἄρει δεδώρηται· ἐν αὐτῇ γὰρ πᾶν δενδρικὸν καὶ χορτῶδες ἡ γῆ ἐξήγαγεν εἰς τροφὴν καὶ ἀνάλωσιν· ὁ Ἄρης γὰρ διάπυρος καὶ ξηρὸς ὑπάρχων τῇ φύσει ἀναλωτικός ἐστιν πάσης ὕλης καὶ φθορεύς, καὶ διά τοι τοῦτο ἀποκεκλήρωται αὐτῷ ἡ τρίτη ἡμέρα.

Ἡ δὲ τετάρτη ἡμέρα τῷ Ἑρμῇ ἀπονέμεται ὡς λογικῷ καὶ πάσης σοφίας αἰτίῳ· ἐν ταύτῃ γε μὴν τῇ ἡμέρᾳ τοὺς φωστῆρας ἅμα τοῖς ἄστροις δεδημιουργῆσθαι λέγει ἡ κοσμοποιΐα εἰς σημεῖα [f. 130v] καὶ εἰς καιρούς. διὰ τοῦ λόγου γὰρ καὶ τῆς ἐπιστημονικῆς θεωρίας καταλαμβάνομεν τὸν τοῦ Ἡλίου καὶ τῆς Σελήνης δρόμον, τῶν τε ἀστέρων τὰς κινήσεις ἐν μήκει καὶ πλάτει καὶ τοὺς τούτων ἀναποδισμούς τε καὶ προποδισμοὺς σὺν ταῖς φάσεσι καὶ ταῖς δύσεσιν αὐτῶν μετὰ πάσης τῆς ἀποτελεσματικῆς αὐτῶν ποιότητός τε καὶ δυνάμεως.

Ἡ πέμπτη ἡμέρα ἀποκληροῦται τῷ Διί, καὶ μάλα προσηκόντως, ὡς γονιμωτάτῳ καὶ πάσης εὐκρασίας ἀέρων αἰτίῳ. καὶ διὰ τοῦτο ἐν ταύτῃ τῇ ἡμέρᾳ ἐξήγαγε τὰ ὕδατα καὶ πάντα τὰ κτήνη καὶ τὰ θηρία σὺν ἅπασι τοῖς πετεινοῖς, ἵνα πᾶσα ἡ γῆ καὶ ὁ περιέχων ἀὴρ πληρωθῇ παντοδαπῶν ζῴων.

Ἡ ἕκτη ἡμέρα τῷ τῆς Ἀφροδίτης ἄστρῳ ἀπονενέμηται, διότι καὶ οὗτος ὁ ἀστὴρ εὔκρατος πέφυκε καὶ γονιμώτατος καὶ πάσης ἱλαρότητος ἀνάπλεως· ἐν ταύτῃ οὖν τῇ ἡμέρᾳ ὁ γενικώτατος ἄνθρωπος ἐπλάσθη καὶ γέγονεν εἰς ψυχὴν ζῶσαν καὶ βασιλεὺς πάντων τῶν ἐπὶ

2 Genes. I, 2. 3 καὶ ἐπὶ superscr. V. 4 Genes. I, 3. 5 ἡ ἡλίου V. γενηθῆναι codd. 6 α' in marg. codd. 8 β' in marg. Exp. τῷ Ἡλίῳ [Kroll]. 9 συνθροίσθη V. 10 Genes. I, 9. 11-12 μ(η)νο(ει)δεῖς evanid. in V. 13 μεγάλων vix sanum : μεγεθῶν coni. Bidez. 15 ἀλλοίωσις codd. 17 In marg. Γ'. 21 In marg. Δ'. An ἀπονενέμηται? cf. 34. 22 αἰτίων V. 23 Genes. I, 14. 24 In marg. ε'. 29 μάλα προσηκόντως] πόλλα πρεπόντως al. manu superscr. P. 34 In marg. ς'.

τῆς γῆς· καὶ καθὼς ὁ τῆς Ἀφροδίτης ἀστὴρ ἔχει τὸ κλέος καὶ τὴν λαμπρότητα ὑπὲρ πάντας τοὺς ἀστέρας καὶ διαφέρει αὐτῶν τῷ κάλλει καὶ τῇ δόξῃ, οὕτω καὶ ὁ ἄνθρωπος ἔχει τὴν ἀρετὴν ὑπὲρ ἕκαστον ζῷον καὶ διαπρέπει τῷ λόγῳ καὶ τῷ νῷ καὶ τῇ δόξῃ καὶ τῇ λαμπρότητι, καὶ γέγονε τοῦ παραδείσου γεωργός, ἤγουν ἐπιμελητὴς πάντων τῶν ἐπὶ τῆς γῆς.

Ἡ ἑβδόμη ἡμέρα εὐλόγως τῷ Κρόνῳ κεκλήρωται· λέγεται γὰρ ἐν αὐτῇ καταπαῦσαι τὸν δημιουργὸν ἐκ [f. 131] τῶν ἑαυτοῦ ἔργων, καὶ ὅτι ἡμέρα ἀργίας καὶ ἀπραγίας. ἀργὸς γὰρ ὁ Κρόνος καὶ ἄγονος διὰ τὴν ἔμφυτον αὐτοῦ ψυχρότητα· οὔτε γὰρ ἐν ζῴοις γενητικὸς οὔτε ἐν τῇ λοιπῇ φύσει τῶν κτισμάτων ἐνεργητικός, ἀλλὰ μᾶλλον ἀργὸς καὶ ἄτεγκτος.

Ταῦτά σοι, τέκνον, ὡς ἐν συντόμῳ προήγαγον περὶ τῆς κοσμοποιητικῆς ἑπταημέρου καὶ πῶς ἂν ἑκάστη ἡμέρα φυσικῶς ἀποκεκλήρωται τῷ καθενὶ τῶν ἑπτὰ ἀστέρων· ὅτι δὲ καὶ ἑπτὰ ἀστέρες εἰσὶν οἱ ὑπὸ τοῦ δημιουργοῦ κατεσκευασμένοι, καὶ Σολομὼν ἐν τῷ παναρέτῳ αὐτοῦ βίβλῳ μέμνηται αὐτῶν, ὅπου οἶκον φάναι αὐτὸν τὴν σοφίαν ἑαυτῇ κατεσκευακέναι καὶ ἑπτὰ κίοσιν αὐτὴν ὑπερείδειν· ὡσαύτως καὶ Ἡσαΐας ὁ προφήτης ἑπτὰ ὀφθαλμοὺς λέγει κυρίου ἐπιβλέποντας τὴν οἰκουμένην. καὶ τί τούτου σαφέστερον εἴτ' ἀληθέστερον τοῦ ἑπτὰ εἶναι τοὺς ἀστέρας, οἵπερ ἂν τὴν ἐναντίαν κίνησιν ποιοῦνται ἐν τῷ ζωοφόρῳ κύκλῳ, καὶ διὰ τῆς αὐτῶν πρὸς ἀλλήλους συσχηματίσεώς τε καὶ στάσεως τὴν ἀλλοιωτικὴν τῶν ὑπὸ Σελήνην φύσιν μετασκευάζουσι, παρὰ τοῦ δημιουργοῦ τοῦτο πεπιστευμένοι, ἤγουν γένεσιν καὶ φθορὰν καὶ ἀνανέωσιν τῶν κτισμάτων.

Ἔτι γε μὴν ἐν τῷ πρώτῳ μου συντάγματι ἐμνήσθην ἐπιτροχάδην τῶν ἐξ ἀνατολῆς παραγενομένων μάγων εἰς τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ προσκύνησιν· νῦν δὲ σαφέστερον βούλομαι διαλευκᾶναι τὸ χρῆμά [f. 131v] σοί τε καὶ τοῖς καλῶς κρίνουσι τῶν ἐντυγχανόντων τῷδε μου τῷ συγγράμματι διαλεκτικῷ τινι λόγῳ, ὅπως ἂν οἱ ἀπειθῶς ἔχοντες ἐν τούτῳ πεισθεῖεν τῷ τῆς ἀληθείας λόγῳ· πόθεν ἔγνωσαν οἱ μάγοι βασιλέα τικτόμενον ἐν τῇ Ἰουδαίᾳ; ἀπὸ χρησμοῦ τινος ἢ ἀπὸ ἀστέρος ἐπιτολῆς ἤτοι κομήτου ἢ ἄλλου τινὸς φανέντος; καὶ εἰ μὲν ἀπὸ χρησμοῦ, περιττὸς ὁ τοῦ ἀστέρος λόγος· τίς γὰρ ἦν χρεία ἀστρικῆς φάσεως καὶ σημασίας; εἰ δὲ ἀστὴρ ἐφάνη τοῖς μάγοις, δῆλον δι'

1 καθὼς ὅτι ἡ Ἀφρ. codd.; corr. 7 In marg. Ζʹ. 11 λύπῃ P. 13 [ἐν συν]τόμῳ charta exesa in P. An προσήγαγον? 17 Prov. Salom., IX, 1. φάναι] Cf. supra 235, 32. 19 Ἡσαΐας errore; cf. Zachar., IV, 10. 20 τοῦ omis. V. 21 ποιοῦντες (αι superscr.) P. 21 ἐν del. Kroll. 22 συσχηματώσεως codd., sed ω in ι corr. P. 23 Σελήνην codd. φύσιν ex φάσιν corr. P. τῇ V: in παρὰ corr. al. manu P. Fuit fort. τῇ τοῦ δημ. βουλῇ. 25 ἀνανέωσιν superscr. P. 27 De magis plura verba fecerunt Manuel Commenus atque Glycas in epistulis supra editis p. 113 ss.; 127 ss. 30 τόδε V.

ἀστρολογικῆς ἐπιστήμης ἐκινήθησαν οἱ μάγοι τοῦ εἰδέναι βασιλέως γέννησιν, καὶ ὁ ἀστὴρ αὐτὸς ἐγένετο σημάντωρ τῆς δεσποτικῆς ἐκτροπῆς· καὶ εἰ τοῦτο φανερὸν τοῖς νοῦν ἔχουσιν, ἀληθής ἐστιν ἡ ἀστρολογία.

Καλῶς κρίνατε οἱ ἀκούοντες καὶ τῆς μέμψεως ἐλευθεροῦν ἀξιώσατε τοὺς ἀστρολογοῦντας καὶ τὸν δημιουργὸν ἐκ τῶν κτισμάτων ἀναλόγως γνωρίζοντας· ἔτι οὖν, ὡς οἶσθα, τέκνον, οὐχὶ μία ὁδός ἐστιν οὔτε εἷς βαθμὸς τῆς ἀρετῆς, ἔστι κατὰ τὸν ἱερώτατον καὶ πάνσοφον Παῦλον βαθμὸς πνευματικὸς καὶ ψυχικὸς καὶ σαρκικός· ἀκόλουθα γὰρ διδάσκει τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ· αὐτὸς γὰρ ὁ σωτὴρ ἡμῶν ἐν εὐαγγελίοις τὴν τελείαν ὁδὸν διδάσκων τοὺς ἁγίους αὐτοῦ μαθητάς, καταλιμπάνειν ἑστίαν καὶ γονεῖς, τέκνα τε καὶ γαμετὴν καὶ ἁπλῶς εἰπεῖν ὅλον τὸν βίον καὶ ἆραι τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖν αὐτῷ, [f. 132] ἐν τούτῳ τὴν πνευματικὴν καὶ ἀνωτάτω σοφίαν ᾐνίξατο, ἧς ἐπέκεινα οὐδεὶς ὑπάρχει βαθμός· καίτοι γὰρ διὰ τὸ γινώσκειν αὐτὸν ὅτι οὐ πάντες ἄνθρωποι δύνανται τὸν τοιοῦτον ἐπιβῆναι βαθμόν, ἐδίδαξε καὶ ἄλλας ὁδοὺς ταύτης ἥττους ἐν τῷ φάναι αὐτὸν μετὰ τὰ πέντε τάλαντα δύο τάλαντα καὶ ἓν τάλαντον, καὶ περὶ τοῦ οἰκονόμου τῆς ἀδικίας, αἰνιττόμενος δι' αὐτοῦ ὅτι ὁ μὴ δυνάμενος ἔχεσθαι τῆς ὑψηλοτάτης ὁδοῦ τῶν ἀρετῶν, δι' ἄλλης ὁδοῦ ἐρχέσθω, ἤτοι τῆς μέσης καὶ μεταδοτικῆς, ἵνα ὁ τοιοῦτος ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν τελειωθῇ· ὥσπερ οὖν καὶ ἐπῃνέθη ἐν τούτῳ ὁ οἰκονόμος ὑπὸ τοῦ ἰδίου δεσπότου, καὶ νῦν εὖ ἴσθι, τέκνον, ὅτι ἐστὶ σοφία πνευματικὴ ἡ τῶν τελείων, οἵπερ † ἂν ἐκβιῶντες οὐ κέχρηνται τοῖς μαθηματικοῖς οὐδ' ἄλλαις τισὶ σοφιστικαῖς συμπλοκαῖς ἀλλὰ τῇ ἁπλότητι τοῦ τρόπου τὴν ἄκραν ἀρετὴν ἀσκοῦσι μετὰ τῆς σεμνῆς παρθενίας· καὶ ἐστὶν ἄλλη σοφία ψυχικὴ ἐρευνῶσα τὴν κοσμικὴν φιλοσοφίαν διὰ λόγου καὶ πράξεως καὶ σεμνοῦ γάμου καὶ ἀρετῆς μέσης καὶ ἀμέμπτου παρθενίας· <ταύτην ἀσκοῦσιν> ἰατρῶν παῖδες καὶ ἀστρονόμων καὶ Πλατωνικῶν καὶ Ἀριστοτελικῶν χωρὶς τῆς οἱασδήποτε μέμψεώς τε καὶ παροιστρήσεως, διότι ὁ μὴ δυνάμενος γενέσθαι ἥλιος γινέσθω σελήνη, καὶ ὁ μὴ δυνάμενος γενέσθαι σελήνη γινέσθω ἀστὴρ φωτεινός, καὶ ὁ μὴ ὢν ἱκανὸς πορίσασθαι χρυσὸν καὶ ἄργυρον γεωργεῖ σῖτον καὶ ἄλλων τινῶν φροντιστὴς γίνεται εἰς οἰκοδομὴν βίου· ὁ δὲ τρίτος βαθμός ἐστι τῶν σαρκικῶν καὶ σαρκοφρόνων καὶ πρόνοιαν ποιουμένων [f. 132v] τῆς κοσμικῆς ἀπάτης καὶ ἀλαζονείας, ἧς ἀπέχεσθαί σε, ὦ τέκνον, εὐκταίως ἔχω καὶ ἕξοιμι. ἔρρωσο πράττων τῇ ἀληθείᾳ καὶ ἐξυπηρετῶν τῇ δικαιοσύνῃ.

F. C.

2 γένεσιν P. 7 ἀρετῆς ἐστὶ codd. Paul. I, Cor. 15, 44 ss. 9 Ev. Matt. X, 37 ss. 12 Ev. Matth. XVI, 24. 13 πνευματικὴν καὶ] His verbis textus cod. P abrumpitur imo folio 21v. 17 Ev. Matth. XXV, 14 ss. 21 ὥσπερ scripsi : ὥστε codd. 23 οἵπερ scripsi : εἴπερ codd. ἄνω βιοῦντες coni. Kroll dubitanter. 23 ss. Similia apud Manuel Commenum, supra p. 120, 3 ss. 28 ταύτην ἀσκοῦσιν suppl. 30 Cf. I Cor. 15, 41. 35 εὐκτέως codd.

EXCERPTA EX COD. 11 (VATIC. GR. 1066).

De antigennesi.

Ἀντιγέννησις sive ἀντιγένεσις unice quod sciam, in loco quodam scholiorum in Paulum Alexandrinum (p. R 4v) breviter attingitur; cf. Bouché-Leclercq, *L'astrol. gr.*, p. 506, n. 2. En habes ex codice Vaticano methodum inveniendi antigennesin. Res ipsa mihi, ut libere fateor, nondum prorsus perspicua neque ex Hermetis philosophi libro de Revolutionibus nativitatum (Basil. 1559) satis illustratur. Habet et Vettius Valens in *Anthologiis*, IV, 28, caput Περὶ ἀντιγενέσεως εἰς τὸν περὶ ἐμπράκτων καὶ ἀπράκτων τόπον, de quo propediem Catalogum nostrum ad codicem Vatic. 191 conferre licebit.

F. 74v. Πῶς δεῖ εὑρίσκειν ἀντιγέννησιν[1].

Ἐν τῷ θέματι τῆς ἐκτέξεως ζητοῦμεν τὴν μοῖραν, ἣν ὁ Ἥλιος κεκλήρωται, ἐν δὲ τῇ ἀποστάσει ἤγουν ἐν τῇ ἐναλλαγῇ οἱουδήποτε χρόνου τὴν μοῖραν, ἣν ὁ Ἥλιος κατὰ τὴν μεσημβρίαν ἤτοι τὴν ς' ὥραν παροδεύει. καὶ συγκρίνομεν ταύτας, εἶτα τῶν δύο Ἡλίων τὰς μετοχάς, καὶ εἰ μὲν ἰσαζούσας αὐτὰς εὕρομεν ἔν τε μοίραις καὶ λεπτοῖς, λέγομεν ὥρας ς' γενέσθαι τὴν ἐναλλαγήν. εἰ δὲ μή, δεῖ ζητεῖν, ποῖος τῶν δύο Ἡλίων ἐπὶ τὰ ἑπόμενα κεῖται τοῦ ζῳδίου ἢ πλείονας μοίρας ἔχει· εἰ μὲν ὁ κατὰ πῆξιν Ἥλιος, μετὰ μεσημβρινὸν γενέσθαι λέγομεν τὴν ἐναλλαγήν. εἰ δὲ <ὁ> τῆς ἀντιγεννήσεως, πρὸ μεσημβρίας· καὶ λαβόντες τὴν διάστασιν, ὅσην διΐσταται, πολλαπλασιάζομεν εἰς κδ' καὶ τὰ γινόμενα μερίζομεν εἰς τὸ τοῦ Ἡλίου ἡμερήσιον κίνημα καὶ τὰ ἀπὸ τοῦ μερισμοῦ ἀναγόμενα λέγομεν ἀπόστημα τῆς μεσημβρινῆς ὥρας. ὃ δὴ ἀπογραφόμενοι ζητοῦμεν τὴν μεσημβρινὴν ὥραν κατὰ τὴν ζητουμένην ὥραν τοῦ κατὰ πῆξιν ἡλίου <καὶ εἰ εὕρομεν> πλείονα τῶν τῆς ἀντιγεννήσεως, μετὰ μεσημβρίαν λέγομεν γενέσθαι τὴν ἐναλλαγήν. εἰ δ' ἦν πρὸ μεσημβρίας, λαβόντες τὴν διάστασιν αὐτοῦ εἰσάγομεν εἰς τὸν κανόνα τοῦ ὡροσκόπου τοῦ Ἡλίου· καὶ εἰ μὲν εὕρομεν τὸν ἀριθμὸν ἐν

1 Vatic. gr. 1066, f. 74v. 5 τοῦ β' ☉☉ cod. 7 τοῦ β' ἡλίων cod. 9 μετὰ μεσημβρινοῦ cod. 10 ὁ suppl.

ταῖς ὥραις, προστιθέαμεν αὐτὸν τοῖς ὁμαλοῖς τοῦ Ἡλίου κινήμασιν τοῖς ἥττοσι· ἀπὸ δὲ τῆς περιφερείας λαμβάνομεν τὰ παρακείμενα αὐτῷ καὶ λέγομεν ὡροσκόπον τοῦ ἀποστήματος. εἰ δὲ μὴ εὕρομεν τοῦτον τὸν ἀριθμόν, λαμβάνομεν τὸν ἐγγὺς ἐλάττονα αὐτοῦ καὶ προστιθέαμεν αὐτὸν τοῖς ἥττοσι ὁμαλοῖς κινήμασιν τοῦ Ἡλίου. τὸ δὲ ἀπόστημα τῆς μεσημβρινῆς ὥρας, ὡς εἴρηται, λαμβάνομεν ἀπὸ τῆς περιφερείας· εἶτα πάλιν ὁρῶμεν τὸ διάφορον τῶν αὐτῶν δύο Ἡλίων καὶ εἰσάγομεν καὶ τοῦτο ὡς δεδήλωται εἰς τὸν αὐτὸν κανόνα. καὶ εἰ εὕρομεν τοῦτο ἐν αὐτῷ, προστιθέαμεν τῷ λειπομένῳ· τὰ δὲ παρακείμενα ἐν αὐτῷ λαμβάνοντες ἀπὸ τῆς περιφερείας λέγομεν λεπτὸν τῆς ὥρας· εἰ δὲ μὴ εὕρομεν τοῦτο, τὸν ἀριθμὸν λαμβάνομεν τὸν ἐγγὺς ἐλάττονα αὐτοῦ καὶ διακρίνομεν ταῦτα, ἕως οὗ ἴσα γένωνται. F. B.

F. 51. Ἐκ τῶν Δωροθέου ἀποτελεσματικῶν περὶ ὀρθῶν καὶ πλαγίων ζῳδίων.

Ἐφ' ἁπάσης πράξεως ποίησον τὴν ἐπίσκεψιν ἀρχόμενος οὕτως, εἴτε ἀγαθὸν ἕξει τέλος εἴτε φαῦλον· χρή, φησί, τὰς φύσεις τῶν ζῳδίων εἰδέναι τῶν τε ὀρθῶν καὶ πλαγίων. ὀρθὰ μὲν οὖν εἰσιν Καρκίνος Λέων <Παρθένος> Ζυγός Σκορπίος Τοξότης· τούτων γὰρ ἕκαστον ὑπὲρ δύο ὥρας ἰσημερινὰς ἐν τῷ ἀναφέρεσθαι κρατεῖ ἀπὸ τοῦ ἀφανοῦς εἰς τὸν ἐμφανῆ κόσμον, χρόνων δὲ ὑπὲρ λ'. πλάγια δὲ τὰ λοιπὰ ἕξ, ἅπερ ἐντὸς δύο ὡρῶν ἰσημερινῶν ἀναφέρεται, χρόνων δὲ ἐντὸς λ'. εἰσὶ δὲ Αἰγόκερως Ὑδροχόος Ἰχθύες Κριὸς Ταῦρος Δίδυμοι. ἐὰν οὖν τὰ ὀρθὰ ζῴδια ὡροσκοπῇ, πάντα ταχέως ἀποβήσεται· ἐὰν δὲ τὰ πλάγια, μόχθους καὶ δυσεργείας καὶ χρόνους ἐμποιοῦσι. τὰ μὲν οὖν πλάγια ζῴδια ἂν ἐπιβλέπῃ τις τῶν ἀγαθῶν ἢ ὡροσκοποῦντα ἢ ἐπέχοντα τὴν Σελήνην, βοήθειαν ἕξει ἡ κάκωσις· τὰ δὲ ὀρθὰ ζῴδια ἂν ἐπιβλέπῃ τις ἢ ἐπέχῃ τὴν Σελήνην τῶν κακοποιῶν ἐπιβλεπόντων, βλάψει τὴν καταρχήν· ἂν δὲ ἀγαθοποιοὶ καὶ κακοποιοὶ ἐπιβλέψωσι τὰ προειρημένα ζῴδια ὡροσκοποῦντα, ἐν πάσῃ καταρχῇ ἀβέβαιον τὴν ἔξοδον τοῦ πράγματος λέγει καὶ ματαίαν καὶ ἐν ἑτέρῳ χρόνῳ ἄλλην ἀρχὴν λαμβάνουσαν. δισώμων δὲ ζῳδίων ὡροσκοπούντων οὐχ ὡς προείρηταί τις πράξει, ἄλλο δὲ πρᾶξαι σημαίνει. ὁμοίως ταῦτά σοι κοινὰ καὶ ἐπὶ πάσης καταρχῆς ἔστω. F. B.

1 κίνημα cod. 5 κίνημα cod. 8 καὶ δεδ. cod.; corr. Kroll. 13 Vatic. gr. 1066, — Eodem Dorothei loco Hephaestio III, 1, usus esse videtur (cf. *Catal.*, VI, p. 102 sq.), quamquam Hephaestio ζῴδια ὀρθῶς ἀνατέλλοντα et λοξά (non πλάγια) dicit. 21 χρόνος hic ponitur pro spatio 4 minutorum; item apud Ptolemaeum et Paulum Alexandrinum. Eundem in modum Babylonii astronomi diem diviserunt; cf. Ginzel, *Lehmanns Beitr. z. alt. Gesch.*, I, p. 353. 24 δυσέργεια : idem vocabulum in Dorothei v. 225 (*Catal.*, VI, p. 108); cf. ἀέργεια, *Catal.*, VI, p. 91 infra; κακοεργείην, *Catal.*, VI, p. 102, v. 122. 25 ὡροσκοπεῖ codd. 31 δύσωμον δὲ ζῴδιον ὡροσκ(οποῦν) cod.

EXCERPTUM EX COD. 12 (Vatic. 1290).

Dodecaeteris chaldaica.

Descriptionibus cycli duodecim annorum, quae iam editae sunt (cf. supra p. 171), nunc addimus novam vestigiis dactylicis insignem; quare nescio an fluxerit ex Orphico carmine cui inscribitur Δωδεκαετηρίδες (cf. *Sphaera*, p. 330 sq.). Cum autem hoc capitulum codicis Vaticani contaminatum sit ex Ptolemaei Tetrab. II, 12 (Περὶ τῆς μερικῆς πρὸς τὰ καταστήματα φύσεως τῶν ζῳδίων) et ex descriptione circuli duodecim annorum, hanc tantum edere, Ptolemaei textum omittere visum est. Praeter Vaticanum contuli Monacensem 287, f. 92ʳ, qui tamen nusquam non conspirat cum Vaticano. Ceterum excerptor Byzantinus mirum quantum brevitati studuit, ut quaedam vix intellegere possis. F. B.

F. 69ᵛ. Περὶ τῆς φύσεως τῶν ιβ' ζῳδίων καὶ πρὸς τὰ ἐνιαύσια καταστήματα τῶν φυσικῶν ἰδιωμάτων.

Κριός ... Τὸ δὲ ἔτος, ὅπερ αὐτὸς κυριεύσει, ὑπάρχει πολεμικὸν ἀπ' ἀρχῆς, πάμφορον πάνυ, παντοίας τροφὰς ἐπιφέρον, πτώσεις δὲ ἀνθρώπων· καὶ τετράποδα θάλψουσι πάντα.

Ταῦρος ... Τὸ δὲ ἔτος, ὅπερ αὐτὸς κυριεύσει, κατόμβριμόν ἐστιν ἀπ' ἀρχῆς καὶ τὰ ὄψιμα τότε μᾶλλον οἴσουσι καρπόν.

Δίδυμοι ... Τὸ δὲ ἔτος, οὗπερ αὐτὸ ἕξει τὴν κυριότητα, μόνος σῖτος γένηται· αὐχμηρὸς δὲ καιρὸς καὶ τὰ σπέρματα κατακαύσει· ἄμπελος καὶ συκῆ ἀνθέξεται καρπῶν.

Καρκίνος ... Τὸ δὲ ἔτος αὐτοῦ τετράποδα οὔποτε θάλψουσι· πενταμηνιαῖος ὁ χειμὼν κρατήσει τὸ μῆκος· πτώσεις δὲ καὶ λοιμός, τετραπόδων πλῆθος ὄλλυται· καὶ τὸ τῶν Διδύμων ἔτος Καρκίνος καταπίνει.

6 καθόμβριμον codd. 8 ὅπερ αὐτός codd. : οὗπερ αὐτὸ (scil. τὸ δωδεκατημόριον) scripsi. 10 καρπόν codd. 13 ὤληται τοῦ ♊ M(onacensis). καρκίνον καταπίει codd. Cf. *Geopon.*, I, 12, 16, de anno Geminorum : ἄμεινον δὲ καρποὺς ἀποθέσθαι διὰ τὴν ἐν τῷ ἐρχομένῳ ἔτει ἐσομένην ἀφορίαν.

Λέων ... Τὸ δὲ ἔτος αὐτοῦ, ὅπερ κυριεύσει, ὡρίσθη ἀπ' ἀρχῆς πάμφορον· πλουτήσει ἐν οἴνῳ καὶ ἐλαίῳ παντί, ἀλλὰ τῶν θηρίων τότε ἐπάνοδος ἔσται· βορὰ τετραπόδων· βροτοῖς δὲ μῆνες ἐρίδων· ἐλαίας ὁ καρπὸς ὀλεῖται· συκῆ καρποφορεῖ· καὶ ἄμπελος ἐκβλύσει τὸν οἶνον.

Παρθένος ... Τὸ δὲ αὐτῆς ἔτος λοιμοῦ ὑπάρχει ποιητικόν· ἀνθρώπων στενώσεις· τετραπόδων βρώματα λήψει· καὶ κεραυνοβόλοι νεφέλαι τὰ σπέρματα κατακαύσουσι· πτώσεις δὲ ἀνθρώπων ἐπικοίνως τρεῖς ἐπὶ δύο.

Ζυγός ... Τὸ δὲ ἔτος, ὅπερ αὐτὸς κυριεύσει, βοῶν τότε ἀνάστασις ἔσται· τετράποδα θάλψουσι· βροτοῖς ἐπὶ γῆς κομήεντα πάμφορα.

Σκορπίος ... Τὸ δὲ ἔτος, ὅπερ αὐτὸς κυριεύσει, σῖτος καὶ ἔλαιον γίνεται· τὰ δ' ἄλλα πάντα οὔποτε θάλψουσι· δρύες καρποφορήσουσι· τοῖς ἀκάρποις βρώματα δοῦναι.

Τοξότης ... Τὸ δὲ ἔτος, ὅπερ αὐτὸς κυριεύσει, πολεμικόν ἐστιν ἀπ' ἀρχῆς· καὶ ἐν ἡμέραις θερισμοῦ τὰ ἅρματα πάντα πεσεῖται· καὶ τῆς εὐθηνίας τὸν καρπὸν λοιμὸς ὑποτάσσει.

Αἰγόκερως ... Τὸ δὲ ἔτος, ὅπερ κρατήσει, ἡ γῆ οἶνον οἴσει ὡς ὕδωρ· καὶ τὰ πρωτογενῆ τῆς γῆς τότε οἴσουσι καρπόν, ὄψιμον δὲ καρπόν· γαῖαν μήποτε μίξεις· κεραυνοβόλος δὲ ὀμίχλη τὰ πάντα μαρανεῖ· καὶ τὸ κρύος τῆς πάχνης ὀλέσει καρπούς.

Ὑδροχόος ... Τὸ δ' αὐτοῦ ἔτος Ἥλιος καύσωνι ῥίψει· αὐχμηρὸς γὰρ καιρὸς γένηται· καὶ τὰ σπέρματα πάντα μαρανεῖ· λοιμὸς γὰρ γένηται μέγας εἰς πάντα.

Ἰχθύες ... Τὸ δὲ ἔτος, ὅπερ οἱ Ἰχθύες κυριεύσουσιν, εὖ μάλα τὰ πάντα ἀναπληροῦσιν. F. B.

1 Cf. *Geopon.*, § 21. 3 ἐρήδουν codd. Cf. *Geopon.*, § 21 : εὔχεσθαι δεῖ, ἵνα μὴ γένωνται σεισμοὶ καὶ πόλεμοι codd. 7 κεραυνοβόλαι codd. 8 κατακαύσει codd. 9 ἐπικενεῖς codd. 11 κομήεις (frondosus) non habetur in Stephani Thesauro. 12 Cf. *Geopon.*, § 29 (p. 25, 25 B.). 20 κεραυνοβόλως codd.

ADDENDA ET CORRIGENDA

P. 30, f. 106, λγ'. Περὶ συναλλαγῶν κ. τ. λ. Editum in appendice p. 179.

P. 31, f. 110, νδ'. Περὶ ἑκάστου ἀστέρος κ. τ. λ. Editum in appendice p. 180.

P. 59. Lege 5. Vallic. 108 (F, 86).

P. 87, 6. Azerbeel est sine dubio Azarkel (el Zarqâli) qui nominatur p. 90, 6.

P. 92, n. 2. Sachl (= Σέχελ, Σέλεχ) plus semel nominatur in codicibus graecis (e. g. Flor. 8, f. 303; Catal. Venet., p. 137, 8; cf. indices nostros). Opera eius ante saeculum XII versa sunt, nam a Ioanne Camatero (v. 1143 ed. Miller) laudantur.

P. 108, l. 14. Pro 128, 27 lege 129, 6.

P. 125, l. 34. Deleas " quantum " et scribas " studet ".

P. 159, l. 11. Leg. πολυφάγος.

P. 202, l. 1. δολίους in textum est recipiendum (cf. p. 216, 14 et 221, 7), quamquam saeculo IX, quo excerpta Parisina facta sunt, iam λογίους tradebatur (p. 223, 27).

INDEX CODICUM

Consensus Numerorum.

Angelicus	17 (C, 5, 4)	cod.	1
„	29 (C, 4, 8)	=	2
„	74 (C, 2, 13)	=	3
Casanatensis	1386 (G, II, 3)	=	4
Vallicellanus	108 (F, 86)	=	5
Vaticanus	208	=	6
„	212	=	7
„	318	=	8
„	1038	=	9
„	1057	=	10
„	1066	=	11
„	1290	=	12
„	1444	=	13
„	1453	=	14

S(criptores) P(ossessores) codicum.

Matthaeus Devaris, cod. 3 (S.).
Eleutherius Eleus, cod. 2, cf. p. 36, n. 1 (S.).
Georgius comes Corinthius, cod. 2 (P.).
Ioannes Lascaris, cod. 3 (P.).
Laudinius eques Hierosolymitanus, cod. 7 (P.).
Ioannes Metellus Sequanus, cod. 8 (S.).
Ottobonius cardinalis, cod. 8 (P.).
Passionea bibliotheca, cod. 12 (P.).
Sirletus cardinalis, cod. 14 (P.).
A. Statius, cod. 5 (P.).
Fulvius Ursinus, cod. 12 (P.).

Annorum notae in codicibus obviae.

A. 1368	=	cod. 6.
Mense iulio a. 1388 Mytilenis	=	cod. 2.
A. 1390? (p. 36, n. 1)	=	cod. 2 pars altera.
A. 1542	=	cod. 10.

INDICES NOMINUM

Numeri priores paginam et versum designant, posteriores uncis inclusi codicem et folium.

I. NOMINA SCRIPTORUM

II. NOMINA CETERA

TABULA ARGUMENTI

CATALOGUS CODICUM

APPENDIX

De astrologis antiquis testimonium novum

Excerpta ex codice 2 (Angel. 29)

Excerpta ex codice 7 (Vatic. 212)

Excerpta ex codice 11 (Vatic. 1066)

Excerptum ex cod. 12 (Vatic. 1290)

INDICES

Bruxellis. — Typis Polleunis & Ceuterick.

CATALOGUS

CODICUM

ASTROLOGORUM GRAECORUM

BRUXELLIS
TYPIS POLLEUNIS ET CEUTERICK
37, RUE DES URSULINES, 37

CODICUM ROMANORUM

PARTEM SECUNDAM

DESCRIPSIT

GUILELMUS KROLL

TOMI V PARS II

BRUXELLIS
IN AEDIBUS HENRICI LAMERTIN
20, RUE DU MARCHÉ AU BOIS, 20

1906

PRAEFATIO

Vatic. 191, quem modo descripsimus, continuit olim ἀνθολογιῶν η' aut θ' sed ita ut liber primus et initio et fine, alter initio careret. Quae perierunt, certe haud dudum perierunt; nam cum saec. XVI. e Vaticano describebatur Seldenianus 22, ille multo plenior erat et fortasse integer; nam num initium libri primi unquam in V infuerit (quod sane inesse potuit), admodum dubium est. Interciderunt igitur aliquot folia in V postquam descriptus est S, et compagibus solutis folium olim cum f. 89 cohaerens delatum est inter f. 95 et 97. Hic igitur est status, qui illustratur numeris quaternionum partim etiam nunc extantibus :

<Quat. ιδ'>	a	=	f. 89
	b		periit
	c		periit
	d		periit
	d'		periit
	c'		periit
	b'		periit
	a'	=	f. 96

[1] Cf. Anon. de planetis, qui Valentem Ptolemaeum Anubionem compilavit : *Catal.*, II, 159, et eum qui Hephaestionem cum Paulo et Valente commiscuit (Maxim. ed. Ludw., p. 112; *Catal.*, I, 71).

<Quat. ιε'>	a		periit
	b	=	f. 90
	c	=	f. 91
	d	=	f. 92
	d'	=	f. 93
	c'	=	f. 94
	b'	=	f. 95
	a'		periit
Quat. ις'		=	f. 97-104
Quat. ιζ'	a	=	f. 105
	b		periit
	c		periit
	d		periit
	d'		periit
	c'		periit
	b'		periit
	a'	=	f. 106
Quat. ιδ'	a	=	f. 107
	cetera interierunt.		

At quae perierunt folia, ea omnia descripta extant in S. Et V quidem solus contuli, S ante me inspexerat Riess et quae ille descripserat non iterum examinavi, quamquam satius erat id facere; maiorem partem ipse transcripsi. Postea cum codex V talis esset qualis nunc, descriptus est ex eo codex Hamburgensis (h) 94 (Math. gr. III, 40) saec. XVII, qui olim fuit Lindebrogii, ex quo ad complures Valentis notitia delapsa est; ex quo graviora excerpserant Usener (cuius schedis uti licuit) et ego, totum descripserat Riess, qui apographon suum summa liberalitate mihi donavit. Librarius cum complura omiserit et suo Marte divisionem librorum restituere conatus sit, graves errores eis peperit qui ex hoc codice Valentem cognoscebant. Salmasius vero, cuius liber de annis climactericis quasi commentarius perpetuus est Valentis, notitiam eius hauserat aut ex Hamburgensi aut ex codice Paris. suppl. gr. 330 B (nam 330 A item Valentem continens postea demum ab Huetio scriptus est [1]), qui ipse quoque aliquo modo fluxit e V. — Cf. *Catal.*, VII, cod. 38.

Alia via ad nos pervenerunt reliquiae librorum I et II, quibus damna codicis V partim sarciuntur; partim : nam hic quoque initium ipsum deest. Haec traditio rursus in duos ut videtur rivulos dividitur :

Familiae prioris sunt : Marcian. 314 (M), saec. XIV (*Catal.*, II, 2, 83 sqq.).
Neapol., III, C 20, saec. XV (*Catal.*, IV, 65, 174 sqq.).
Laurent., 28, 20 saec. XIV (*Catal.*, I, 4; IV, 179).

[1] De his pauca debeo amicitiae Ioannis Graeven, quem praemature literis ereptum esse quis non luget?

Haec et prioris libri partem posteriorem et alterius principium conservavit.

Familiae alterius : Laurent. 86, 18, anni 1491 (scr. Io. Rhosos); cf. *Catal.*, IV, 77, 179. Hic primi tantum libri fragmenta, sed paulo pleniora exhibet. At suspicio est, ne Rhosi sint ista additamenta, non ipsius Valentis. Qua de re antequam iudicem, plura de hoc codice comperiam necesse est.

Ex particula libri II, quam infra editurus sum, ad quam M et S (i. e. V) adhibiti sunt, videbis hanc traditionem ad codicis V gemellum redire.

Excerpta ad Valentis vitam et philosophiam pertinentia.

Ex capite V, 6. — F. 97v, codicis V.

Νενομοθέτηκε γὰρ ἡ εἱμαρμένη ἑκάστῳ ἀμετάθετον ἀποτελεσμάτων ἐνέργειαν περιτειχίσασα πολλαῖς αἰτίαις ἀγαθῶν τε καὶ κακῶν, δι᾽ ὧν αὐτογέννητοι ὑπουργοὶ δύο θεαὶ φερόμεναι, Ἐλπίς τε καὶ Τύχη, διακρατοῦσι τὸν βίον καὶ μετὰ ἀνάγκης καὶ πλάνης φέρειν ἐῶσι τὰ νενομοθετημένα. Καὶ ἡ μὲν αὐτῶν πρόδηλος πᾶσι διὰ τῆς τῶν ἀποτελεσμάτων ἐκβάσεως ἑαυτὴν ἀπελέγχουσα ὁτὲ μὲν ἀγαθὴν καὶ μακαρίαν, ὁτὲ δὲ σκυθρωπὴν καὶ ἀνήμερον· οὓς μὲν γὰρ ἀνίστησιν ἵνα καταβάλῃ, οὓς δὲ εἰς ταπεινὸν καταρρίπτει ἵνα λαμπρότερον ἀναστήσῃ· ἡ δὲ οὔτε σκυθρωπὴ οὔτε φαιδρά, ἀλλὰ διὰ παντὸς ἀποκεκρυμμένη πανταχοῦ λεληθότως ἐπιβαίνει καὶ προσμειδιῶσα πᾶσιν οἷά τε κόλαξ πολλὰς αἱρέσεις ἀγαθῶν ἐπιδείκνυσιν ὧν οὐκ ἔστι λαβέσθαι· πλανῶσα δὲ τοὺς πλείστους διακρατεῖ, οἱ δὲ καίπερ ἀδικούμενοι καὶ κατακόλουθοι γενόμενοι ταῖς ἡδοναῖς πάλιν ὑπ᾽ αὐτῆς ἀνθέλκονται, καὶ ἐλπίζοντες ἃ θέλουσι πιστεύουσιν, ἐπιτυγχάνουσι δὲ ἃ μὴ προσδοκῶσιν. εἰ δέ ποτε καὶ βεβαίαν οἴησίν τινα παράσχῃ, καταλείπουσα πρὸς ἑτέρους πεπόρευται καὶ δοκεῖ παρὰ πᾶσιν εἶναι παρ᾽ οὐδενὶ μένουσα. ὅθεν οἱ μὲν ἄπειροι τῆς προγνώσεως ἢ μηδ᾽ ὅλως ἐντυχεῖν βουλόμενοι ἄγονται καὶ λεηλατοῦνται ὑπὸ τῶν προειρημένων θεῶν καὶ πᾶσαν τιμωρίαν ὑπομένοντες μεθ᾽ ἡδονῆς κολάζονται· καὶ οἱ μὲν τῶν προσδοκηθέντων ἀπὸ μέρους ἐπιτυγχάνοντες καὶ μείζονας πίστεις εἰσενεγκάμενοι βεβαίας καὶ καλὰς τὰς ἐκβάσεις περιμένουσιν, οὐκ εἰδότες τὸ εὐκαθαίρετον καὶ τὸ ἐπισφαλὲς τῶν ἀντιπτωμάτων, ἔνιοι δὲ οὐ πρὸς καιρὸν ἀλλὰ διὰ παντὸς ταῖς γνώμαις καταδικασθέντες, ἔκδοτον δὲ τὴν ψυχὴν καὶ τὸ σῶμα

Cf. ad totum caput R. Schuetze, *Iuvenalis Ethicus*, cap. IX. 3 Fatum enim est Stoicis εἱρμὸς αἰτίων. 4-5 Cf. A. P., IX, 49, Ἐλπὶς καὶ σὺ Τύχη μέγα χαίρετε· τὸν λιμέν᾽ εὗρον· οὐδὲν ἐμοὶ χὑμῖν· παίζετε τοὺς μετ᾽ ἐμέ et Anth. lat. 1498, Buech. 8 καταλάβη V, corr. Us. 10 φανερὰ V. 12 possis εὑρέσεις. 16 an ὄνησιν? τινι Cumont. 17 οὐδὲν V. 21 ἐνεγκ. V; corr. Cumont.

τωρ ὤν (Ὅτε ἐστὶν ὁ Ἄρης χρονοκράτωρ — [f. 269] δεῖ σύγκρασιν ποιήσασθαι τῶν σημασιῶν τῶν τόπων καθὼς προεδείξαμεν).

F. 269v. Περὶ τῆς σημασίας τοῦ Ἡλίου ὅτε ἐστὶ χρονοκράτωρ καὶ ἀκάκωτος (estne indicis VI, 1?) (Ὅτε τύχῃ ὁ Ἥλιος χρονοκράτωρ οὐ λαμβάνομεν — οἱ δὲ κεκακωμένοι τὸ ἐναντίον).

F. 270. Περὶ τῆς χρονοκρατορίας τοῦ Ἡλίου ὅτε ἐστὶ κεκακωμένος (Ὅτε ἐστὶ χρονοκράτωρ ὁ Ἥλιος προείπομεν — ἀσθενέστερα ἔσται τὰ ἀποτελέσματα).

Περὶ τῆς σημασίας τοῦ Ἡλίου ὅτε ἐστὶ χρονοκράτωρ καὶ ὑπάρχει ἔν τινι τόπῳ τοῦ διαθέματος (Ὅτε ὑπάρχει ὁ Ἥλιος χρονοκράτωρ καὶ ᾖ κατά τε πῆξιν καὶ κατὰ πάροδον — [f. 270v] εἰ δὲ παραλλάσσει, ἔσται ἀσθενέστερα).

Περὶ τῆς σημασίας τῆς Ἀφροδίτης ὅτε ὑπάρχει χρονοκράτωρ καὶ ᾖ ἀκάκωτος (Ὅτε ἐστὶν ἡ Ἀφροδίτη χρονοκράτωρ καὶ ὑπάρχει ἀκάκωτος — [f. 271] τῶν οἰκείων γυναικῶν καταφρονήσας καὶ ἀκηδιάσει πρὸς αὐτάς).

Περὶ τῆς Ἀφροδίτης ὅτε ἐστὶ χρονοκράτωρ καὶ ὑπάρχει κεκακωμένη (Ὅτε ἐστὶν ἡ Ἀφροδίτη κεκακωμένη καὶ ὑπάρχει χρονοκράτωρ — [f. 271v] ἐν τῷ ἑνὶ καιρῷ, ἀσθενέστερα ἔσται τὰ ἀποτελέσματα).

Περὶ τῆς Ἀφροδίτης ὅτε ἐστὶ χρονοκράτωρ καὶ ὑπάρχει ἔν τινι τόπῳ τοῦ διαθέματος (Ὅτε ἐστὶν ἡ Ἀφροδίτη χρονοκράτωρ καὶ ὑπάρχει — [f. 272] ἢ ὁ Κρόνος ὑπάρχει ἔν τινι κέντρῳ τῆς ἐναλλαγῆς).

Περὶ τῆς σημασίας τοῦ Ἑρμοῦ ὅτε ὑπάρχει χρονοκράτωρ καὶ ᾖ ἀκάκωτος (Ὅτε ὑπάρχει ὁ Ἑρμῆς χρονοκράτωρ καὶ τυγχάνει ἀκάκωτος — ἐν τῷ ἑνὶ καιρῷ, πολὺ μέρος ἀφαιρεῖται τῆς σημασίας).

Περὶ τοῦ Ἑρμοῦ ὅτε ἐστὶ χρονοκράτωρ καὶ ὑπάρχει κεκακωμένος — (Ὅτε ἐστὶν ὁ Ἑρμῆς χρονοκράτωρ καὶ ὑπάρχει κεκακωμένος — σὺ δέ διάκριναι τῷ νῷ τὰς μίξεις τῶν ἀποτελεσμάτων).

F. 272v. Περὶ τῆς σημασίας τοῦ Ἑρμοῦ ὅτε ἐστὶ χρονοκράτωρ καὶ ὑπάρχει ἔν τινι τόπῳ τοῦ διαθέματος (Ὅτε ἐστὶν ὁ Ἑρμῆς χρονοκράτωρ καὶ ὑπάρχει ἐπίκεντρος — κατὰ τὴν κρᾶσιν ἀμφοτέρων ἀποφαίνεσθαι).

Περὶ τῆς Σελήνης ὅτε ὑπάρχει χρονοκράτωρ καὶ ᾖ ἀκάκωτος (Ὅτε ἐστὶν ἡ Σελήνη χρονοκράτωρ τὰ ἀποτελέσματα ἔσονται — [f. 273] ἐξορίας ἀπὸ τόπου εἰς τόπον καὶ φυλακὰς καὶ συνοχάς).

Περὶ τῆς σημασίας τοῦ ὡροσκόπου τῆς ἐναλλαγῆς καὶ τοῦ κυρίου αὐτοῦ (Δευτέραν ἔχει δύναμιν μετὰ τὸν ἐνιαυτοκράτορα

ὁ ἐπιμερίζων — [f. 275] ἀπὸ τετραγώνου ἢ διαμέτρου, δηλοῖ βλάβην πολλήν).

F. 275. Περὶ τῶν περιπάτων τῶν ἐν ταῖς ἐναλλαγαῖς λαμβανομένων· διαιρεῖ (*sic*) δὲ εἰς τμήματα δέκα· ὧν πρῶτον τμῆμα περί τε τοῦ περιπάτου καὶ τοῦ μερισμοῦ καὶ τοῦ ἐπιμερίζοντος καὶ τοῦ κοινωνοῦντος ἀστέρος τῷ ἐπιμερίζοντι[1] (Δεῖ ἐν ταῖς ἐναλλαγαῖς τῶν χρόνων πολλῶν τόπων ποιεῖσθαι περίπατον τῶν μὲν κατὰ πῆξιν — [f. 276] εἰ δὲ διοικοῦσι διάφοροι ἀστέρες, ποίησον σύγκρασιν τῆς σημασίας αὐτῶν).

Τμῆμα δεύτερον περὶ τὰς (*sic*) σημασίας τῶν ἀγαθοποιῶν καὶ κακοποιῶν ὁριοκρατόρων καὶ τῶν κοινωνούντων αὐτοῖς εἴτε διὰ τοῦ οἰκείου σώματος εἴτε διὰ τῆς οἰκείας ἀκτῖνος (Τοῖς ἐπιμερίζουσιν ἀγαθοποιοῖς τε καὶ κακοποιοῖς ἰδία τις πρόσεστι σημασία ἐν τῇ διοικήσει τοῦ ἐπιμερισμοῦ — [f. 278ᵛ] θάνατος μὲν οὐ γενήσεται, σύμπτωμα δὲ μέγα καὶ κινδυνῶδες).

Περὶ τῆς σημασίας τοῦ Κρόνου ἐπιμερίζοντος καὶ περὶ τοῦ συνεπιμερισμοῦ τῶν ἀστέρων πρὸς αὐτόν (Ὅτε ποιήσεις τὸν περίπατον τινὸς τῶν ἀφετῶν ἢ τοῦ Ἡλίου — ὅτε ἀκτινοβολήσουσι τὸ ὅριον ἐκεῖνο καθὼς εἴπομεν καὶ πρότερον).

Περὶ τῆς σημασίας τοῦ Ζηνὸς ὅτε ὑπάρχει ἐπιμερίζων καὶ τὰς συνεπισημασίας τῶν συνεπιμεριζόντων αὐτῷ ἀστέρων (Ὅτε ἐπιμερίζει ὁ Ζεὺς μὴ συνεπιμερίζοντος αὐτῷ τινος τῶν ἀστέρων ἢ ἐφορῶντος — [f. 279] οἰκειωθήσεται βασιλεῦσι καὶ πρόθυμος ἔσται ἐν τοῖς ἔργοις αὐτοῦ).

Περὶ τοῦ ἐπιμερισμοῦ τοῦ Ἄρεος καὶ τῶν συνεπιμεριζόντων αὐτῷ ἀστέρων (Ὅτε ἐπιμερίζει ὁ Ἄρης μηδενὸς συνεπιμερίζοντος αὐτῷ ἀστέρος — [f. 279ᵛ] πρεσβείας καὶ ἀγγελίας καὶ φήμας καὶ μητέρα καὶ θηλείας ἀδελφάς).

Περὶ τοῦ ἐπιμερισμοῦ τῆς Ἀφροδίτης καὶ τῶν συνεπιμεριζόντων αὐτῇ ἀστέρων (Ὅτε ἐπιμερίζει ἡ Ἀφροδίτη μόνη μηδενὸς συνεπιμερίζοντος αὐτῇ ἀστέρος — ὠφεληθήσεται προφάσει γυναικῶν καὶ τεύξεται ἀξίας καὶ πλούτου).

Περὶ τοῦ ἐπιμερισμοῦ τοῦ Ἑρμοῦ καὶ τῶν συνεπιμεριζόντων αὐτῷ ἀστέρων (Ὅτε ἐπιμερίζει ὁ Ἑρμῆς μηδενὸς ἐπιμερίζοντος αὐτῷ ἢ συσχηματιζομένου — [f. 280ᵛ] ἢ τοῖς ἔτεσιν αὐτοῦ, τηνικαῦτα ἐνδύναμα ἔσται τὰ ἀποτελέσματα).

Τμῆμα ὄγδοον: Περὶ τῆς κοινωνίας τοῦ χρονοκράτορος καὶ τοῦ ἐπιμερισμοῦ αὐτοῦ καὶ τοῦ ἐπιμερίζοντος καὶ τοῦ ὡροσκόπου κατὰ τὴν σημασίαν [In marg. f. 281ᵛ adscr. περὶ τῆς φαρταρίας τοῦ Ἡλίου[2]] (Ὅτε ἐστὶν ὁ ἐπιμερισμὸς καὶ ὁ κύριος

[1] Respondere videtur indicis VI, 2, sed vides multa turbata esse.

[2] Supra f. 263ᵛ sqq. tractantur φαρταρίαι Lunae Saturni Iovis Martis; infra

Ex capite V, 9. — F. 99v.

Καὶ ταῦτα μὲν ἡμεῖς νήφοντι λογισμῷ καὶ πολυμερίμνοις ἀνίαις δοκιμάσαντες μετὰ πολλοῦ πόνου προεθέμεθα τοῖς γέ νοῦν ἔχουσι, καὶ ὥσπερ οἱ παλαιοὶ καὶ περὶ ταῦτα ἠσχολημένοι ἔπραττον δυνάμενοι ἐξομοιοῦσθαι καὶ συμπάσχειν. ἀλλὰ νῦν ῥᾳδίως μὲν τούτων <τις τῶν> τὴν ἐπιστήμην νοθευόντων λόγοις κεκαλλωπισμένοις καὶ ποικίλαις μεθόδων ἀγωγαῖς πείσειεν <ἂν> οὐ μόνον τοὺς τῆς θεωρίας ἀμυήτους, ἀλλὰ καὶ τοὺς ποσῶς αὐχοῦντας ἢ ἐν μεγάλῃ δόξῃ καθεστῶτας διὰ τὸ ἀκατάληπτον τῆς περὶ αὐτῶν γοητείας τε καὶ τόλμης. τὰ γὰρ ἀποπτώματα μὴ κρίνων ἐναντιώματα εὐημερεῖ διὰ τοῦ θάρσους μὴ ἔχων ἐρύθημα ἔλεγχον ἀμαθίας, ἀλλ' ὥσπερ τραγικὸν ἢ κωμικὸν πρόσωπον περικείμενος σκηνοβατεῖ, πλάνης μᾶλλον ἢ ἀληθείας τρόπον κεκτημένος. ὁ δὲ ἀπὸ δογμάτων καὶ ἀπὸ θεωρημάτων φερόμενος πολυχρονίαν μάθησιν μὴ βουλόμενος καταρρῖψαι ἐπερειδόμενος τῇ ἐμπειρίᾳ ἅτε δὴ βακτηρίᾳ βραδέως μὲν καὶ δεδιότως φθέγγεται καὶ τῇ διανοίᾳ συννεκροῦται λογιζόμενος τὸ μὲν ἀπόπτωμα φυγῆς <καὶ> θανάτου ἄξιον, τὸ δὲ ἐπίτευγμα κέαρ πεπονημένον ἀρετῆς. τοῦτο δὲ περὶ τοὺς ἀμαθεῖς ἢ μετὰ ἀκριβείας μὴ φέροντας τὸν χρόνον ἢ τὴν ὥραν γίνεται· ὅθεν ἐχρῆν τοὺς μάλιστα μετὰ ἀσφαλείας βουλομένους ἀκούειν περὶ τῶν ὄντων καὶ ἐσομένων κρίναντας τοὺς ἄνδρας οἵτινες εἶεν μετὰ σπουδῆς συναγωνίζεσθαι καὶ ἐξομολογεῖσθαί τινα τῶν πραγμάτων, ὅπως καταλαμβανόμενος ὁ προγνωστικὸς τὰς κεντροθεσίας ἀκριβεῖς ἢ καί τινας δυναστικοὺς τόπους ἐξ ἀριθμῶν καὶ ἀγωγῆς περὶ τῶν ὄντων ἀποφαίνηται. πολλάκις γάρ, καθὼς προεῖπον, οὐ μόνον αὐτοὶ ἀλλὰ καὶ οἱ τούτων γεννήτορες τὰς ὥρας διαψευδόμενοι ἀδικοῦσι τὴν ἐπιστήμην· ὁμοίως γὰρ καὶ αὐτὸς ἐκ τῶν ἐμῶν φυτοσπόρων κατελαβόμην. ἀλλὰ ταῦτα μὲν [οὖν] οὐ πράσσουσι, βουλόμενοι ἐν στιγμῇ περὶ τῶν καταθυμίων καὶ μὴ συγκεκραμένων ἀκούειν καὶ ἀδυνάτων πραγμάτων ἐπιτυγχάνειν διά τινος μυστικῆς κακουργίας, ἀκούοντες μὲν παρὰ τῶν ἀμαθῶν καὶ πράσσοντες μετὰ προθυμίας, ἃ μὴ θέμις, ἡδόμενοι παραυτίκα ἐπαίνῳ καὶ τιμαῖς ἀμείβονται τοὺς πολεμίους, κακολογοῦσι δὲ τοὺς σεμνοὺς καὶ ἐμπείρους ὡς μὴ δυναμένους μήτε οὕτως ῥᾳδίως ἀποφαίνεσθαι μήτε πράσσειν λεπτομερῶς, οὐκ εἰδότες ὅτι μετὰ πολλοῦ πόνου καὶ ζητήματος τὰ πράγματα ἑκάστης γενέσεως καταλαμβάνεται. ἐξ ὑστέρου δὲ σφαλέντες τῶν προσδοκωμένων καὶ μετανοοῦντες

5 sc. discentibus. 6 κεκακαλλωπισμένοις V. 9 Nempe περὶ αὐτόν. 10-11 ἐρίθυμα V ut vid. 12 παρακείμενος V. 13 ὁ δὲ] ὃς V. 14 scientiam suam dedecore afficere nolens. 15-16 συνεκκρούεται V. 17 κατὰ κ. π. ἀρετῇ Us., versus lyrici vel tragici alicuius. 20 ἐπομένων V. 23 τινας] nempe τοὺς. 24 ἀποφαίνεται V. 28 aut iungendum περὶ τ. κ. καὶ μὴ et scribendum συγκεκομμένως vel sim. aut in μὴ latet dativus a συγκεκρ. pendens (velut τιμῇ). 29 possis μὴν vel μέντοι. 30 nempe πρασσόντων. 31 mathematicos neglegentes, inimicos aut Valentis aut ipsorum, remunerantur laudibus et honoribus.

ἐπισφαλῶς καὶ ἀνιαρῶς οὐ μόνον ψόγον κατὰ τῶν ψευσαμένων ἐπεισφέρουσιν, ἀλλὰ καὶ τὸ μάθημα ἀνύπαρκτον φημίζουσι καὶ τοὺς μεταχειριζομένους ἐχθροὺς ἡγοῦνται. συμβαίνει δὲ δι' ὀλίγους καὶ ἀναξίους τῆς ἐπιστήμης πολλοὺς ἀτιμάζεσθαι.

Sexti libri prooemium. — F. 99ᵛ.

Πᾶσα μὲν οὖν ἐπιστήμη καὶ τέχνη ἀρεστὴ κατὰ <τὴν> τοῦ ἐπάγοντος πρᾶξίν τε καὶ σύνεσιν ἢ καὶ σώματος ἕξιν οἰκείαν ἢ ἀνάρμοστον πρὸς τὴν ἕξιν. ὅθεν καὶ πολλοὶ μέμφονταί τε καὶ χλευάζουσι τοὺς πλησίον, ἐπεὶ μὴ τῆς αὐτῆς κεκοινωνήκασι πράξεως, ὅπερ ἐστὶν ἀδύνατον καὶ ἀσύμφορον πάντας τὰ αὐτὰ εἰδέναι, ἴδιον δὲ ἑκάστου ἀγαθόν ἡγούμενοι † κέκτηται συμβαίνει τε καὶ φρονεῖν δοκεῖ βέλτιστα. πολλάκις γὰρ εὑρίσκεταί τις ὢν δημιουργὸς καὶ μεθοδικὸς πρὸς τὰς ἐπιβολὰς τῶν πράξεων καὶ ἐπιτευκτικός, κἂν ἄπειρος γραμμάτων ἐπιτυγχάνῃ· ὁ δὲ πάνυ πεπαιδευμένος ῥᾳδίως ἁλίσκεται ὡς ἄπειρος τῶν παθῶν ὑπ' ἀφελότητος καὶ ἀδιοικησίας προδεδομένος· καὶ οὗτος ὀδυνώμενος ματαίαν ἡγεῖται τὴν τῆς παιδείας ἐπιβολὴν καὶ εὐδαίμονα προκρίνει τὸν ἀμαθῆ. Ταῦτα δὲ εἱμαρμένης καὶ τύχης ἐστὶν ἔργα, αἵτινες ἀφάτως ἠρέμα συνερχόμεναι τοῖς ἀνθρώποις οὓς μὲν μακαρίους οὓς δὲ κακοδαίμονας ἀπεργάζονται ἀλογίστως καὶ ἀπρεπῶς. καὶ οὕτως διὰ πλάνης καὶ κακουργίας ὁ βίος ὁδεύων ἃ μὲν αὔξει καὶ δοξάζει καὶ εἰς εὐημερίαν καὶ προφάνειαν ἄγει, ὡς καὶ πολλοὺς ἐραστὰς τῶν τοιούτων γίνεσθαι, ἃ δὲ λυπεῖ καὶ φθείρει καὶ μαραίνει καὶ εἰς λήθην καὶ κίνδυνον καὶ μῖσος μεταφέρει· τινὰς δὲ εἰς τὰς ἐχθίστας αὐτοῖς τέχνας καὶ ἐπιστήμας μετατρέψας ἀμετανόητον γνώμην καὶ πρᾶξιν καὶ τύχην ἐνηρμόσατο. ταῦτα δὲ πάντα τελίσκεται καὶ γίνεται μεθ' ἡδονῆς καὶ ἁρμονίας καὶ λύπης κατὰ τὰς τῶν καιρῶν μεταβολὰς καὶ τὰς τῶν χρόνων ἀνακυκλήσεις.

Προέγραψα μὲν οὖν ταῦτα καὶ αὐτὸς σεμνυνόμενος ἐπὶ τῇ περιχυθείσῃ μοι ὑπὸ τοῦ δαίμονος οὐρανίᾳ θεωρίᾳ, ἥτις νῦν ἀτιμάζεται καὶ ἀπελαύνεται, καὶ προγενεστέρα ὑπάρχουσα καὶ τὰ πάντα διέπουσα ἐν τῷ βίῳ, ἧς ἄνευθεν οὐδὲν οὔτ' ἔστιν οὔτ' ἔσται, ποτὲ δὲ ἐπίφθονον δοκεῖ καὶ τοὔνομα κεκτῆσθαι, ὅτε οἱ πρὸ ἡμῶν ἐπὶ τούτῳ ηὔχουν καὶ ἐμακαρίζοντο. ἄχθομαι οὖν καὶ ζηλωτὴς τυγχάνω τῶν παλαιῶν βασιλέων τε καὶ τυράννων [καὶ] τῶν περὶ τὰ τοιαῦτα ἐσπουδακότων, ἐπεὶ μὴ τοῖς αὐτοῖς ηὐτύχησα βιῶναι χρόνοις εὐπαρρησίαστον καὶ ἄφθονον

8 fors. πρὸς τέχνην ἕ. aut π. τὴν πρᾶξιν. 10-11 ἑκάστου ἀ. ἡγούμενοι κέκτηται V. 11 συμβαίνει quam vim habeat nescio 12 τις ὢν δ. subiectum. 13 ἐπιτυγχάνει V. 14 Melius si scripsisset πρακτέων vel sim. 15 ὁ δυνάμενος V, οὕτως ὁ δεῖνα μὲν Us. 19 οὗτος δὲ πλάνης V. 20 μὴν V. 23 ἐχθίστους V. 24 ἀμετανόητον non intellego; an εὐμετ.? 30 καίπερ προγ. Us. 31 ὁπότε V. 33 ad sqq. cf. Riess, *Necheps.*, fr. 1; Reitzenstein, *Poimandres*, p. 4. 34 καὶ del. Reitz.

τόν αἰθέρα καὶ τὴν ἀναζήτησιν κεκτημένοις. εἰς τοσοῦτον γὰρ ἐπιθυμίας καὶ ἀρετῆς ἔσπευσαν, ὡς τὰ ἐπὶ γῆς καταλιπόντας οὐρανοβατεῖν ἀθανάτοις ψυχαῖς καὶ θείαις καὶ ἱεραῖς γνώμαις συνεπιστήσοντας, καθὼς καὶ ὁ Νεχεψὼ ἐμαρτύρησε λέγων· ἔδοξε δέ μοι πάννυχον πρὸς ἀέρα *** καί μοί τις ἐξήχησεν οὐρανοῦ βοή, τῇ σάρκας μὲν ἀμφέκειτο πέπλος κυανόχρους κνέφας προτείνων καὶ τὰ ἑξῆς. τίς γὰρ οὐκ ἂν κρίναι ταύτην τὴν θεωρίαν πασῶν προὔχειν καὶ μακαριωτάτην τυγχάνειν, ἐν ᾗ Ἡλίου μὲν τακτοὶ δρόμοι κατὰ πρόσθεσιν καὶ ἀφαίρεσιν ἀριθμῶν τροπαῖς ἐπεμβαίνοντες καιρῶν μεταβολὰς προσημαίνουσιν, ἀνατολὰς καὶ δύσεις, ἡμέρας καὶ νύκτας, ὡρῶν [καιρῶν] κρύος καὶ θάλπος, ἀέρων εὐκρασίας, ἔτι δὲ συνιδεῖν ἔστι καὶ Μήνης ἀνωμάλους δρόμους, προσνεύσεις τε καὶ ἀναχωρήσεις, αὐξήσεις τε καὶ μειώσεις, ὕψος τε καὶ βάθος, ἀνέμων φοράς, συναφὰς καὶ ἀπορροίας, ἐκλείψεις τε καὶ σκιασμοὺς καὶ τὰ λοιπὰ πάντα; ἐκ τούτων δοκεῖ συνεστάναι τά τε ἐπὶ γῆς καὶ θαλάσσης καὶ οὐρανοῦ καὶ ἀρχὴ καὶ [τὸ] τέλος τῶν γεννωμένων. τῶν δὲ λοιπῶν ἀστέρων πέντε † αἱ πορεῖαι καὶ ἄστατοι δρόμοι καὶ ποικίλαι φάσεις, ἀλλὰ καίπερ ἀνώμαλοι καὶ πλανῆται ὀνομαζόμενοι ἐστηριγμένην τὴν φύσιν κέκτηνται καὶ διὰ τακτῶν ἀνακυκλήσεων καὶ περιόδων εἰς τοὺς αὐτοὺς ἀποκαθίστανται τόπους.

Τὰ νῦν δὲ ἡ ἐξίχνευσις καὶ κατόρθωσις τῶν πραγμάτων ὑπὸ τοῦ φόβου ἀμαυροῦνται καὶ προμαραίνονται, ἡ δὲ διάνοια ἀρνουμένη καὶ ἀστήρικτος λογισμοῦ ὑπάρχουσα ἐν τοῖς αὐτοῖς οὐκ ἐπιμένει, <ἀλλ'> ἄλλοτε ἀλλαχοῦ πηδῶσα τὴν πρώτην λήθην ἀναλαμβάνει. εὐπροαίρετος δέ τις ὢν καὶ φιλόκαλος ῥᾳδίως ὄκνον [ἀναλαμβάνει] καὶ ἀμαθίαν αἱρεῖται μᾶλλον ἢ ἐπικίνδυνον ἀρετήν· ἀλλ' ὅμως ἐπὶ πάντων ἡ ἐπιθυμία κρατεῖ καὶ κολαζομένη καὶ λυπουμένη ἐπιμένει ἐπὶ τοῖς αὐτοῖς. ἐμὲ δὲ οὔθ' ἵππων δρόμοι ποικίλοι καὶ ταχεῖα μάστιγος ῥοπὴ ἀνεπτέρωσεν οὔτε ῥυθμοὶ ὀρχηστῶν καὶ αὐλῶν καὶ Μούσης καὶ κεκλασμένης ἀοιδῆς θέλξις ματαία ἔτερψεν οὔθ' ὅσα ποτὲ διὰ μεθόδων ἢ χλεύης ἐπάγεται τοὺς ἀκούοντας, ἀλλ' οὐδὲ μὴν ἐπιβλαβέσι καὶ ἐπωφελέσιν πράξεσιν ἡδονῇ καὶ λύπῃ μεμερισμέναις ἐκοινώνησα οὔτε μυσαράς τε καὶ ἐπαχθεῖς ** ἔσχον, ἀλλὰ θείᾳ καὶ σεβασμίᾳ θεωρίᾳ τῶν οὐρανίων ἐντυχὼν ἠβουλήθην καὶ τὸν τρόπον μου ἐκκαθᾶραι πάσης κακίας καὶ παντὸς

2 ἔσπευσα V, corr. Us. 3 φωναῖς συνεπιτηρήσοντας Reitz.; an ζωαῖς συνεπιστατήσοντας? 5 totus trimeter excidisse vid. κοητῆ V. 6 κυανόχρα V, corr. Us. 10 del. Keil Plasberg. 11 fors. εὐκρ. <καὶ δυσκρασίας>. 13 ἀνέμων φοράς post εὐκρασίας v. 11 transfert Plasberg; at luna habet quosdam βαθμοὺς καὶ ἀνέμους (cf. Val., I, 13 etc.). 14 <ἃ> ἐκ Rad. 15 del. Reitz. 16 σκολιαὶ πορεῖαι Reitz. παντοῖαι Rad. 21 ἀμοιροῦνται V. ἀρνουμένη fort. corruptum (αἰωρουμένη Rad.). 24 del. Rad. 27 ταχεῖαν μ. ῥοπὴν V. 28 διαύλων V, δι' αὐλῶν Us. possis ἐκλυούσης καὶ κεκλ. 29 θέλξεως V[a]. an μεθόδων σκευῆς? 30 possis delere ἀλλ' aut μήν, sed V a vetusto particulorum usu aberrat. 31 possis μεμιγμέναις. 32 ἑταίρας suppl. Us. 33 τόπον V.

μολυσμοῦ καὶ τὴν ψυχὴν ἀθάνατον προλεῖψαι. ἔνθεν καὶ τὰ θεῖά μοι προσομιλεῖν ἐδόκει καὶ τὸ διανοητικόν μου πρὸς τὴν ἀναζήτησιν νηπτικὸν ἐκεκτήμην. ἐπεὶ οὖν πολλά τε καὶ θαυμαστὰ συνέταξα δυνάμενα παρὰ τοὺς ἀρχαίους πείσειν τοὺς ἐντυγχάνοντας, ἀναπολήσας ὅτι οἱ ἀρχαῖοι πολλὰς ἀγωγὰς προέθεντο δυσλύτους καὶ αἰνιγματώδεις, ἀναγκαίως ἔσχον ἐν ταύτῃ τῇ συντάξει μυστικὰς καὶ ἀπορρήτους ἀγωγὰς προτάξαι περί τε χρόνων ἐμπράκτων καὶ περὶ ἐσομένων. οὕτως γὰρ εὐκατάληπτος φανεῖσα ἡ ἐπιστήμη καὶ ὑπὸ τῆς ἀληθείας στηριζομένη τὸ μὲν μῖσος ἀποδιώξει, μετάνοιαν δὲ πολλὴν ἐνδειξαμένη ἱερὰ καὶ σεβάσμιος προδειχθήσεται. εἰ δὲ δοκεῖ πολλάκις περὶ τῶν αὐτῶν λέγεσθαι, ἀδιάφορον· ἃ μὲν γὰρ ἐντυγχάνων τοῖς προγενομένοις συνέτασσον διὰ τὸ τῆς ἐπιθυμίας καὶ εὑρέσεως αἰφνίδιον (ἐνθουσιᾷ γὰρ ὁ συγγράφων, μάλιστα δὲ περὶ τούτων, καὶ θεῷ προσομιλεῖν δοκεῖ), ἃ δὲ καὶ ἐπίτηδες, εἴ τις φθόνος προσδραμὼν λυμήνηται τὰς συντάξεις ἡμῶν, <θέλων> εὑρεθῆναι καὶ ἐν ἑτέροις συγγεγραμμένα.

E capite VI, 1. — F. 100.

Παραπλησίαν δὲ ἄν τις εἰκάσειεν ταύτην τὴν ἀγωγὴν τῇ διὰ λευκῶν καὶ μελαινῶν ψήφων μαρτυρίᾳ· παίγνιον γὰρ ὁ βίος καὶ πλάνη καὶ πανήγυρις. καὶ γὰρ φιλόνεικοί τινες ἄνδρες δόλον πανοῦργον ἀλλήλοις μηχανώμενοι κινοῦντες τὰς ψήφους διὰ πολλῶν εὐθειῶν κατατίθενται εἴς τινας χώρας προμαχεῖν προκαλούμενοι. καὶ ἐφ' ὅσον μὲν ὁ τόπος ἄπρακτος τυγχάνει, ἀνεμπόδιστος φέρεται ὁ πεσσὸς κατὰ τὴν τοῦ κινοῦντος θέλησιν φεύγει τε καὶ μένει καὶ διώκει καὶ ἀντιτάσσεται καὶ νικᾷ καὶ ἡττᾶται πάλιν· ἐπὰν δὲ δικτύου τρόπον ὑπὸ τῶν ἐναντίων περιφρουρηθῇ, ἀδιεξόδους τὰς εὐθείας ἔχων καὶ μεσολαβηθεὶς ἀπόλλυται. καὶ οὕτως ἑκάτεροι ὁ μὲν ἡδονὴν καὶ τέρψιν, ὁ δὲ χλεύην καὶ λύπην ἀπαράμονον κατεργάζεται· ὁ γὰρ πεπονθὼς τὸ ἀνιαρὸν μετ' οὐ πολὺ διά τινος μεθόδου ἀναλαβὼν χαρὰν ἀντιπαραδίδωσι τὸ λύπης βάρος τῷ προδεδωκότι. τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῆς τῶν ἀστέρων δυνάμεως νοείσθω. ἐφ' ὅσον μὲν γὰρ ἀγαθοποιὸς διακρατεῖ τῶν χρόνων μηδενὸς κακοποιοῦ παρεμφερομένου, πρακτικὸς καὶ ὑγιεινὸς καὶ εὐπόριστος καὶ εὐεπήβολος τυγχάνων τὸν πάσχοντα εὐτυχῆ καὶ

1 προλῆψαι V, cf. *Catal.*, II, 183, 3. 1-2 post μοι ἔδει V[a]. 2 προσωμιλεῖν V. 3 νϊπτικὸν V[b], ληπτικὸν Cumont. 4 πεῖσαι Us. ἀναπολέσας V. 7 possis περὶ ἐμβάσεων. 11 ἃ] ἕνα V. 14 <ἵν'> ἤν τις ... εὑρεθῇ Us. 18 ἂν Us.] ἐὰν V. De ludo latrunculorum. Cf. Marquardt-Mau[2], 855; Renard, *Bull. Inst. Arch. Liégeois*, XXIX, p. 42. 19 μελάνων V, mutavi dubitans. 20 De vitae cum mercatu comparatione cf. Praechter, *Hierokles*, 149; Cic., *Tusc.*, V, 9. 21 τοὺς ψήφους V, cf. ad l. 19. μετατίθενται Us. 23 ἄφρακτος opinor. 25 Cf. Laus Pison. 194 : ut niveus nigros, nunc et niger a l l i g e t albos. 201 similisque ligato (calculus) obligat ipse duos : ubi cetera quoque similia. 27 fort. ἑκάτερος. 30 προσδεδωκότι V.

θαρραλέον καὶ συνετὸν διαφημίζει, κἂν ἄπειρος παιδείας τυγχάνῃ· [ἢ] καὶ μὴ ὢν ἄξιος τῆς ὑπὸ τοῦ καιροῦ περιχυθείσης αὐτῷ εὐδαιμονίας, σεμνυνόμενος δὲ καὶ ἀγαλλόμενος ἐφ' οἷς κέκτηται καὶ μὴ σκοπῶν τὰς τῶν καιρῶν μεταβολὰς πολλοῖς ἀνιαρὰς λύπας ἐπιπέμπει· ὁπότε δὲ κακοποιὸς ἐπιδιακατέχει τὸν χρόνον, ἄπρακτος καὶ ἐπίνοσος δυσκαταγώνιστος ἐναντιωμάτων πλήρης, ὡς καὶ πρὸς τοῖς κακοῖς ἀδρανῆ καὶ ἄτολμον καὶ πανοῦργον τὸν πάσχοντα διακηρύσσεσθαι, κἂν ἄξιος τυγχάνῃ, καὶ εἰς ἀπόγνωσιν τὰς ἐλπίδας ἀνατυπούμενον διὰ τὴν τῶν καιρῶν κακίαν ἀνθελκόμενον ὑπὸ τοῦ λογισμοῦ πρὸς τὰ παράδοξα τῆς τύχης γενναῖον καὶ εὐπαρηγόρητον καθίστασθαι· ἐπὰν δὲ ἀγαθοποιοὶ κεκακωμένοι διακρατῶσι τοὺς χρόνους, ἀμφοτέρως συμβήσεται, μετ' ὠφελείας βλάβη, μετὰ δόξης δογματισμὸς καθαίρεσις κατηγορίαι ἐπισφαλεῖς φόβοι νόσοι εὐίατοι· ὅθεν ἡδονῇ καὶ λύπῃ συγκεκραμένοι οἱ πάσχοντες οὔτε πλῆρες τὸ φαῦλον οὔτε ἀγαθὸν κεκτημένοι διατελοῦσι.

Ex capite VI, 3. — F. 100v.

Δοκιμάζειν δὲ χρὴ τοὺς ἀστέρας ὁποῖοι τυγχάνουσιν. ὅνπερ γὰρ τρόπον ἐπὶ τῶν ζωγραφικῶν χρωμάτων ἕκαστον καθ' ἣν κέκτηται φύσιν ἀνθηρότατον ἢ καὶ διαυγέστατον καθ' αὑτὸ τυγχάνει καὶ τέρπει τοὺς ὁρῶντας καὶ χρήσιμον εἰς πολλὰ γίνεται, ἐπὰν δ' ἕτερον συμφυρῇ, θολούμενον ἀλλοιοῦται καὶ οὔτε ἐκ φύσεως ὃ ἦν ἔτι ἔστιν οὔτε τὴν τοῦ μιγέντος μόρφωσιν ἐφύλαξεν, ἀλλ' ἐπ' ἀμφοτέροις διεψεύσθη ἐπὶ πλάτος καὶ ἀναγκαστικὸν ἀναλαβὸν χρῶμα τυφλόν τε καὶ ἀτερπές, ἔσθ' ὅτε δὲ ἁρμόζουσαν τὴν μῖξιν <ποιεῖσθαι> εὐτυχῆσαν εὐκρασίαν καὶ καλλονὴν εἰργάσατο (ἀλλ' ὅμως ὁ τεχνίτης διὰ πολλῶν καὶ ποικίλων μορφοῖ τὸν ἄνθρωπον, σκιὰν ἔργου καὶ ἀληθείας ἐνδεικνύμενος) — οὕτως δὲ καὶ οἱ ἀστέρες ὅτε μὲν διαφυλάσσουσι τὴν ἐξ' ἀρχῆς φύσιν κατὰ μόνας ὄντες, ἕτερος δ' ἑτέρῳ συγκιρνάμενος συναλλάξει καὶ τὸ τῆς φύσεως ἰδίωμα. καὶ οὕτως χαλιναγωγοῦντες τὸν ἄνθρωπον μετὰ λύπης καὶ φαυλότητος καὶ συγκρασίας τινὸς ἄγουσι πρὸς τὰ τοῦ βίου πράγματα, ἐν οἷς διαθλεύσας ποικίλως καὶ τὸ τῆς ἐγκρατείας στέφος λαβών, ὅπερ ἦν οὐκ ὤν, τοῦτο γίνεται. ὅθεν εἰκότως οἱ παλαιοὶ τοῖς χρώμασι τοὺς ἀστέρας ἀπείκασαν. τὸν μὲν οὖν τοῦ Κρόνου μέλανα, ἐπεὶ χρόνου ἐστὶ σημεῖον· βραδὺς γὰρ ὁ θεός· ἔνθεν καὶ Βαβυλώνιοι Φαίνοντα αὐτὸν προσηγόρευσαν, ἐπεὶ πάντα τῷ χρόνῳ φανερὰ γίνεται.

8 καὶ] κἂν V. 9 fors. ἀνθελκόμενον <δέ>. 12 nempe δειγματισμός. 13 συγκεκραμένη V. 14 debebat οὔτε τὸ φ. οὔτε τὸ ἀ. πλῆρες κ. 22-23 nempe ἐπίπλαστον καὶ ἀδιάγνωστον vel sim. ἀναλαβὼν V. 24 εὐτυχεῖσαν ἀκρασίαν V. verba parenthesi inclusa cur addiderit V ipse nescivit. 28 συσταλάξει V latet fort. aliud quiddam. 29 χαλεπαγωγοῦντες V, cf. VI, 9, Νέμεσις χαλιναγωγός. 31 Cf. Apoc., 2, 10, 3, 11; ep. ad Timoth. II, 4, 8; ep. Iacob., 1, 12; ep. Petr. I, 5, 4. 32 de coloribus planetarum, cf. Bouché-Leclercq, 314[2]; Valens, *Catal.*, II, 88 sqq.

τὸν δὲ τοῦ Διὸς λαμπρόν· ζωῆς γὰρ αἴτιος καὶ ἀγαθῶν δομάτων. τὸν δὲ τοῦ Ἄρεος κιρρόν· πυρωτὸς γὰρ καὶ τομὸς καὶ κατεργαστικὸς ὁ θεός· Αἰγύπτιοι γὰρ καὶ ἄρτην αὐτὸν προσηγόρευσαν, ἐπεὶ τῶν ἀγαθοποιῶν καὶ τῆς ζωῆς παραιρέτης ἐστί. τὸν δὲ Ἥλιον διαυγέστατον διὰ τὸ εἰλικρινὲς καὶ ἀΐδιον φῶς τὸ ἐν αὐτῷ. Ἀφροδίτην δὲ ποικίλην τῷ σώματι, ἐπεὶ δεσπόζει ἐπιθυμίας, ἥτις εἰς πολλὰ ἐκτείνεται ἀγαθά τε καὶ φαῦλα καὶ τῶν πολλῶν τῶν ἐν βίῳ τελουμένων οἰκείων τε καὶ ἀναρμόστων μόνη δοκεῖ κυριεύειν, ἐπεὶ μετὰ τὴν μέσην τοῦ Ἡλίου ζώνην τὴν διορίζουσαν κληρωσαμένη τὸν κύκλον τάς τε ὑπὲρ αὐτὴν τῶν ἀστέρων ἀπορροίας καὶ τὰς τῶν ὑπ' αὐτὴν ἀναλαμβάνουσα πολυμερεῖς καὶ τὰς ἐπιθυμίας καὶ τὰς πράξεις ἀπεργάζεται. τὸν δὲ τοῦ Ἑρμοῦ ὠχρὸν ἐποίησαν χολῇ παραπλήσιον· συνέσεως γὰρ λόγου καὶ πικρίας δεσπόζει, ἔνθεν καὶ οἱ ὑπ' αὐτὸν γενόμενοι ὅμοιοι τῇ φύσει καὶ τῇ χροιᾷ τυγχάνουσι· τὴν δὲ Σελήνην ἀερώδη· ἄστατος γὰρ καὶ ἀνώμαλος αὐτῆς ὁ δρόμος, ὁμοίως δὲ καὶ αἱ πράξεις καὶ αἱ διάνοιαι τῶν ὑπ' αὐτὴν τεταγμένων. καὶ ἵνα μὴ δόξωμεν δικολογεῖν, πρόκεινται αὐτῶν αἱ φύσεις ἐν τῇ πρώτῃ βίβλῳ.

VI, 4. Διὰ τί οἱ κακοποιοὶ δοκοῦσι μᾶλλον ἐνεργέστεροι εἶναι τῶν ἀγαθοποιῶν.

Δοκοῦσι δὲ οἱ κακοποιοὶ πλεῖον σθένειν τῶν ἀγαθοποιῶν. καὶ γὰρ <ὡς> τοῦ μέλανος καὶ ῥυπώδους ἡ σταγὼν ἐκχυθεῖσα εἰς λαμπρὰν χρωμάτων οὐσίαν ἀμαυροῖ τὴν εὐμορφίαν, τὸ δὲ διαυγὲς πλῆθος ἀτονεῖ τὸ βραχὺ καὶ μιαῖνον ἐπικαλύψαι, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν κακοποιῶν, οἳ ἐν οἷς τινες δοκοῦσιν εὐτυχεῖν, γένει βίῳ σώματι δόξῃ εὐμορφίᾳ ἢ τοῖς λοιποῖς, ὅπερ ἐστὶ σπάνιον, [οἳ] ἐλέγχοντες καὶ ἀφαιρέται τῶν περικτηθέντων γενόμενοι αἰτίαις περιτρέποντες ἢ καὶ σίνεσι καὶ πάθεσι μιαίνουσι τὰς γενέσεις. οἱ μὲν οὖν ἀγαθοὶ ἄνδρες οἰόμενοι πάντας τὰ αὐτὰ αὐτοῖς φρονεῖν ἁπλῶς φερόμενοι πιστεύοντές τε καὶ εὐεργετοῦντες ῥᾳδίως ἁλίσκονται, εἰ καὶ μὴ ὦσιν, ἀλλ' ὅμως ἐπὶ ταῖς καλοκαγαθίαις διαφημίζονται. οἱ δὲ φαῦλοι ὁμοίως τοιούτους εἶναι πάντας νομίζοντες [ἀλογίστως] καὶ μήτε ἰδίοις μήτε οἷς δεῖ πιστεύοντες, ἀλλὰ πλεονεκτοῦντες ἀλογίστως ἔτι τε τῶν ὄντων στερηθέντες ἡδονὴν

1 δόματα V[a] ut vid. (per comp.), δώματα V[b] ne δωτήρ quidem aut δώτωρ abhorret a Valente. 3 fors. ἀγαθῶν aut ἀγαθοποιϊῶν. 7 τὸ ἐν β. τελούμενον οἰκεῖόν τε καὶ ἀνάρμοστον V. 8 διορ. i. e. mediam. 9 nempe τάς τε τῶν ὑ. αὐ. ἀστ. 10 πολυμερὴς V. 17 nempe δισσολογεῖν. Cf. *Catal.*, II, 88 sqq. ubi tamen partim diversa profert. 21 ὡς suppl., ubi in V aliquid deletum. πυρώδους ἡ σταγὼν V. 23 nempe del καί. an ἐπικλύσαι? 24 οἵ] καὶ ex ἢ aut contra V. 25 ὅπερ ἐ. σπ. non intellego (cf. p. 39, 33), an ὦνπέρ ἐστι σπάνις? 26 σύνεσι V. 29 ἁλίσκοται V. εἰ-ὦσιν obscura. (θέλωσιν?); μὴ <εὐήθεις> ὦσιν Cumont. 32 fort. ἐπὶ τέλει τῶν. " voluptatem pariunt invidis "; ἡδονῆς πολλῆς ἀπείργονται Cumont.

πολλὴν ἀπεργάζονται. διαφυλάσσει γάρ τινας τῶν ἀνθρώπων καίπερ ἄκοντας μέχρι εἰς ὃ βούλεται αὐτοὺς περιτρέψαι οὓς μὲν εἰς ὕψος οὓς δὲ ἐπὶ τὸ χείριστον. τοιγαροῦν πολλοὶ μάτην εὐχόμενοι τὸ ζῆν κακοῖς περιπαρέντες ἀλγοῦντες ἐπὶ τοῖς γενομένοις μέμφονται βραδύνοντα τὸν θάνατον καὶ καθ' ἑαυτῶν τι μηχανῶνται ἢ βίαιον τέλος ἀναδέχονται. φύσει δὲ πάντες ἀλλήλων χλευασταὶ καὶ κατήγοροι τῶν ἁμαρτημάτων τυγχάνουσι καὶ σφόδρα ἐπὶ τοῖς κακοῖς χαίροντες καὶ ταῖς τῶν πέλας κατηγορίαις, μετανοοῦντες δ' ἐφ' οἷς ἔπραξαν συνήγοροι τῶν ἁμαρτημάτων καθίστανται. ὥσπερ οὖν αἱ προλήψεις, περὶ ὧν ἄν τις κρίνῃ, οἴησιν ἀληθείας ἐνδείκνυνται οὐ μόνον αὐτοῖς τοῖς πεπιστευκόσιν, ἀλλὰ καὶ πολλοῖς <ἄλλοις, οἳ> κἂν ἕτερα βούλωνται πράττειν ἄγονται ὑπὸ τῆς πλάνης, οὕτως καὶ ἐπὶ τῶν τὰς κανονοποιΐας συμπεπηχότων τινὲς μὲν εὐχερεῖς καὶ ἐπακτικοὶ τῆς ἀληθείας ἀποδέχονται, οἷς καὶ οἱ ἀμαθεῖς προσφέρονται· οἱ δὲ φυσικοὶ καὶ ἀκριβεῖς ἢ διὰ φθόνον ἢ διὰ τὸ σκολιὸν τῆς εἰσόδου παραπέμπονται καὶ καταγινώσκονται· ὅθεν χρὴ δοκιμάσαντας τὸ ἀκριβὲς προσέχειν τῇ φυσικῇ θεωρίᾳ κἂν ἐπὶ τὸ σύνεγγυς. καὶ γὰρ Ἀπολλινάριος πρὸς τὰ φαινόμενα κατὰ τὰς παλαιὰς τηρήσεις καὶ ἀποδείξεις ποικίλων ἀνακαθάρσεων καὶ σφαιρῶν πραγματευσάμενος καὶ κατὰ πολλῶν ψόγον εἰσενεγκάμενος ὁμολογεῖ παρὰ μίαν μοῖραν ἢ καὶ δύο διαπίπτειν. ἔστι δ' εὐκατάληπτον τὸ τῆς παρεμποδίσεως τρόπῳ τοιῷδε, καθὼς καὶ αὐτὸς ἐπειράθην ἐξ αὐτῶν τῶν προγενομένων ἀποτελεσμάτων ἱστάναι τὴν τοῦ ἀστέρος ἀκριβῆ μοῖραν κατὰ τὴν φυσικὴν αὐτῶν ἐνέργειαν, ὡς καὶ ὁ παλαιὸς εἶπε. προβαινούσης δὲ τῆς διηγήσεως αὐτά σοι τὰ πράγματα ὑπ' ὄψιν πάντα φανερώτερον ποιήσει τὸ λεγόμενον. ὁπόταν οὖν εὑρεθῇ ἡ μοῖρα, καὶ τὸ περὶ τῶν μελλόντων βεβαίως ἀποφαίνεσθαι· ἔστι γὰρ δυσεπίληπτος ἡ μοῖρα, οὐκ ἀκατάληπτος.

VI, 8. Περὶ χρόνων ζωῆς ἀπὸ πανσεληνιακοῦ καὶ ὡροσκοπικοῦ γνώμονος.

Ἐπεὶ δὲ τὴν μὲν εὕρεσιν τῶν ζητουμένων ῥᾳδίαν ἐκεκτήμην διὰ τὴν συνεχῆ γυμνασίαν καὶ ποικίλης ἀγωγῆς ὕλην, ἡ δὲ διάκρισις καὶ ὁ σαφὴς ἔλεγχος ἐδεῖτο χρόνου, οὗτος δέ μοι βραχὺς περιελείπετο (ἔστι γὰρ στιγμιαῖος ὁ τῶν ἀνθρώπων βίος, κἂν πάνυ τι δόξῃ ὑπερφρονεῖν),

1 πολὺ V. subiectum ἡ Τύχη, fort. lacuna haustum. 2 ἀκούοντας V. 3 possis ἐχόμενοι τοῦ ζῆν; τὸ <εὖ> ζῆν Cumont. 11 πολλῶς V. 11-12 βούλονται et ἄγωνται V. 13 nempe μὲν <ὡς>. ἀποδέχονται " laudantur ". 15 σχολιὸν V[a]. De Apollinario, cf. Petos., fr. 3; Riess ap. PaulyWissowa, I, 2845; *Catal.*, VI, 15; V, 205, 5. 18 κατὰ] nempe καί. 21 τὸ] τῷ V. παραμφοδίσεως V, παρεμφάσεως Usener. 24 sc. Petosiris. an ὑφηγ.? 25 πάντα] aut τεθέντα aut <τεθέντα> πάντα. 26 καὶ τό] nempe ἔσται καὶ vel sim. 33 ἐὰν πανϋ τη V (possis etiam τις). nolui ὑπερχρόνιον.

ὡσὰν πατὴρ πρὸς τῷ τέλει τοῦ βίου νόσῳ βαρούμενος τέκνοις ἐντολὰς συντόμους καταλείπει πρὶν φθάσαι τὴν φίμωσιν, καὶ αὐτὸς μετὰ πάσης σπουδῆς τὰ συνεμπίπτοντά μοι κεφάλαια τῶν θεωρημάτων ἀνασκοπούμενος ἐσημειούμην τοῖς φιλοκάλοις ἀρχὴν εἰσόδου δωρούμενος. εἰ δὲ ἦν μακρόβιος ἢ ἀθάνατος ὁ νοῦς, ἀναμφίλεκτος καὶ μονομερὴς ἡ διάκρισις ἐτύγχανε· θεοὶ δὲ πάντα ἴσασι. ἐπεὶ οὖν τὸ συνεκτικώτατον κεφάλαιόν ἐστι τὸ περὶ χρόνων ζωῆς, πολυμερῶς [τε] οὕτως ἐν τοῖς ἔμπροσθεν συντέτακται. συμβαλὼν δέ τινι μεγαλαυχοῦντι περὶ ἑτέρας ἀγωγῆς εὗρον διὰ πολλῆς πλάνης μεθοδικῶν ἀριθμῶν πεποικιλμένην τὴν αἵρεσιν, ἣν καὶ αὐτὸς πρότερον μὲν ἠπιστάμην σαφέστερον καὶ νῦν δὲ διὰ τὴν φιλονεικίαν διασαφήσω ἐκκόψας τὰς ματαιολογίας. πᾶσα γὰρ ἀγωγὴ συγκρινομένη πρὸς ἑτέραν καὶ τὸν ἔλεγχον λαβοῦσα φυσικὴν καὶ ἀκριβῆ καὶ τὴν θεωρίαν ἐνδείκνυται.

Post complura pergit : Ὅθεν μή τις ἡμᾶς δόξῃ πολυμερῶς καὶ ποικίλως συντεταχέναι· ἀγαπητὸν γὰρ ἐμοὶ μὲν πᾶσαν ζητήματος θέσιν προμεμηνυκέναι, δυνατὸν δὲ καὶ τοῖς ἐντυγχάνουσι προγυμνασθεῖσι χρόνῳ ταῖς ἀγωγαῖς καὶ τὰ πολλὰ παραπεμψαμένοις ἐπὶ τὴν φυσικὴν καὶ ἀτρεκῆ ὁδὸν καταντῆσαι. προεῖπον γὰρ ἐν τοῖς ἔμπροσθεν, ὅτι ἃ μὲν ἐκ τῶν παλαιῶν σκοτεινῶς συντεταγμένα ἐπελυσάμην, ἃ δὲ καθὼς ἔδοξέ τισιν οὕτως ἔχειν καλῶς ἐδόκουν, ἵνα μὴ δόξω ἀμύητος τῆς ἐντεύξεως γεγονέναι, ἃ δὲ καὶ αὐτὸς ἰδίως ἀνευρὼν συνέταξα, οἷς οἱ πεισθέντες ἀμετανόητον τὴν εἴσοδον κτήσονται. παρατηρητέον δὲ τοὺς ἀφετικοὺς καὶ ἀναιρετικοὺς τόπους, τίνων ἀστέρων ζῳδίοις ἢ καὶ ὁρίοις ἔτυχον· ἐκ γὰρ τούτων αἵ τε αἰτίαι καὶ οἱ θάνατοι καταλαμβάνονται κατὰ τὰς φυσικὰς αὐτῶν ἐνεργείας. χρὴ οὖν σκοπεῖν, τίς ὑπὸ τίνος κακοῦται ἢ βοηθεῖται ἢ καὶ συμπαθὴς ἢ ἀλλότριος τυγχάνει ὅπως τε αἱ πρὸς ἀλλήλους σχηματογραφίαι κατὰ γένεσιν τυγχάνουσι καὶ κατ' ἐπέμβασιν καὶ κατὰ τὰς τῶν χρόνων παραλήψεις. καὶ περὶ μὲν ζῳδιακῶν καὶ μοιρικῶν ὡρῶν καὶ χρηματιζουσῶν μοιρῶν πολὺς ἡμῖν ὁ λόγος ἔμπροσθεν δεδήλωται τὴν ἁρμονίαν ἐχουσῶν εἰς τὸν περὶ ζωῆς χρόνον πολυμερῶς καὶ ποικίλως, καὶ εἰ μὴ κατὰ τὰς αὐτὰς μοίρας ἢ κατὰ τὰ αὐτὰ ζῴδια τὴν κατάληξιν ἐχουσῶν τὴν αὐτὴν καὶ συνεγγίζουσαν, ὅπερ σπάνιον καὶ δύσπιστον παρὰ πολλῶν νομίζεται, ἀλλὰ τῷ κοσμικῷ περιπολήματι πάντα δυνατὰ καὶ ἐφικτὰ καὶ σεμνὰ καὶ ἀληθινὰ τυγχάνει καὶ χωρεῖ ἐπὶ τοσοῦτον διὰ μορίων καὶ ποικίλων ἀγωγῶν, ἐφ' ὅσον ἂν ζητῶν τις εὑρίσκῃ οὐ διὰ πλάνων ἀλλὰ φυσικῆς δημιουργίας. καὶ γὰρ αὐτὸς ὁ κόσμος ἀπλανὴς τυγχάνει καὶ ἃ κέκτηται ἀγαθὰ καὶ σεβάσμια ἡμέρας καὶ νυκτὸς προφανῆ πᾶσι δείκνυται ἀφθόνως· καὶ

6 Cf. Odyss. δ 379, 478. 16 προμεμενηκέναι V. 19 σκοτεινῶν V. 20 καλῶς] καθὼς V. τοῖς ἐντάξεως V. 29 $\overset{\rho}{\omega}$ V (possis etiam ὡροσκόπων). 31 χρόνων V[a] quo servato possis εἰς τὸ π. ζ. χ. at praestat fort. λόγον. 30 τὴν] an τῶν? 32 possis ἔχουσιν, sed structuram artificiosam delere nolui. 35 μερικῶν?

βλεπόμενα μὲν οὖν οὐ καταλαμβάνεται, συνέσει δὲ νοούμενα γινώσκεται καθὼς ἕκαστα ὑπολαμβάνει. ἐκ τούτου δὲ τὸ μὲν ὁρώμενον καὶ γινόμενον καὶ λεγόμενον καταληπτὸν ὂν καὶ αὐτὸς μετέλαβον παραπεμψάμενος τίνες ἂν εἴησαν καὶ πόθεν καὶ πῶς· ἕτεροι γὰρ περὶ τῶν τοιούτων ἀπείρους λόγους ἐποιήσαντο. ἀλλ' ἄγε ἐκ παρατηρήσεως χρόνων εὑρεθέντα καὶ δοκιμασθέντα συγκρίνας καὶ μύστης γενόμενος συνέταξα δοκῶν † κόρον ἐν ταῖς γραφαῖς τεθεικέναι ἀρχήν, ἀνατυποῦμαι καὶ οὐ διαλιμπάνω κάμνων μεθ' ἡδονῆς· ἄγει γάρ με ἡ τῶν κοσμικῶν δημιουργία καὶ ἡ τῶν ζητουμένων ἀνεύρεσις περιπλέκουσα καινοτέροις θεωρήμασιν.

E capite VI, 9 (Εὕρεσις σπορίμης Σελήνης καὶ ὡροσκόπου).

Ταῦτα μὲν οὖν συνέταξα οὐ ποιητικῶς ὥς τινες ἢ ἐπακτικὴν ἀκρόασιν πράσσουσι τῇ τῶν λόγων συνθήκῃ ἢ καὶ μέτρου ἁρμονίᾳ θέλγοντες τοὺς ἀκούοντας μυθώδεις καὶ ἐπιπλάστους ἐπιφερόμενοι σκοτεινολογίας. ἐγὼ δὲ οὐ λόγῳ καλῷ χρησάμενος, πολλὰ δὲ καμὼν καὶ παθὼν αὐτόπτης γενόμενος τῶν πραγμάτων δοκιμάσας συνέγραψα. τὸ γὰρ παθεῖν τοῦ ἀκούειν βέλτιον καὶ ἀληθέστερον ὑπάρχει· ὁ μὲν γὰρ ἀκούσας δύσπιστον καὶ ἀμφίβολον τὴν χρῆσιν ἔχει, ὁ δὲ πεπονθὼς παρεὶς πολλὰ καὶ μεμνημένος ἐκύρωσε τὸ πάσχον. ἀλλὰ φυσικῶς τινες βάσκανοι καὶ φιλόνεικοι καὶ ἐναντιόβουλοι ὑπάρχοντες ῥᾳδίως ἁλίσκονται καὶ τιμωροῦνται, φύσις δὲ ῥυθμισθῆναι μὲν οὐ δύναται, ἀναγκασθεῖσα δὲ μετὰ αἰδοῦς καὶ λύπης πραΰνεται, ἐλεγχομένη δὲ ἀγανακτεῖ καὶ τολμηροτέρα γίνεται ἐρεθιζομένη. καὶ μάλιστα ἐπὶ τῶν νέων ἔστι συνιδεῖν, ὡς ἄλλο τὸ πράσσειν οἴονται καὶ τὴν ἐξουσίαν αὐτῶν διαδιδόασι τοῦ τε φαύλου καὶ ἀγαθοῦ καὶ πρὸς τὸ θέλον φερόμενοι βιάζονται ἄρχειν τε καὶ ἀντιπράσσειν <καὶ> πρὸς πάντα θρασύνεσθαι φίλων τε γένους ἀλλότριοι γινόμενοι ἐχθροῖς ἥδονται, βουκολοῦντες δὲ τὸ μέλλον πάντων καταφρονοῦσι χαίροντες ἐπὶ τοῖς ἀλλοτρίοις κακοῖς, ὡς καὶ καθ' ἑαυτῶν ἐπιβάλλεσθαι καὶ ἐπικίνδυνον εὔξασθαι διὰ τοὺς ἐχθροὺς κακίαν. τοὐναντίον δὲ πάσχουσιν ὀδυνώμενοι μάτην θεούς τε μὴ τιμῶντες τὸν θάνατον οὐ φοβοῦνται, ἄγονται δὲ ὑπὸ τοῦ δαίμονος· τῶν δὲ τοιούτων καὶ τὸ τέλος αἰφνίδιον καὶ ἐπισφαλὲς καὶ ὁ βίος εὔθραυστος. βέλτιον οὖν ἐστι κατὰ τὸ δυνατὸν ἑκόντας ἀνθρώπους ἀποθέσθαι μὲν ἀπὸ τῆς ψυχῆς ὑψηλὸν αὐχένα καὶ μὴ θρασύνεσθαι, μεταμφιασαμένους δὲ τὸν λογισμὸν

2 an ἕκαστος? 4 fort. εἴησαν <οἱ εὑρόντες>. 5 ἀλλά γε V. 7 δοκῶ V. 13 τὴν τ. λ. συνθήκην V. μέρ^{τα} V. 19 de παρεὶς dubito. 21 Cf. Heracl. fr. 123, φύσις κρύπτεσθαι φιλεῖ. 23 τολμητοτέρα V. 24 fort. ἄλλου aut ἄλλων: non πιστεύουσι τῷ ἐφ' ἡμῖν. 25 fort. αὐτῷ. 27 fort. τε <καὶ> γένους. 28 εἴδονται V. 31 ὀδυνόμενοι V. τε om. V[a]. 35 fort. <πρὸς> τόν.

ἐκδότους ἑαυτοὺς παρέχειν· οὐδεὶς γὰρ ἐλεύθερος, πάντες δὲ δοῦλοι τῆς εἱμαρμένης πεφύκασιν, ᾗ κατακόλουθοι γενόμενοι ἀτάραχοι μὲν καὶ ἀλύπητοι κατὰ τὸ ὅσιον διεξάγουσι προγεγυμνακότες θαρραλέαν τὴν ψυχήν. ἂν δέ τις ἀληθινὸν ἀναλαβὼν φρόνημα τὴν ἐξουσίαν τῶν πρασσομένων ἑαυτῷ ἀπονέμῃ, ἐλεγχόμενος ὑπὸ τοῦ μὴ δύνασθαι καὶ μάτην καταγέλαστος γενόμενος μιμήσεται τὸν τραγικὸν Εὐριπίδην λέγων·

ἄγου δέ μ' ὦ Ζεῦ καὶ σύ γ' ἡ πεπρωμένη,
ὅποι ποθ' ὑμῖν εἰμι διατεταγμένος,
ὡς ἕψομαί γε κἂν ὀκνῶ· κἂν μὴ θέλω,
κακὸς γενόμενος αὐτὸ τοῦτο πείσομαι.

ἀλλ' ἐπὶ παντὶ εἴδει λογικῷ τε καὶ ἀλόγῳ τέχνης καὶ ἐπιτηδεύσεως ἢ καὶ ἄλλης ἡσδηποτοῦν αἰτίας Νέμεσις χαλιναγωγὸς ἔπεστι κατὰ τὸν μυθικὸν λόγον πῆχυν κατέχουσα μηδὲν πράσσειν ὑπὲρ τὸ μέτρον ἐμφαίνουσα καὶ τροχὸν ὑποκείμενον τῷ σφυρῷ κέκτηται σημαίνουσα τὰ λεγόμενα ἄστατα καὶ ἀβέβαια τυγχάνειν, ἐπεὶ καὶ ὁ τροχὸς εἰς ἑαυτὸν ἀνακυκλούμενος ἀστήρικτος ὑπάρχει. τὸν αὐτὸν τρόπον καὶ ψέγοντες καὶ μεγαλαυχοῦντες παλίνδρομον τὴν διάνοιαν κτησάμενοι καὶ ἀμετανόητον λογισμὸν τοῖς αὐτοῖς πάθεσι περιπεσόντες ἐν ἱδρῶσι διάγουσι μὴ δυνάμενοι τυχεῖν, ὧν προτέρως μὲν καταφρονοῦντες ἐξ ὑστέρου δὲ θελήσαντες ἐσφάλησαν.

Libri VII prooemium.

Χρὴ μὲν οὖν πρὸ πάντων καὶ περὶ ταύτης τῆς βίβλου ὅρκον προτάξαι τοῖς ἐντυγχάνουσιν, ὅπως πεφυλαγμένως καὶ μυστικῶς ἔχωσι τὰ λεγόμενα· ποικίλως γὰρ καὶ ἀκολούθως τὰς προκειμένας αἱρέσεις ἐθέμην εἰς προτροπὴν καὶ ἀγωγὴν φιλόκαλον πολλὴν δύναμιν ἐχούσας, ὅπως ἀπὸ τῶν ἐλαχίστων ἐπὶ τὰ μείζονα τὴν ἐπιθυμίαν ἐπεκτείνωσι καὶ μὴ διαλιπόντες ψόγον καθ' ἡμῶν οἴσονται. βέλτιον οὖν ἐστι προγυμνασθέντας ταῖς συντεταγμέναις ὑφ' ἡμῶν βίβλοις ἐπὶ ταύτας ἐλθεῖν· ἐκ γὰρ τῶν καθολικῶν καὶ μερικῶν συγκρίσεων ἄπταιστος ἡ διαίρεσις καὶ σεβάσμιος κριθήσεται. καὶ καθάπερ ἄν εἴς τινα ἀκρώρειαν διὰ βαθμῶν καὶ περικαμπῶν τόπων ἀνελθών τις μετὰ πολλοῦ πόνου καὶ εὑρὼν ναοῦ κατασκευὴν καὶ πολυτέλειαν ἀγαλμάτων χρυσοῦ τε καὶ ἀργύρου ἠδ' ἐλέφαντος καί τινα ἁλουργήματα

3 θαρραλέον V. 4 de ἀληθινόν dubito (ἀλιτήριον Rad.). 6 vides non vere eruditum fuisse, qui quoslibet versus gnomicos Euripidi vindicaret. 7 ἀγούμενος Ζεῦ καὶ σὺ χ' ἡ V. 8 εἰμὴ V. 9 haec mutare nefas duxi. 10 Cf. p. 43, 19; Brinkmann, ***Mus. Rhen.***, LX. 630. 11 λογικοῦ τε κ. ἀλόγου V (possis etiam λογικῆς). 14 possis <ἢ> καὶ. 19 ὧν] τῶν V. 22 De eius modi iure iurando, cf. Kroll, ***De orac. chald.***, 59[2]; Dieterich, ***Mithrasliturgie***, 52. 31 περικαμπείων V. 33 Cf. Odyss. δ, 73. καί ante τινα non certum in V.

ἀμετανόητον καὶ ἀκοπίατον ἡγεῖται τὴν ἄνοδον καὶ μεθ' ἡδονῆς θρησκεύει φαντασιούμενος οὐρανίοις θεοῖς προσομιλεῖν, τὸν αὐτὸν τρόπον καὶ οἱ ταῖς παραγγελίαις ἡμῶν πειθόμενοι· οὓς ὁρκίζω Ἡλίου μὲν ἱερὸν κύκλον καὶ Σελήνης ἀνωμάλους δρόμους τῶν τε λοιπῶν ἀστέρων δυνάμεις καὶ κύκλον δυοκαίδεκα ζῳδίων ἐν ἀποκρύφοις ταῦτα ἔχειν καὶ τοῖς ἀπαιδεύτοις ἢ ἀμυήτοις μὴ μεταδιδόναι τιμήν τε καὶ μνήμην τῷ εἰσηγησαμένῳ ἀπονέμειν. εὐορκοῦσι μὲν εὖ εἴη καὶ καταθύμιοι οἱ προκείμενοι θεοί, ἐπιορκοῦσι δὲ τὰ ἐναντία.

E capite VII, 3. — F. 102.

Ὅτι δὲ οἱ πλείους τῶν ἀστέρων ἢ καὶ πάντες κατὰ τὸν αὐτὸν χρόνον δύνανται ἐνεργεῖν πρὸς τὰ ἀποτελέσματα, ἐκ τούτων ἔστι συνιδεῖν. εὑρίσκομεν ἐν τῷ κοσμικῷ καταστήματι τῆς γῆς κατὰ πᾶσαν ἡμέραν καὶ πᾶσαν ὥραν πράγματα γινόμενα, οἷον γέννας θανάτους κληρονομίας δόξας καθαιρέσεις σίνη πάθη καὶ τὰ λοιπά, ὅσα τῷ τῶν ἀνθρώπων βίῳ συνέστηκεν ἀγαθά τε καὶ φαῦλα. ὁ γὰρ κόσμος σφαιρηδὸν εἱλούμενος καὶ τὰς τῶν ἀστέρων ἀπορροίας εἰς τὸν οὐρανὸν πέμπων οὐδὲν ἄπρακτον ἀποτελεῖ οὐδ' ἀργόν, κατὰ πᾶσαν δὲ στιγμῆς παρέγκλισιν πολλὰ τῷ βίῳ καινίζει, ἅπερ ἕκαστος ἄλλοτε ἄλλως ὑπομένων τὸν τῆς εἱμαρμένης ἐκπληροῖ σκοπόν. πολλοὶ μὲν οὖν περὶ τὰ τοιάδε ἐσχολακότες πολλὰς βίβλους καὶ πολλὰς αἱρέσεις συνέταξαν· καίτοι γε πάντες διηγήματα αἰώνια μεγάλα καὶ πολλὰ κατέλιπον τοῖς ἀνθρώποις. ὅνπερ οὖν τρόπον οἱ πλούσιοι μὲν τῇ φαντασίᾳ, πολλὰ δὲ ὀφείλοντες τοῖς κληρονόμοις καταλείπουσιν, οἵτινες κατ' ἀρχὰς μὲν ἡδέως φέρονται ὀλίγων ἁψάμενοι καὶ πολλῶν ὀλιγοχρόνιον τὴν κτῆσιν ἔχοντες (ἡ γὰρ πρόφασις τῆς ἁγνείας τῦφον μέγαν αὐτοῖς περιτίθησιν), ἐπὰν δὲ δίκαις καὶ μόχθοις καὶ ἐναντιώμασι περιπέσωσιν, αἱροῦνται οὐ μόνον τῆς κενοδόξου κληρονομίας ἀπαλλαγῆναι ἀλλὰ καὶ ὧν ἡδέως ἐκέκτηντο διὰ τὸν φθόνον καὶ τὴν μέριμναν, τὸν αὐτὸν τρόπον καὶ οἱ πολλαῖς ὕλαις συνταγμάτων ἐνδιατρίψαντες πολυχρονίαν νόσον μὴ θεραπεύσαντες προσαπώλεσαν καὶ τὸν νοῦν καὶ τὴν προϋπάρχουσαν παιδείαν καὶ τὴν πρᾶξιν. ἐγὼ δὲ εἰ καὶ φαντασίᾳ λόγων ἢ πλήθει βίβλων οὐ περιπεφρούρημαι, ἀλλ' οὖν γε τῇ συντομίᾳ καὶ ἀληθείᾳ συγκεκόσμημαι· ὥστε τοὺς κληρονόμους ἄτερ δίκης καὶ φθόνου καρπώσασθαι, ἐφ' ὅσον χρόνον διαμένουσι, τοὺς μὲν προσιόντας μετὰ πόνου καὶ ἀκριβείας πολλὰ τῶν ἀποτελεσμάτων, <τοὺς> δὲ ἀκροθιγῶς ἢ ἀκολάστως ὀλίγα, πλὴν περισσότερα καὶ μείζονα τῶν διὰ

7 formula notissima. 16 εἰσ^τ οὗ V. 17 οὐδὲ V. 21 sanumne αἰώνια? κατέλειπον V[a]. 24 fort. πολλῶν ἁ. καὶ ὀλίγων ὀλ. " multa quidem attrectant, sed pauca accipiunt ac ne haec quidem in longum tempus ". 25 ἐχόντων V. fort. ἀγνοίας (idem Us.) 28 hoc quoque simile claudicat. 34 " quam diu libris meis vacant ". 35-36 δὲ ἀκροθιγῶς] διακροθίγως V. 36 ἀκολάστους V.

μοχθηρίας καὶ πολυχρονιόνητος ἑτέραις αἱρέσεσιν ἐσχολακότων. ἐπεὶ οὖν αὐτὸς θησαυροῦ μηνυτὴς ἐγενόμην καὶ οὐ μόνον τοὺς παραφυλάσσοντας τόπους ἐμήνυσα, ἀλλὰ καί τινα τῶν ἀποκειμένων ἐφώτισα, συνεπινοεῖν [δὲ] δεῖ καὶ τοὺς ἐντυγχάνοντας, ὅπως κατὰ βάθους ὀρύττοντες τὰ μυστικῶς κατακεχωσμένα ἀνεύρωσιν. δεῖ μέντοι καὶ τὸν ἀπογραψάμενον τῇ ἐμῇ αἱρέσει προγικώσκειν τὸ ἴδιον διάθεμα ὁποίαν δὴ ὑπόστασιν κέκτηται, καὶ κατὰ τοὺς πρακτικοὺς χρόνους ἐπιβάλλεσθαι τοῖς ἀποτελέσμασιν, ἵνα καὶ ὠφελείας ἢ μαρτυρίας τύχῃ· ἐὰν δὲ κακοποιὸς <τοῖς> χρόνοις ἐπιβάληται, ἀποτυχὼν δι' ἄγνοιαν ἢ παραλιπών τινα τόπον μέμψεται τὴν ἀγωγήν. ἀλλ' ὅμως, ἐὰν μετὰ ἀκριβείας τις ζητῇ, οὐ διαψευσθήσεται τῆς δωρεᾶς ἢ καὶ τοσαύτης τιμῆς καταξιωθήσεται, ὅσην οἱ τῶν καιροφίλων τις ἐδήλου κατὰ τὴν τῆς γενέσεως ὑπόστασιν. ταῦτα δὲ ἐν τοῖς ἐμαυτοῦ πεπειρακὼς ἐδήλωσα· ὥστε οὐ δεῖ μέμφεσθαι τοὺς χρόνους οὔτε ἐμαυτῷ οὔτε τῇ προγνώσει, ἀλλὰ καταμαθόντα τὸ μέγεθος τῆς ἑαυτοῦ γενέσεως συστρατεύεσθαι τοῖς καιροῖς γενναίως καὶ ἀλύπως (οὐδὲν γὰρ ἀνύει μοχθηρῶς διάγων καὶ ἑτέρων τύχαις ἐξισοῦσθαι βουλόμενος ἑαυτόν), ἔχειν δὲ κατὰ νοῦν τὸ τοιοῦτον·

ἄγου δέ μ' ὦ Ζεῦ καὶ σύ γ' ἡ πεπρωμένη,
ὅποι ποθ' ὑμῖν εἰμι διατεταγμένος·
ὡς ἕψομαί γ' ἄοκνος. ἂν δὲ μὴ θέλω,
κακὸς γενόμενος αὐτὸ τοῦτο πείσομαι

καὶ τό·

γινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκε μήτηρ

καί·

μοῖραν δ' οὔτινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν.

VII, 4. Ἀγωγὴ περὶ χρόνων ζωῆς πρὸς τὸν κλῆρον τῆς τύχης καὶ τὸν τούτου κύριον.

Πότερον οἱ παλαιοὶ τὴν ἐνέργειαν τῆς προγνώσεως ἐπιστάμενοι διὰ τὸ μεγαλαυχὲς καὶ ἀνθρωπίνῃ φύσει δυσέφικτον φθόνῳ ἐνεχθέντες ἀπέκρυψαν ἢ μὴ καταλαμβανόμενοι, ἅπερ ἡ φύσις διήρθρωσε καὶ ἐνομοθέτησε καὶ ἀνάγκῃ περικλείσασα ἀφθόνως ἀνθρώποις ἐδωρήσατο, ὅμως ᾐνίξαντο, οὐκ ἔχω λέγειν. οὐδὲν γάρ μοι δοκεῖ τῶν ἐν κόσμῳ καλλίστων στοιχείων καὶ πλείστων καὶ μεγάλων δημιουργημάτων ὑπὸ τοῦ θεοῦ ἐφθονημένον ἀνθρώποις πρὸς καιρικὴν χρῆσιν· οὐδὲ γὰρ ἂν προέδειξε τὸ θεῖον μὴ βουληθὲν παρέχειν. ἀλλ' ἐκεῖνοι μὲν

3 an ἐναποκ.? 5 ὀρύττοντας V. 7 δὴ] δϊ V ex corr. 9 κακοποιοῖς V. 12 οἱ] ἡ V. 13 debebat πεπειραμένος. 19 Cleanth., fr. 527 (supra p. 41, 7). σύ χ' ἡ V. 22 κακῶς V. 23 τῷ V^a. 24 Iliad., Υ 128; cf. Ω 210, η 198. 26 Iliad., Ζ 488. 31 ἢ] οἱ ut vid. V. 33 ὁμοίως V. ἠνοίξαντο (η ex οι?) V^a. 34 κάλλιστον στοιχεῖον V. 35 ἐφνονημένον V.

ὡς ἠθέλησαν ἢ ὡς ἠδυνήθησαν· διὸ καὶ τὸ κάτω κεφάλαιον αὐτῶν μνημονεύων θαυμάζω τὴν γνώμην σκολιάν τε καὶ δυσθήρατον. ἐγὼ δὲ ὅσα ποτὲ μὲν εὗρον διὰ πείρας προέδειξα, ὅσα δὲ καὶ ἐν τῷ μεταξὺ χρόνῳ ἐπεξεῦρον, οὐκ ἐβουλήθην ἀποκρύψαι διὰ τὸ παράδοξον τῶν πολλῶν ἀποτελεσμάτων, ἀγαθῶν τε καὶ φαύλων, ἐν ὀλίγῳ χρόνῳ γενομένων ἢ καὶ ἐπὶ τοῖς αὐτοῖς ἐπιμενόντων· ἡ δὲ ὑποκειμένη ὑποδιαίρεσις διδάξει τοὺς φιλομαθεῖς· ταύτην γὰρ προκρίνας μὲν πασῶν καὶ συγκοσμῆσαι βουλόμενος ἀλλεπαλλήλως κατὰ τὴν λεπτομέρειαν διασαφήσω. ἡ γὰρ πλατικὴ θεωρία ἀμαυροτάτην τάξιν ἔχουσα διὰ τὴν ἀκόλαστον τῶν ἐντυγχανόντων γνώμην ἐλέγχεται ῥᾳδίως. μὴ ὑπολάβῃ δέ τις διὰ τὸ ποικίλον καὶ πολυμερὲς τεχνικὸν ὑπάρχειν τὸν λόγον, ἀλλ' ἐκθειάζειν τὴν φύσιν· πολλοὶ μὲν γὰρ πολλὰς αἱρέσεις διαγραψάμενοι οὐδεμίαν βεβαίαν συνέταξαν.

Τοιγαροῦν ἐπὶ τὰ προκείμενα βαδιστέον. οἱ μὲν οὖν θανατικοὶ κλιμακτῆρες καταληπτέοι ἔσονται, καθὼς ἐν τῷ περὶ χρόνων ζωῆς προέταξα καὶ νῦν δὲ ἐν τούτῳ ἀκριβέστερον δηλώσω. ἐκ τριῶν ὅρων συνεστώτων τῶν χρόνων, ἐλαχίστου μέσου καὶ μεγίστου, τὴν σύγκρασιν οὕτως ἀνεῦρον· ἐκ τοῦ κλήρου τῆς τύχης καὶ τοῦ οἰκοδεσπότου λογιζόμενος τὰς περιόδους τῶν ἀστέρων καὶ τὰς ἀναφορὰς τῶν ζῳδίων, πρῶτον ὥρας εἶτα ἡμέρας εἶτα μῆνας εἶτα ἔτη, ἢ ὧν μὲν ὥρας ὧν δὲ ἡμέρας ὧν δὲ μῆνας ὧν δὲ ἐνιαυτούς, κατὰ τοὺς ἐπικέντρους καὶ ἀνατολικοὺς ἀστέρας καὶ τὰ οἰκεῖα σχήματα ἡμέρας εἶτα μῆνας εἶτα τὰς περιόδους. ἐπὶ μὲν γὰρ τῶν ἤδη τὴν ἡλικίαν προβεβηκότων δυνατὸν τὰς περιόδους καὶ τὰς ἀναφορὰς μερίζειν, ἐπὶ δὲ τῶν νηπίων ἀπὸ τῶν ἐλαχίστων ἀρξάμενος.

Ἔστω δὲ ἐπὶ ὑποδείγματος Ἥλιος Ἀφροδίτη Ὑδροχόῳ, Σελήνη Ζεὺς ἀρχαῖς Κριοῦ, Κρόνος Κριῷ, Ἄρης Τοξότῃ, Ἑρμῆς Αἰγόκερῳ, ὡροσκόπος Σκορπίῳ, κλῆρος τύχης Ζυγῷ, κλίμα ς'. οἱ μερίζοντες οὗτοι· Ἀφροδίτη διὰ τὸν Ζυγόν, Κρόνος διὰ τὸ τὴν Ἀφροδίτην εἶναι Ὑδροχόῳ, Ἄρης διὰ τὸ τὸν Κρόνον Κριῷ εἶναι. ἐλογισάμην οὖν κατά τε τὰς περιόδους καὶ τὰς ἀναφορὰς πρῶτον ὥρας εἶτα ἡμέρας εἶτα μῆνας οὕτως· ἔλαβον τοῦ Ζυγοῦ ἡμέρας η' καὶ ὥρας η' καὶ πάλιν τοῦ Ζυγοῦ ἀναφορὰς κλίματος ς' ὥρας γ', καὶ ἐπεὶ Ἀφροδίτη Ὑδροχόῳ ἐστίν, ἔλαβον Κρόνου ὥρας νζ', καὶ πάλιν ἐπεὶ ὁ Κρόνος ἐν τῷ Κριῷ ἐστιν, ἔλαβον Ἄρεως ὥρας ιε'· γίνονται ἐπὶ τὸ αὐτὸ ἡμέραι η' καὶ ὧραι ρκγ', αἵ εἰσιν ἡμέραι ε' ὧραι γ'· γίνονται αἱ πᾶσαι ἡμέραι ιγ' ὧραι γ'· ἔζησεν ἡμέρας ιγ' ὥρας γ'.

Ἄλλη. Ἥλιος Ἀφροδίτη Ἑρμῆς Καρκίνῳ, Σελήνη Αἰγόκερῳ, Κρόνος Σκορπίῳ, Ζεὺς Ὑδροχόῳ, Ἄρης Λέοντι, ὡροσκόπος Ταύρῳ, κλῆρος

1 καὶ] κατὰ Us. 3 προσέδειξα V. 6 nempe γινομένων. 7 διαίρεσις V[a]. μὲν absurdum. 9 διασαφήσει V, corr. Us. 21 nempe <ἣ> κατὰ. 24 δυνατοὶ V. 25 nempe ἀρξαμένους, fort. manca oratio. 29 τὸ] τὸν V[a]. 33 fort. κγ' V.

τύχης Σκορπίῳ, ὁ κύριος Λέοντι. ὁ τούτου κύριος Καρκίνῳ τὰς ὥρας καὶ τὰς ἡμέρας τῶν τε ἀστέρων καὶ τῶν ζῳδίων παρεληλύθει· διὰ τοῦτο οὖν τρίτῳ τόπῳ μῆνας ἐλογισάμην· Ἄρεως μῆνες ξς′ καὶ ιε′ καὶ Ἡλίου τοῦ ἐν Καρκίνῳ μῆνες κε′· γίνονται μῆνες ρς′, οἵ εἰσιν ἔτη η′ μῆνες ι′. Ταύτας προεθέμην τὰς γενέσεις. προσκοπεῖν οὖν χρὴ τοὺς οἰκοδεσπότας καὶ τοὺς τόπους, μὴ ὑπὸ τῶν κακοποιῶν διακατέχονται ἢ ἐναντιοῦνται ἢ παρ' αἵρεσιν τύχωσι, καὶ τὰς λοιπὰς παραγγελίας.

Ἄλλη. Ἥλιος Ἑρμῆς Ὑδροχόῳ, Σελήνη Ταύρῳ, Κρόνος Τοξότῃ, Ζεὺς Κριῷ, Ἄρης Αἰγόκερῳ, Ἀφροδίτη ὡροσκόπος Ἰχθύσι, κλίμα ς′, κλῆρος τύχης Διδύμοις. ἔλαβον Ἑρμοῦ μῆνας ος′, καὶ ἐπεὶ Ἑρμῆς ἐν Ὑδροχόῳ ἐστίν, ἔλαβον τοῦ Ὑδροχόου τὴν ἀναφορὰν μῆνας κγ′ καὶ Κρόνου ἐν Τοξότῃ ὄντος τοῦ Τοξότου μῆνας λγ′· γίνονται οἱ πάντες μῆνες ρλβ′, ἃ γίνεται ἔτη ια′· τοσούτων ἐτελεύτα. τὰς δὲ λεπτομερεῖς ἡμέρας καὶ σταλαγμιαίας ὥρας ἀπὸ τῆς ἑκάστου ἀστέρος περιόδου τὸ ιβ′ λαμβάνοντες εὑρήσομεν.

Συμμερίζουσι δὲ οἱ ἀστέρες ἀλλήλοις οἰκείως κείμενοι καὶ τῆς αἱρέσεως ὄντες. οἷον Ἥλιος Ἑρμῆς Καρκίνῳ, Σελήνη Ἄρης Ζυγῷ, Κρόνος Ἀφροδίτη Λέοντι, Ζεὺς Τοξότῃ, ὡροσκόπος Αἰγόκερῳ, κλίμα ς′, ὁ κλῆρος τῆς τύχης Τοξότῃ. τούτου <ὁ> κύριος Ζεὺς ἐπίκειται τῷ κλήρῳ· ἐμέρισεν οὖν τὴν ἀναφορὰν τοῦ Τοξότου ἔτη λγ′ καὶ τὴν ἰδίαν περίοδον ἔτη ιβ′· γίνεται ἔτη με′. τούτῳ οὖν τρίγωνος Κρόνος ὑπάρχων συνεμέρισε τῆς ἰδίας περιόδου μῆνας νζ′· γίνεται ἔτη ἔγγιστα ν′· ἐν τούτῳ καὶ ἐτελεύτα. εἰ δέ τις λογίσηται καὶ τῆς τοῦ Λέοντος ἀναφορᾶς μῆνας λη′ καὶ Ἡλίου μῆνας ιθ′, τοσούτους μῆνας συνάξει.

Αὗται αἱ γενέσεις δεδοκιμασμέναι ἐξ αὐτοψίας πρόκεινται. εἰ δέ τις ἐξ ἀκοῆς θέλει δοκιμάζειν λαβὼν γένεσιν, διαψευσθήσεται τὴν ἀγωγήν. καὶ ἕτεροι δὲ κλιμακτῆρες σημαίνονται, ὁπόταν κακοποιοῦ σχήματος καὶ μαρτυρίας χρόνος συνδράμῃ· ὁ δὲ αὐτὸς λόγος καὶ περὶ τοῦ ὡροσκόπου καὶ τοῦ τούτου κυρίου, ὁπόταν κατὰ διαδοχὴν ἢ ἀντιπαραχώρησιν οἱ ἀστέρες τύχωσι μὴ χρηματίζοντος τοῦ κλήρου τῆς τύχης ἢ τοῦ οἰκοδεσπότου.

E CAPITE VIII, 5. — F. 105.

Τοὺς οὖν μάλιστα βουλομένους πᾶσαν αἵρεσιν μεθοδικὴν *** προσέχειν, ἐπειδὴ ἕκαστος τῶν συνταγματογράφων ἰδίως καὶ ποικίλως τὰς αἱρέσεις πραγματευσάμενος ἀποκρύφως καὶ ἐφθονημένως τὰς ἐπιλύσεις μὴ ἐκθέμενος εἴασεν, ἐγὼ δὲ διὰ πολλοῦ πόνου καὶ πολλῆς πείρας

1 Leonis dominus Sol, qui in Cancro est i. e. tertio loco; sequentia fort. lacunosa. 22 μῆνες V. 24 i. e. sic quoque 38 + 19 efficiunt 57 menses (possis τοὺς αὐτοὺς). 28 fort. <ὁ> χρόνος. 33 fuit fere ἐκμανθάνειν ἀξιῶ ἐμαυτῷ προσέχειν. 34 συνταγμάτων V. 35 sq. structura turbata, possis <πλανᾶσθαι τοὺς ἐντυγχάνοντας> εἴασεν.

ζητήσας προέταξα. τοῦτο δέ μοι δοκεῖ μέγιστον, τὸ ἐξελέγξαι ἀλλοτρίας ἐνθυμήσεις μυστικῶς κατακεχωσμένας, ἐπεὶ καὶ αὐτὸς πολλὰς δυνάμεις διὰ πολλῶν λόγων ὕλης δυνάμενος συντάξαι οὐκ ἠβουλήθην ὅμοιον ἑαυτὸν ἀποδεῖξαι τοῖς ματαιολόγοις· γελοῖον γὰρ ἂν εἴη ἐνάρχεσθαι κατά τινων λέγειν μὴ ἐπιγνόντα πρότερον τὸ ἴδιον ἁμάρτημα. ὅθεν ἐὰν πλειστάκις περὶ τῆς ἐμῆς ἀφθονίας καὶ ἁπλότητος ὑπομιμνήσκω, συγγνωστέος ὁ λόγος· ἔπαθον γὰρ πολλὰ καὶ πολὺν πόνον ἐπηνεγκάμην καὶ ὑπὸ πολλῶν ἐβουκολήθην καὶ τὰ δοκοῦντά μοι ἀπερείσια χρήματα ἐξανάλωσα πειθόμενος γόησι καὶ πλεονέκταις ἀνθρώποις. ἀλλ' ὅμως διὰ τῆς ἐμῆς ἐγκρατείας καὶ φιλομαθείας περιεγενόμην τῶν αἱρέσεων· ἃς οὐ μόνον οἱ ἐντυγχάνοντες καὶ ἐπιγνόντες τὸ ἀκριβὲς μεθ' ἡδονῆς καθ' ἡμῶν εἰσοίσουσι ἔπαινον, ἀλλὰ καί τινες διὰ τὸ ἀφελὲς ἐπιφθονήσουσι καὶ κακολογήσουσιν ἐπαρασάμενοι διὰ τὴν τῶν μυστικῶν καὶ ἀποκρύφων φωταγωγίαν ἢ καὶ ἐκκόψουσί τινας αἱρέσεις ἐκ τῆς ἐμῆς συντάξεως. πρὸς τοὺς τοιούτους οὖν ἀρὰς ἐθέμην δείξας ἃ οἶμαι αὐτοὺς πείσεσθαι.

Οἱ οὖν ἐντυγχάνοντες ταῖς ὑφ' ἡμῶν συντεταγμέναις βίβλοις πάσας αἱρέσεις διελεγχούσαις μὴ λεγέτωσαν· αὕτη μέν ἐστιν τοῦ βασιλέως, ἑτέρα δὲ Πετοσίρεως, ἄλλη δὲ Κριτοδήμου καὶ τῶν λοιπῶν, ἀλλ' ἰδέτωσαν ὅτι ἐκεῖνοι μὲν προθέμενοι κωφῶς καὶ κατεζητημένως ἀνυπόστατον τὴν ἐπιστήμην κατέδειξαν, ἡμεῖς δὲ τὰς ἐπιλύσεις ποιησάμενοι οὐ μόνον θνήσκουσαν τὴν αἵρεσιν ἀνερρώσαμεν, ἀλλὰ καὶ ἑαυτῶν δόξαν κατεψηφισάμεθα καὶ ἑτέρους δὲ ἀξίους ἐμυσταγωγήσαμεν, οὐ χρημάτων προτροπῇ θελχθέντες ἀλλὰ φιλομαθεῖς καὶ ἐπιθυμητὰς ἐπιγνόντες· καὶ γὰρ αὐτοὶ τοιούτῳ χαρακτῆρι αἱρέσεως ἐχαλιναγωγήθημεν.

Ἔστω οὖν ὁ λόγος ἡμῖν πάλιν εἰς τὸν περὶ χρόνων ζωῆς τόπον. πᾶσαι μὲν οὖν αἱ προσυντεταγμέναι ἀγωγαὶ κατ' ἰδίαν αἵρεσιν ἀκριβεῖς καὶ δεδοκιμασμέναι, καὶ αὕτη δὲ δοκιμαστὴ καὶ θαυμαστὴ τριζῳδία. περιέχει δὲ οὕτως. μαθὼν ἀκριβῶς τὴν σεληνιακὴν καὶ ἡλιακὴν μοῖραν πρὸς τὴν ὡροσκοποῦσαν τῆς γενέσεως εἰσέρχομαι εἰς τὸ ὑποκείμενον ὄργανον καὶ κατὰ τὸν ὑποταχθησόμενον τρόπον ἐπιγνοὺς τὸν λήγοντα τῆς τριζῳδίας τόπον ἐκ τῆς ἡλιακῆς μοίρας ἔρχομαι ἐπὶ τὸ ὡροσκοποῦν ζῴδιον καὶ ἐπιγνούς, κατὰ πόστης μοίρας τυγχάνει, ἐκτίθεμαι τοῦτον ἡλιακὸν γνώμονα. εἶτα ὁμοίως καὶ εἰς τὸ τῆς Σελήνης ζῴδιον παράκειται καὶ εἰς ἐκεῖνο εἰσενέγκας τὰς τοῦ ἡλιακοῦ γνώμονος μοίρας πάλιν ὁρᾷς, τίνος τόπος ζῳδίου τυγχάνει· κἀκεῖνο εἰσενέγκας εἰς τὸ

2 ἐπὶ V. 3 δυνάμεις scribit pro ἀγωγάς, μεθόδους. 6–7 ὑπομιμνήσθω συγγνωστέως V. 10 ἐγκρατίας V. 11 possis αἷς vel ὥστε. 12 ἔπενον V. 16 ἃ | ἃς V, quo servato possis δεινάς. 17 συντεταγμένοις V. 18 διελεγχούσης V. 20 ὅτοι V. 25 χαρακτὴρ νεμέσεως V. 27 εἰς] ἐκ V. 28 προσυντεταγαμέναι V. 29 δοκιμαστικὴ καὶ θαυμαστικὴ V. 31 εἰσέρχομεν V. 32 ὑπὸ χθησόμενον V. 37 ὁρᾷς] δεωρᾶς V, sequentia sana esse non praesto.

ὡροσκοποῦν ζῴδιον ἡγοῦμαι σεληνιακὸν γνώμονα καὶ συγκρίνω, πότερον ὁ ἡλιακὸς ὑπερέχει ἢ ὁ σεληνιακός. ἐὰν μὲν γὰρ ὁ τοῦ Ἡλίου προάγῃ, πρόσθεσιν ἡ ὥρα ἔχει τῶν ἀνὰ μέσον ζῳδίων· ἐὰν δὲ ὁ τῆς Σελήνης, ἀφαίρεσιν. οὗτος γάρ ἐστιν ἀναγκαστικὸς καὶ φυσικός ὡροσκόπος· ὅθεν μή τις ξενισθῇ, ἐὰν ἐν ἄλλῳ ζῳδίῳ ὑπονοῶν εἶναι τὸν ὡροσκόπον ἐν ἑτέρῳ εὕρῃ. μετὰ δὲ τὴν πρόσθεσιν ἢ ἀφαίρεσιν ἐπιγνούς, πόσων μοιρῶν ὁ ὡροσκόπος ἐστίν, εἰσελθὼν εἰς τὰς <τῆς> τριζῳδίας ἀναφορὰς σκοπῶ, πόσα ἔτη παράκεινται τῇ εὑρεθείσῃ μοίρᾳ κατὰ τὸ κλίμα καὶ ἀποφαίνομαι· παραπεσούσης δὲ μιᾶς ἢ καὶ δευτέρας μοίρας ἡλιακῆς ἤτοι σεληνιακῆς ἢ καὶ τῆς ὡροσκοπικῆς ἀσύμφωνα τὰ πράγματα κριθήσεται.

Εἰ δέ τις βούλοιτο ἐλέγχειν, ἀναδραμὼν μίαν ἢ καὶ δύο μοίρας ἢ καὶ ἐπιπροσθεὶς τῇ ἡλιακῇ ἢ σεληνιακῇ, ἐάνπερ δοκῇ πεπλανῆσθαι, ἢ καὶ ἕτερον ὡροσκόπον λογισάμενος τῷ αὐτῷ τρόπῳ πραγματευσάσθω· καὶ τὴν ὁδὸν ἐξευρήσει. τοῦτο δ' ἔξεστι δοκιμάζειν ἐκ τῶν ἤδη τετελευτηκότων καὶ μὴ πιστεύειν τοῖς πεπλανημένας ἐξ ἀκοῆς γενέσεις κομίζουσιν καὶ δοκεῖν διαπταίειν, ἀλλὰ κρίνοντα βεβαίαν τὴν ὑπόθεσιν μὴ ξενίζεσθαι. προσπαραληπτέον δὲ ἀναγκαίως ἐνταῦθα τὰς ἀκτινοβολίας καὶ τὰς συμπαρουσίας τῶν κακοποιῶν πρός τε τὸν Ἥλιον καὶ τὴν Σελήνην καὶ τὸν ὡροσκόπον τόν τε οἰκοδεσποτικὸν λόγον· ἐκ γὰρ τούτων καὶ οἱ ὅροι τῆς ὑποστάσεως καταλαμβάνονται. πρὸς δὲ τοὺς ἀχρόνους ἢ ὀλιγοχρονίους λογισόμεθα τοὺς προκειμένους χρόνους τῶν ὅρων, πρῶτον μὲν ὥρας εἶτα ἡμέρας εἶτα μῆνας εἶτα ἐνιαυτούς· μετὰ δὲ τὸ συμπληρῶσαι τὸν πρῶτον ὅρον τῶν ἐτῶν τὸν δεύτερον καὶ τὸν τρίτον ὁμοίως λογισόμεθα, ὥρας ἡμέρας μῆνας, καὶ ἐπιπροσθήσομεν τῷ πρώτῳ. ἐν δὲ τοῖς ὀλιγαναφόροις ζῳδίοις ἐπὰν εὕρωμεν πολυχρονίους γενέσεις, τὸν πρῶτον ἢ τὸν τρίτον ἐπισυνάγομεν ἢ τὸν δεύτερον καὶ τὸν τρίτον ἢ τὸν τέταρτον ὁλόκληρον καὶ τῶν λοιπῶν τὰ τῇ μοίρᾳ παρακείμενα καὶ ἀποφαινόμεθα.

Πάλιν δὲ ποῖος ὅρος τῶν τριῶν ἰσχύσει, οὕτως γνωστέον. εἰσελθὼν κατὰ τὴν ὡροσκοποῦσαν μοῖραν θεωρῶ, πόσα ἔτη παράκειται τὸν πρῶτον ὅρον· ἔπειτα εἰσελθὼν εἰς τὴν κατ' εὐθὺ μοῖραν ζητῶ, τοῖς εὑρεθεῖσιν ἔτεσι καὶ μησὶν πόστος ἀριθμὸς παράκειται, καὶ τοῦτον προσθεὶς ταῖς τοῦ ὡροσκόπου μοίραις ἀπολύω ἀπὸ τοῦ ὡροσκοποῦντος ζῳδίου ἢ τῆς Σελήνης, ἐὰν ἐπίκεντρος ἢ ἐπαναφερομένη τύχῃ. ὅπου δ' ἂν καταλήξῃ, ὄψομαι τὰς ἀκτῖνας τῶν κακοποιῶν, μήπως ἐμποδίσωσιν· ἐὰν γὰρ οὕτως εὑρεθῇ, ὁδὶ ὀλετὴς τῶν κύκλων. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ δευτέρου καὶ τρίτου ὅρου. ἄλλως τε πάλιν λήψομαι ἐκ τῶν ἀπὸ συναφῆς τὰ ἔτη, ἐκ τῶν δευτέρων καὶ ἐκ τῶν

3 προάγει V. ὥραν V. 4 οὗτ(ως) V. 6 ἀφαίρεσι V. 13 δοκεῖ V. 14 πραγματεύσασθαι V. 18 πρὸς παραληπταῖον V. ἀνακαίως V. 31 possis <κατὰ> τὸν aut sane τῷ πρ. ὅρῳ. 33 nempe πόσος. 35 ἐπίκτ V. 37 οδιο|λέτης τῶν Θ V solvi dubitanter. 39 δευτέρων vix sanum, fort. ὅρων add.

ἀστέρων, καὶ ὄψομαι μήπως ὁ τῆς λύσεως οἰκοδεσπότης τῶν τριῶν ἐπικρατήσῃ καθ' ὃν δήποτε οὖν <τρόπον>· λύσεως δέ ἐστιν ὁ ιβ' τόπος. προβλέπειν δὲ δεῖ καὶ τὸν κλιμακτηρικὸν λόγον, καθὼς ἐπελυσάμεθα. ἐὰν ὁ κατ' ἔλλειψιν ἀριθμὸς συνεμπέσῃ, χρεοκοπήσει ἐκ τῶν ἐτῶν μέρος· πολλάκις οὖν ἢ προλήψεται ὁ κλιμακτὴρ ἢ μετὰ τὸν λογιζόμενον ἀριθμὸν τῶν ἐτῶν τὸ τέλος ἐποίσει. παρατηρητέον δὲ εἰς ποῖον σελίδιον ἐξέπεσεν ὁ τοῦ ὡροσκόπου τόπος, πότερον δύο ἢ τρεῖς ἢ τέσσαρας ἀριθμοὺς ἔχει, καὶ οὕτως τῷ συναμφοῖν ἀριθμῷ χρῆσθαι ἐπὶ τῶν ἐτῶν. οἷον ἔστω ὡροσκοπικὴν μοῖραν ἐκπεπτωκέναι Καρκίνου μοίρᾳ η', ἥτις σημαίνει τόπον τρίτον· ἐν δὲ τῷ αὐτῷ σελιδίῳ καὶ μοῖρα θ' χρηματίζει· ἰσχύσει οὖν καὶ αὕτη ἡ θ' μοῖρα πᾶσαν αἵρεσιν. ὁμοίως ἐν αὐτῷ [Καρκίνῳ] ἀπὸ κε' ἕως κη' μοίρας τόπῳ Ὑδροχόου· χρηματίσει οὖν καὶ ἡ κς' κζ' μοῖρα.

Novi alicuius libri prooemium.

Cod. S, f. 153.

Προοίμιον.

Οὐάλης Μάρκῳ χαίρειν. Ὅσα μὲν ὁ θειότατος βασιλεὺς εἴρηκε Νεχεψὼ ὁ τὴν ἀρχὴν ποιησάμενος τῆς ιγ' βίβλου, ἐν ταῖς προσυντεταγμένοις ὑφ' ἡμῶν καὶ ἄλλων πόνοις κατημαξευμένα ἐστίν· νυνὶ δὲ ταύτην συντάσσω λειπομένην ἐν οὐδενί. ὅτι μὲν οὖν μυστικῇ συνέσει τὴν ὑφήγησιν πεποίηται καὶ ἀρχηγὸς τῆς εἰς ταῦτα εἰσόδου καὶ ἡμῖν ἐγένετο, πρόδηλον· τό τε ὁμολογεῖν περὶ τῶν ἡμαρτημένων αὐτῷ πρότερον, ἐξ ὑστέρου δὲ κατωρθωμένων ἀνδρὸς ἀγαθοῦ καὶ σοφοῦ ἀπολογίαν καὶ διάνοιαν ἐπιφερομένου, καὶ τὸ καταφρονεῖν ὅλης τῆς βασιλείας καὶ τυραννίδος <παρὰ> τὸ περὶ τὰ τοιαῦτα ἐσπουδακέναι ἐμπείρου καὶ πεποιθότος καὶ ἐρωτικὴν καὶ προτρεπτικὴν θεωρίαν ἐνδεικνυμένου τοῖς μεταγενεστέροις. οὐδέ γε αὐτὸν μεθεῖλκεν ἀνάγκη βιωτικὴ καὶ πλάνη φιλάργυρος, ὥσπερ πολλοὺς τῶν νῦν· ὅθεν ἀποδεκτέος ὁ τοιοῦτος.

Ὁ δὲ σοφώτατος Κριτόδημος ἐν τῇ ἐπιγραφομένῃ αὐτοῦ ὁράσει συνεκτικωτάτῃ πολλῶν μαρτυριῶν ἀρχὴν τοιαύτην ἐποιήσατο· ἤδη

2 possis <κύριός> ἐστιν. 3 noli προσβλέπειν. κλημακτηρικὸν V. 4 συνεμπέσαι· χρυκοπτήσει (et possis χρεοκοπτήσει) V. 6 τῶν] τὸν V. παρατηρησέον V (nolui -τήρησον). 8 τὸν σ. ἀριθμὸν V. 11 αἵρεσειν V; an πρὸς ἀναίρεσιν? 16 Haec partim edideram *Rh. Mus.*, LII, 339, et *Catal.*, I, 79, Riessio fretus, interim ipse codicem contuli. 18 an del. ὁ? Cf. *Necheps.*, fr. 19. 19 πόνοις suspectum. 20 μυστικῶς συνέξει S. 21 εἰς] ἐκ S. 23 κατορθωμένου S. 24 nempe μετάνοιαν. καθὸ καταφρονεῖ S. 28 πολλοῖς S. 30 ὅρασις S. 31 possis μυστηρίων.

ποτὲ πελαγοδρομήσας καὶ πολλὴν ἔρημον διοδεύσας ἠξιώθην ἀπὸ θεῶν λιμένος ἀκινδύνου τυχεῖν καὶ μονῆς ἀσφαλεστάτης. ἄλλως τε καὶ ὁ Τίμαιος καὶ Ἀσκλατίων καὶ ἕτεροι πλεῖστοι. οὗτοι μὲν οὖν καλλονῇ λόγων ἐνεχθέντες καὶ τερατολογίᾳ οὐ κατὰ τὰ ἐπαγγέλματα τὰ ἔργα ἐπέδειξαν οὐδὲ τὰς συντάξεις πλήρεις καὶ ἐπιλελυμένας, ἀλλὰ λειπομένας ἐν πολλοῖς τισιν ἀεὶ τῶν ἐντυγχανόντων· ἐν πᾶσι δὲ τὸ σκολιὸν καὶ ἐφθονημένον καὶ ἀναδυόμενον καὶ ἐπιπλεκόμενον· καὶ μηδεμιᾷ ὁδῷ διευθύνοντες ἀλλὰ προσεισφέροντες αἵρεσιν αἱρέσει καὶ ἀναπομπίμους βίβλους πλάνης μᾶλλον ἢ ἀληθείας τεκμήρια. ὁ μὲν οὖν Κριτόδημος, πλῆθος θεωρημάτων κεκτημένος καὶ τοῖς ἄλλοις συγκεκοσμημένος καὶ δυνάμενος σαφῶς διερμηνεῦσαι διὰ τῆς τούτων τῶν ὀργάνων φαντασίας ἠμαύρωσε τὴν ἐπιστήμην· ἐγὼ δὲ ἐν ταῖς προσυντεταγμέναις μοι βίβλοις οὔτε κενῶν οὔτε ματαίων ὕθλων πόνους διήνυσα, οὐ μὴν κατὰ τὴν δόκησιν τινῶν ἀμφιβόλους ἐπιλύσεις καὶ γραφὰς ἀναρίθμους περιττῶν συντάξεων· διὸ καὶ τὰ δοκοῦντα ἀληθείας ἐφικνεῖσθαι εἰς ἄπειρον ζήτησιν καὶ λόγον ἐχώρησεν. χρὴ δέ γε τὸν βουλόμενον συγγράφειν † ὡς μὴ χρῄζειν ἑτέρου· εἰ δὲ οὖν, διὰ τὸ ἀγνοεῖν καὶ φθονεῖν τὴν πλοκὴν ἐπεισφέρει· πελαγοδρομήσας οὖν καὶ πολλὴν γῆν διοδεύσας κλιμάτων τε καὶ ἐθνῶν κατόπτης γενόμενος πολυχρονίᾳ πείρᾳ καὶ πόνοις συνεμφυρεὶς ἠξιώθην ὑπὸ θεοῦ καὶ τῆς προνοίας βεβαίου καὶ ἀσφαλοῦς λιμένος τυχεῖν· οὐ γὰρ φθαρτὰ πάντα καὶ μοχθηρὰ ἔλαχον οἱ ἄνθρωποι, ἔστι δέ τι καὶ θεῖον ἐν ἡμῖν θεόπνευστον δημιούργημα ὅ τε περικεχυμένος ἀὴρ ἄφθαρτος ὑπάρχων καὶ διήκων εἰς ἡμᾶς ἀπόρροιαν καιρικὴν ἀθανασίας ἀπονέμει τακτῷ καὶ μεμετρημένῳ χρόνῳ. ἣν ἕκαστος ἡμῶν καθ' ἡμέραν μελετᾷ γυμναζόμενος λαμβάνειν ἢ καὶ ἀποδιδόναι τὸ ζωτικὸν πνεῦμα. καθὼς καὶ ὁ θειότατος Ὀρφεὺς λέγει·

Ψυχὴ δ' ἀνθρώποισιν ἀπ' αἰθέρος ἐρρίζωνται.
καὶ ἄλλως·
Ἀέρα δ' ἕλκοντες ψυχὴν θείαν δρεπόμεσθα.
ἄλλως·
Ψυχὴ δ' ἀθάνατος καὶ ἀγήρως ἐκ Διός ἐστιν.
ἄλλως·
Ψυχὴ δ' ἀθάνατος πάντων, τὰ δὲ σώματα θνητά.

Ἔνθεν ἐφ' ὅσον ἔχομεν τὴν ψυχὴν κινούμεθα καὶ ὁμιλοῦμεν καὶ πράσσομεν καὶ μηχανώμεθα καὶ ποιοῦμεν ἔργα ἰσόθεα· ὁπότε δ' εἰς τὸν ἀέρα ἀναδράμῃ τὸ χρέος, πρόκειται τὸ σῶμα νεκρὸν ἄναυδον κατὰ

1 διωδεύσας S. 3 ἀσκλαπίων S[a] ut vid. 5 οὐδὲν S. 6 πλήρης S. 7 an <πλανητικὰς> τῶν ἐντ.? 8 ἀναλυόμενον S. an μηδεμίαν ὁδόν? 11 συγκεκοσμϊμένος S. 14 κενῶς οὔτε ματέως ἄθλων S. an οὔτε μὴν? 15 περιττῶν Wendl.] ὑπὲρ τῶν S. 18 excidit aliquid post ὡς (ὡς ἔνι μάλιστα vel sim.). ὡς] ὅλως Wendl. 19 κριμάτων S[a]. 20-21 συνεμφυρῆς S. 23 fort. ἡμῖν <καὶ>. 24 ἀπόρροι S. 25 μερικὴν Wendl. ἀπονέμειν S. 29 ἄλλων S. 30 δρεπόμεθα S.

διαδοχὴν ἑτέρῳ τὸ πνεῦμα συγκεχωρηκὸς κενὸν εἱμαρμένης δημιούργημα οὐδενὸς ὂν δεκτικόν· τῆς γὰρ φύσεως ἀναλυθείσης εἰς τὸν οἰκεῖον τόπον ἐλέγχεται τότε τὸ θνητὸν σῶμα.

Ὅθεν τοῦ θεοῦ συνεργοῦντος ἀνεῦρον ταῦτα ἐν σκότει τεθησαυρισμένα· καί μοι κατ' ἀρχὰς μὲν δαψιλὴς λόγος συνεμπεσὼν ἀπορρήτους ἀμεταδότους τὰς ὑφηγήσεις διαφυλάσσει διὰ πολλοὺς τῶν ἀναξίων· ἵνα δὲ μὴ δόξω κατήγορος μείζονι ψόγῳ περιπίπτειν καὶ τὰς ἑτέρων αἰτίας ἀνάπτεσθαι, ἔδοξέ μοι μὴ κατεζητημένως μηδὲ ἐπεσκοτισμένως ἐν ταύτῃ τῇ βίβλῳ μυστικῶς προτάξαι τὰ δοκοῦντα κεφάλαια εἰς συμπλήρωσιν τῶν προσυντεταγμένων καὶ ἀτρεκῆ σαφήνειαν διὰ πολλῆς συνέσεως τοῖς γε νοῦν ἔχουσιν· ὅπως διὰ τούτων οἱ ἀμαθεῖς καὶ θεομάχοι πίστιν ἐνεγκάμενοι καὶ ἑταῖροί γε τῆς ἀληθείας γενόμενοι ὑπαρκτὴν καὶ σεβάσμιον τὴν ἐπιστήμην καταλάβωσιν.

E libri VIII (?), capite XII. F. 171, cod. S.

Πρὸ πάντων οὖν δεῖ τοῖς ἀριθμοῖς προσέχειν μετὰ πάσης ἀκριβείας Ἡλίου τε καὶ Σελήνης καὶ τῶν πέντε ἀστέρων τῆς ὥρας σχηματογραφίας καὶ τὰς πρὸς ἀλλήλους μαρτυρίας βραβευούσης· ἐκ γὰρ αὐτῆς ὁ πᾶς σκοπὸς εὐκατάληπτος τελίσκεται οἵ τε ιβ' τόποι συνορῶνται μοιρικῶς. οὕτως γὰρ ἀκριβὴς ἡ ἐπίσκεψις φανεῖσα τοὺς μὲν προλέγοντας δοξάσει, τοὺς δ' *** ἐπιστήμην ἐπισφραγίζει τὰ φαῦλα καὶ τὰ μὴ πρὸς ἡδονήν, τοῖς δὲ βουλομένοις τὴν ἐπίσκεψιν ποιεῖσθαι προθυμίαν τινὰ καὶ προτροπὴν καὶ πίστιν τῶν λεγομένων ἀναλαμβάνει. εἰ μὲν <γὰρ> καθολικὸν τοῦτο ὑπῆρχε τὸ πλουτήσαντά τινα μηδέποτε πένεσθαι μηδὲ τὸν εὐδαίμονα ὄντα βασιλείας καὶ ἡγεμονίας ἢ δόξης <ἢ> ἑτέρας οἱασδηποτεοῦν αἰτίας ἀκαθαίρετον διαφυλαχθῆναι ἢ τὸν ἐν ῥώμῃ σώματος ἀσινῆ ἢ τὸν ἐν πράξει καιροῦ εὐτυχήσαντα μηδέποτε δυσπραγῆσαι ἢ τὸν κυβερνήτην κλυδωνίζεσθαι καὶ ἀστοχεῖν θαλασσομαχοῦντα ἢ τὸν ἰατρὸν μὴ νοσεῖν ἢ τὸν προγνωστικὸν μηδὲν πάσχειν ἤ τινα προφήτην τῶν θείων ἐπιτυχῆ τοῖς ἀνθρώποις ἀμετάβλητον τυγχάνειν, οὐκ ἂν ἦν εὔχρηστος ἡ πρόγνωσις, ἀλλ' ὡς ἕκαστος περὶ ὃν τετύχηκε κεκτημένος κλῆρον ἀσχολούμενος καὶ μηδεμίαν προσδοκῶν καινοποιίαν διετέλει τὸν χρόνον. νυνὶ δὲ καὶ ἀβέβαια καὶ σαθρὰ τὰ τῶν ἀνθρώπων πάντα καὶ ἀστήρικτα νομίζεται εἰς τὸ ἐναντίον τρεπόμενα· γίνεται μὲν γὰρ ὁ βασιλεὺς αἰχμάλωτος καὶ ὑπηρέτης, ὁ δὲ

1 ἑτέρας ut vid. S. 2 corpus fato subiectum est, anima huic dominio exempta secundum dogma Posidonianum (Manil., IV, 390, 407). Cf. *De orac. chald.*, 60; Reitzenstein, *Poimandres*, 102. 5-6 ἀπειράτους S. 6 opusne <καὶ> ἀμετ.? 7 an κατ. <γενόμενος>. 8 ἀναπτεροῦσθαι S; corr. Wendl. 8-9 καταζητημένως μ. ἐπισκοτισμένως S. 16 nempe ὡριαίας. 18 an ἁλίσκεται? 20 possis τοῖς δ' <ἀνυπόστατον λέγουσι τὴν>. 24 possis ὄντα <ἐπὶ> sed genetivi pendere possunt ab ἀκαθαίρετον; μηδὲ calamo lapsus pro καὶ posuisse videtur (nolui neque ἠδὲ neque τὸ). 25 an ἀξίας? 29 ἐπιτύχη S. 30 nempe del ὡς. 31 ὃν] ὧν S. τετύχηκε|κτημένος S.

πλούσιος πένης καὶ ἐνδεής, ὁ δὲ ἐν ῥώμῃ σώματος καὶ δυνάμει ἐπισινὴς καὶ ἀδρανὴς καὶ τὰ λοιπὰ πάντα, ὅσα ἐν τῷ βίῳ περὶ σῶμα ἢ μορφὴν καὶ δόξαν καὶ πρᾶξιν κεκαλλώπισται, μεταμορφούμενα ἕτερα ἐξ ἑτέρων πεῖραν δίδωσι τοῦ πάσχειν, ἅπερ ἕτερος πάσχων ἠγνόησε. σπάνιον γάρ τινα ἀμέμπτως [τὸν βίον καὶ ἀμερίμνως διευθῦναι· τοὺς δὲ πλείστους κατὰ τὴν ἰδίαν ὑπόστασιν ταῖς τῶν καιρῶν ἐναλλοιοῦσθαι τύχαις συμβαίνει.

Τοιγαροῦν καὶ αὐτὸς καταμαθὼν ἐμαυτὸν ἐκ τῆς προγνώσεως καὶ ὁποίαν καταβολὴν ἔλαχον τοῦ κλήρου καὶ ὅτι παρὰ τοῦτο ἀδύνατον γενέσθαι ἕτερον οὔτε ἡγεμονίας οὔτε ἀρχῆς οὔτε ἑτέρας φαντασιώδους δόξης ἢ πλούτου δαψιλείας καὶ κτημάτων ἢ σωμάτων πλήθους ἐραστὴς ἐγενόμην ἢ δοῦλος ἐπιθυμίας καὶ κόλαξ ἀσεβὴς θεῶν τε καὶ ἀνθρώπων δυνάμενος τυχεῖν, ὧν μὴ ἐβούλετο τὸ δαιμόνιον παρέχειν· ἀλλὰ καθάπερ δεσπότου φαύλου ἐν συνέσει δοῦλος ἐπίσταται ἤθη καὶ τὰς περὶ τὸν βίον ἀναστροφὰς κοσμίως τὰς ἐξυπηρετήσεις ποιούμενος κατὰ τὴν τοῦ κελεύοντος διαταγὴν μὴ ἀντιτασσόμενος ἀλύπητον καὶ ἀκοπίατον ἡγεῖται τὴν ὑπόστασιν, τὸν αὐτὸν τρόπον καὶ αὐτὸς οὔτε μοχθηρὰν οὔτε ἐπώδυνον τὴν ὑπηρεσίαν ἐποιησάμην, πάσης δὲ ματαίας ἐλπίδος καὶ φροντίδος ἀπαλλαγεὶς τὸν τῆς εἱμαρμένης νόμον διεφύλαξα.

Ἐὰν οὖν φιλοπευστῶν τις καὶ ἰσχυροποιησάμενος τὴν διάνοιαν βούληται ἀκούειν παρ' ἀνδρὸς ἐμπείρου περὶ τῶν ὄντων καὶ τῶν ἐσομένων, τῶν πλείστων καταφρονήσας ἐκείνων ἐραστὴς γενήσεται τῶν συνηρμοσμένων <εἰς> τὴν καταβολήν. ἀνατυπούμενος γὰρ καθ' ἑκάστην ἡμέραν ἅπερ δεῖ παθεῖν τῶν φαύλων τὸν φόβον προμαραίνει· ἀμβλύνεται γὰρ τὸ χαλεπὸν ὑπὸ τῆς εὐθυμίας ἐπιτριβόμενον, οὕτως τε ὡς ὑπὸ ἑτέραν δεσποτείαν καὶ ἐξουσίαν τεταγμένος διὰ τῆς ἰδίας ἐγκρατείας ἀκηρύκτως καὶ κοσμίως τὸ τέλος τοῦ βίου ὑποίσει. ἐὰν δέ τις πείρᾳ βουλόμενος μαθεῖν ἐπιγνῶναι θέλῃ ταῦτα ὅπως ἔχει, ἀντιτασσέσθω τοῖς βουλευομένοις ὑπό τινος ἀπείρου καὶ τὰ ἐναντία πρασσέτω. οἷον εἰ πένης ὢν πλούσιος γένηται ἢ μέτριος ἀρχοντικὸς ἢ ἄπρακτος εὐεπίβολος ἀσυκοφάντητος ἀλύπητος ἀμέριμνος (πάντες γὰρ ἄνθρωποι καλῶν ἐρασταὶ πεφύκασι) — τούτων δέ τις τυχὼν καταφρονήσει τῆς πεπρωμένης. ἀδύνατον δ' ὁπόσα βούλεταί τις συντελεῖσθαι ἢ ἐπὶ τοῖς αὐτοῖς διαμένειν διὰ τέλους· σύμφορον τοιγαροῦν † ἔχεσθαι τὴν τύχην καὶ ἀστήρικτον ὑπάρχειν· τὰς γὰρ εὐημερίας

5 διευθῆναι S. 6 possis συναλλοιοῦσθαι. 8 κἂν αὐτὸς S. 11 δαψιλίας S. 12 δούλων S. 13 nempe <οὐ> δυνάμενος vel οἰόμενος. 14 an <ὁ> ἐν? 16 nempe καὶ τῇ τ. κ. διαταγῇ. 22 βούλεται S quod etsi scripsisse potest Valens, tamen codici recenti in talibus exigua fides. 25 τὸν φαῦλον S. 26 ἀθυμίας vel εὐθ. S. ἐπιτρεφόμενον S. 28 ἀνυποίσει S. 29 πεῖραν S. θέλοι S. ὅπως] οὕτως S. 30 βουλομένοις S. 33 δὲ] δὴ Wendl. 34 δ' ὁπόσα Rad.] δὲ πρὸς ἃ S. 35 συμφορὰν S fors. plura turbata. 36 displicent τρέπεσθαι, στρέφεσθαι. εὔχεσθαι Wendl.

αὐτῆς οὐ φέρουσιν ἄνθρωποι· καθάπερ γὰρ λυσσώδεις ἐξοιστρημένοι καὶ ὑπὸ πολλὰς δεσποτείας τεταγμένοι ἐπιθυμιῶν τε καὶ παθῶν ὄρεξιν πάσχοντες κἂν μὴ θέλοντες τὰς ἁρμοζούσας τιμωρίας κομίσονται.

Τισὶ μὲν οὖν ἔδοξε τῶν εὐήθων λέγειν πάντα ἐν ἡμῖν· μὴ δυνάμενοι δὲ τοῦτο ἀποδεῖξαι διὰ πείρας εἰς μέρος τι τοῦ λόγου κατέδραμον φάσκοντες ἃ μὲν ἐν ἡμῖν, ἃ δὲ ἐν τῇ εἱμαρμένῃ. τυχόντες δὲ τούτου καὶ ἀναισχυντοῦντες εἰς ἄπειρα καὶ ἀνοίκεια ζητήματα ἐχώρησαν λέγοντες· τὸ προελθεῖν ἐκ τῆς οἰκίας ἐν ἐμοὶ καὶ τὸ λούσασθαι καὶ πορευθῆναι ὅπου βούλομαι καὶ πρᾶξαί τι καὶ πρίασθαι καὶ συντυχεῖν φίλῳ καὶ ἕτερα πλεῖστα ἄπορα. τοὐναντίον δὲ ἐγώ φημι πρὸς τούτους, ὅτι οὐδὲ ταῦτα τὰ μάταια ἐν αὐτοῖς ἐστιν· εἰς τὸ ἐναντίον γὰρ χωρεῖ τὸ τῆς προαιρέσεως διά τινας ἀπροφασίστους αἰτίας. καὶ γὰρ αὐτὸς πολλάκις πρᾶξαί τι βουλόμενος ἢ συντυχεῖν φίλῳ ὥραν καλὴν ἐκλεξάμενος οὐκ ἔτυχον τοῦ προκειμένου οὐδὲ μὴν ὅπου ἐβάδιζον γενόμενος· ὁπότε δ' οὐκ ἐβουλήθην, τὸ τοιοῦτον συνετελέσθη· πάντως γὰρ ἔδει τὴν ὥραν ἐναρμόνιον τῷ μέλλοντι ἔσεσθαι τυχεῖν. τοιγαροῦν χρὴ τούς γε νοῦν ἔχοντας ἕπεσθαι τῷ δαιμονίῳ καθὼς βούλεται (κατασκευάζει γὰρ τὴν ** πρὸς ὃ θέλει) ἢ καλὰς ὥρας ἐκλέγεσθαι, ἀρχικῆς δὲ πράξεως τῆς καταρχῆς γενομένης κατὰ τὴν κοσμικὴν κίνησιν καὶ ἀνάγκην συνορᾶν τὸ ἀποτέλεσμα ἐκ τῆς τότε ἀστροθεσίας καὶ τῆς τοῦ ὡροσκόπου.

F. 106ᵛ, COD: V. Ex CAPITE : Παράδοσις χρόνων. ἀστέρων β' ἐπιμερισμοὶ ἐκ τῶν Κριτοδήμου.

Ἥλιος Ἑρμῆς Κριῷ, Σελήνη Ἀφροδίτη Ἰχθύσιν, Κρόνος Καρκίνῳ, Ζεὺς Ἄρης Ταύρῳ, ὡροσκόπος Σκορπίῳ, ὁ κλῆρος τῆς Τύχης Τοξότῃ, ὁ κύριος σὺν τῷ Δαίμονι ἐν τῇ Παρθένῳ, ὁ θανατικὸς τόπος Καρκίνῳ. Κρόνος ὁ κύριος τῆς Σελήνης ἀπόστροφος, ἠναντιώθη δὲ καὶ ὁ Ἄρης τῷ ἰδίῳ οἴκῳ· ὁ τοιοῦτος ἐθηριομάχησεν. Κατελαβόμεθα δὲ ἐπὶ τῶν διαμέτρων στάσεων τοὺς κακοποιοὺς οὐκ ἐπὶ πάσης γενέσεως κατὰ πάντα βλαπτικούς, ἀλλὰ ἔσθ' ὅτε καὶ ἀγαθοποιοὺς καὶ μάλιστα ἐπὶ τῶν ἐνδόξων γενέσεων, πλὴν καὶ αὐτοὺς πολλαῖς κακίαις συμπεφυρμένους. βίαιοι γὰρ οἱ τοιοῦτοι μετὰ ἀνάγκης γινόμενοι ἀνοσίοις καὶ ἀθεμίστοις πράγμασιν περιτρέπονται· ἀδικοῦσιν δὲ ἢ λεηλατοῦσιν ἅρπαγές τε καὶ ἀλλοτρίων ἐπιθυμηταὶ καθίστανται ὑψαυχενοῦντες καὶ ἀλογιστοῦντες διὰ τὴν τῆς δόξης ἐπίκαιρον εὐδαιμονίαν· τὰ γὰρ ἴδια ἁμαρτήματα

1 fors. <καὶ> ἐξ. ἐξιστρημένοι S 4 τὶς S, corr. Rad. Wendl. 5 λογικοῦ S. 10 possis εὔπορα. 14 μὴν requirere videtur ἐγενόμην, sed omni potius vi caret. 18 haec sana esse non spondeo. καλῶς S[a]. 19 κατ' ἀρχῆς S " si in initio alicuius negotii καταρχή observata est ". 26 pro Daemonis signo Sagittarii V. 27 Saturnus dominus est Lunae, quod in eius domo positus est; ἀπόστροφος est utpote domui suae (Capricorno) contrarius; Martis domus Scorpius. 31 αὐτοὺς] nempe οὕτως. 32 βίοι V et supra ου. 34 ὑψαυχυνοῦντος V.

ἑτέροις ἐπεισάγουσιν. ἀλλὰ καὶ θεοῦ καὶ θανάτου καταφρονοῦσιν· ἄρχουσι γὰρ ζωῆς καὶ θανάτου· ὅθεν οὐ διὰ παντὸς τοῖς τοιούτοις τὸ εὐτυχὲς διαμένει, διὰ δὲ τὴν τοῦ ἐναντιώματος στάσιν οἱ μὲν ἀπὸ δόξης εἰς ἀτιμίαν ἢ ταπεινὴν καθαιροῦνται τύχην, οἱ δὲ βιαιοθανατοῦσιν· τινὲς δὲ ὅσα ἑτέροις ἐνεδείξαντο, αὐτοὶ πάσχουσιν τιμωρούμενοι καὶ κολαζόμενοι καὶ μεμφόμενοι τὴν προγενομένην τῆς δόξης ἀνωφελῆ φαντασίαν. ἃ γὰρ μετὰ πόνου καὶ μερίμνης καὶ βίας καὶ χρόνῳ συνεσώρευσαν, τούτων ἐν στιγμῇ ἀφαιρεθέντες λυποῦνται ἢ ἑτέροις ἄκοντες συνεχώρησαν· ἐπακολουθεῖ γὰρ τούτοις σὺν τῇ ἀβεβαίῳ τύχῃ νέμεσις χαλιναγωγὸς φθόνος ἐπιβουλὴ προδοσία λύπη μέριμνα φθίσις σώματος, ὡς καὶ βουλομένους ἀπαλλάττεσθαι τῆς ματαίας εὐδαιμονίας μετρίαν μεταμφιασαμένους τὴν τύχην μὴ δύνασθαι, πάσχειν δὲ ὅσα ἡ πεπρωμένη ἄκοντας ἐβιάσατο.

Κατ' ἀμφότερα δὲ αἱ διάμετροι στάσεις κριθήσονται, μία μὲν ὅταν ἀστὴρ ἀστέρα διαμετρήσῃ ἢ ὡροσκόπον, ἑτέρα δὲ ὅταν ἴδιον οἶκον ἢ τρίγωνον ἢ ὕψωμα διαμετρῇ· καὶ οἱ κύριοι δὲ τῶν τριγώνων ἢ τῶν αἱρέσεων ἑαυτοῖς ἐναντιούμενοι κάκιστοι καὶ ἀβέβαιοι περὶ τὸν βίον γενήσονται.

Excerpta e libro secundo.

II, 4. Περὶ τοῦ λαχόντος τὴν ὥραν ἢ τὸν κλῆρον ἀστέρος. S f. 6ᵛ, M f. 276ᵛ.

Κρόνος τὴν ὥραν λαχὼν ἢ τὸν κλῆρον οἰκοδεσποτήσας μὴ ἐναντιουμένου τοῦ Ἄρεως· ὁ τοιοῦτος εὐδαιμονήσει περὶ τῆς ὑπὸ Κρόνου μεριζομένης πράξεως· ἐὰν δὲ ὑπὸ Διὸς μαρτυρηθῇ, διπλασίονα· ἐὰν δὲ Ἀφροδίτης, διὰ γυναικὸς ἢ ἀσπέρμου· ἐὰν δὲ ὁ τοῦ Ἄρεως αὐτῷ συνῇ ἢ ἐναντιωθῇ, ὁ τοιοῦτος ἐν ταραχαῖς καὶ ἐναντιώμασιν ἔσται· ἐὰν δὲ ὁ τοῦ Ἑρμοῦ αὐτῷ συνωροσκοπήσῃ, ὁ τοιοῦτος ταῖς ἀκοαῖς παραποδισθήσεται. Ζεὺς τὴν ὥραν ἢ τὸν κλῆρον ὡροσκοπήσας εὐτυχεῖς ἄγαν ἀπὸ νεότητος ἀποτελεῖ· ἐὰν δὲ Ἄρης παρῇ ἢ ὁμόκεντρος ἢ τρίγωνος, ἐν λαμπραῖς στρατείαις προκόψει καὶ βίου περίκτησιν οἴσει· ἐὰν δὲ καὶ Κρόνος προσγένηται, ἐν ὑπεροχαῖς γίνονται· εἰ δὲ καὶ Ἀφροδίτη, ἔτι μᾶλλον· ἐὰν δὲ καὶ Ἑρμῆς, ἐν λήψεσι καὶ δόσεσι γίνονται. Ἄρης λαχὼν τὴν ὥραν ἢ τὸν κλῆρον ὡροσκοπῶν ποιεῖ

1 ἑταίροις V. ἐπειγάσσιν Vᵃ, σα supra ει Vᵇ. 7 an [καὶ] χρόνῳ? 10 χαληναγωγός V. 13 ἐβιάσαντο V. 19 S (Selden. 22) a Riessio festinanti calamo descriptus, unde saepius de lectione ambigitur; M (Marcian. 314) photographice depictus a Cumontio. 20 inscr. om. M. 22 ὁ ♄ S. ὡροσκοπήσας MS. 22-23 ἐναντιούμενος ♂ S. 25 δὲ καὶ ♀ S. non opus <ὑπὸ> Ἀφρ. ἢ ἀσπέρμου om. S. αὐτῷ om. M. 28 ἢ S] καὶ M. ὡροσκοπῶν S ut vid. 29 παρῇ Αρης S. 30 περίκτισιν M. 31 δίδονται MS. 33 λ. ἢ τὴν ὥραν ὡρκ. τὸν κλ. M.

αὐτῆς οὐ φέρουσιν ἄνθρωποι· καθάπερ γὰρ λυσσώδεις ἐξοιστρημένοι καὶ ὑπὸ πολλὰς δεσποτείας τεταγμένοι ἐπιθυμιῶν τε καὶ παθῶν ὄρεξιν πάσχοντες κἂν μὴ θέλοντες τὰς ἁρμοζούσας τιμωρίας κομίσονται.

Τισὶ μὲν οὖν ἔδοξε τῶν εὐήθων λέγειν πάντα ἐν ἡμῖν· μὴ δυνάμενοι δὲ τοῦτο ἀποδεῖξαι διὰ πείρας εἰς μέρος τι τοῦ λόγου κατέδραμον φάσκοντες ἃ μὲν ἐν ἡμῖν, ἃ δὲ ἐν τῇ εἱμαρμένῃ. τυχόντες δὲ τούτου καὶ ἀναισχυντοῦντες εἰς ἄπειρα καὶ ἀνοίκεια ζητήματα ἐχώρησαν λέγοντες· τὸ προελθεῖν ἐκ τῆς οἰκίας ἐν ἐμοὶ καὶ τὸ λούσασθαι καὶ πορευθῆναι ὅπου βούλομαι καὶ πρᾶξαί τι καὶ πρίασθαι καὶ συντυχεῖν φίλῳ καὶ ἕτερα πλεῖστα ἄπορα. τοὐναντίον δὲ ἐγώ φημι πρὸς τούτους, ὅτι οὐδὲ ταῦτα τὰ μάταια ἐν αὐτοῖς ἐστιν· εἰς τὸ ἐναντίον γὰρ χωρεῖ τὸ τῆς προαιρέσεως διά τινας ἀπροφασίστους αἰτίας. καὶ γὰρ αὐτὸς πολλάκις πρᾶξαί τι βουλόμενος ἢ συντυχεῖν φίλῳ ὥραν καλὴν ἐκλεξάμενος οὐκ ἔτυχον τοῦ προκειμένου οὐδὲ μὴν ὅπου ἐβάδιζον γενόμενος· ὁπότε δ' οὐκ ἐβουλήθην, τὸ τοιοῦτον συνετελέσθη· πάντως γὰρ ἔδει τὴν ὥραν ἐναρμόνιον τῷ μέλλοντι ἔσεσθαι τυχεῖν. τοιγαροῦν χρὴ τούς γε νοῦν ἔχοντας ἕπεσθαι τῷ δαιμονίῳ καθὼς βούλεται (κατασκευάζει γὰρ τὴν ** πρὸς ὃ θέλει) ἢ καλὰς ὥρας ἐκλέγεσθαι, ἀρχικῆς δὲ πράξεως τῆς καταρχῆς γενομένης κατὰ τὴν κοσμικὴν κίνησιν καὶ ἀνάγκην συνορᾶν τὸ ἀποτέλεσμα ἐκ τῆς τότε ἀστροθεσίας καὶ τῆς τοῦ ὡροσκόπου.

F. 106v, cod. V. Ex capite : Παράδοσις χρόνων. ἀστέρων β' ἐπιμερισμοὶ ἐκ τῶν Κριτοδήμου.

Ἥλιος Ἑρμῆς Κριῷ, Σελήνη Ἀφροδίτη Ἰχθύσιν, Κρόνος Καρκίνῳ, Ζεὺς Ἄρης Ταύρῳ, ὡροσκόπος Σκορπίῳ, ὁ κλῆρος τῆς Τύχης Τοξότῃ, ὁ κύριος σὺν τῷ Δαίμονι ἐν τῇ Παρθένῳ, ὁ θανατικὸς τόπος Καρκίνῳ. Κρόνος ὁ κύριος τῆς Σελήνης ἀπόστροφος, ἠναντιώθη δὲ καὶ ὁ Ἄρης τῷ ἰδίῳ οἴκῳ· ὁ τοιοῦτος ἐθηριομάχησεν. Κατελαβόμεθα δὲ ἐπὶ τῶν διαμέτρων στάσεων τοὺς κακοποιοὺς οὐκ ἐπὶ πάσης γενέσεως κατὰ πάντα βλαπτικούς, ἀλλὰ ἔσθ' ὅτε καὶ ἀγαθοποιοὺς καὶ μάλιστα ἐπὶ τῶν ἐνδόξων γενέσεων, πλὴν καὶ αὐτοὺς πολλαῖς κακίαις συμπεφυρμένους. βίαιοι γὰρ οἱ τοιοῦτοι μετὰ ἀνάγκης γινόμενοι ἀνοσίοις καὶ ἀθεμίστοις πράγμασιν περιτρέπονται· ἀδικοῦσιν δὲ ἢ λεηλατοῦσιν ἅρπαγές τε καὶ ἀλλοτρίων ἐπιθυμηταὶ καθίστανται ὑψαυχενοῦντες καὶ ἀλογιστοῦντες διὰ τὴν τῆς δόξης ἐπίκαιρον εὐδαιμονίαν· τὰ γὰρ ἴδια ἁμαρτήματα

1 fors. <καὶ> ἐξ. ἐξιστρημένοι S 4 τὶς S, corr. Rad. Wendl. 5 λογικοῦ S. 10 possis εὔπορα. 14 μὴν requirere videtur ἐγενόμην, sed omni potius vi caret. 18 haec sana esse non spondeo. καλῶς S[a]. 19 κατ' ἀρχῆς S " si in initio alicuius negotii καταρχή observata est ". 26 pro Daemonis signo Sagittarii V. 27 Saturnus dominus est Lunae, quod in eius domo positus est; ἀπόστροφος est utpote domui suae (Capricorno) contrarius; Martis domus Scorpius. 31 αὐτοὺς] nempe οὕτως. 32 βίοι V et supra ου. 34 ὑψαυχυνοῦντος V.

ἑτέροις ἐπεισάγουσιν. ἀλλὰ καὶ θεοῦ καὶ θανάτου καταφρονοῦσιν· ἄρχουσι γὰρ ζωῆς καὶ θανάτου· ὅθεν οὐ διὰ παντὸς τοῖς τοιούτοις τὸ εὐτυχὲς διαμένει, διὰ δὲ τὴν τοῦ ἐναντιώματος στάσιν οἱ μὲν ἀπὸ δόξης εἰς ἀτιμίαν ἢ ταπεινὴν καθαιροῦνται τύχην, οἱ δὲ βιαιοθανατοῦσιν· τινὲς δὲ ὅσα ἑτέροις ἐνεδείξαντο, αὐτοὶ πάσχουσιν τιμωρούμενοι καὶ κολαζόμενοι καὶ μεμφόμενοι τὴν προγενομένην τῆς δόξης ἀνωφελῆ φαντασίαν. ἃ γὰρ μετὰ πόνου καὶ μερίμνης καὶ βίας καὶ χρόνῳ συνεσώρευσαν, τούτων ἐν στιγμῇ ἀφαιρεθέντες λυποῦνται ἢ ἑτέροις ἄκοντες συνεχώρησαν· ἐπακολουθεῖ γὰρ τούτοις σὺν τῇ ἀβεβαίῳ τύχῃ νέμεσις χαλιναγωγὸς φθόνος ἐπιβουλὴ προδοσία λύπη μέριμνα φθίσις σώματος, ὡς καὶ βουλομένους ἀπαλλάττεσθαι τῆς ματαίας εὐδαιμονίας μετρίαν μεταμφιασαμένους τὴν τύχην μὴ δύνασθαι, πάσχειν δὲ ὅσα ἡ πεπρωμένη ἄκοντας ἐβιάσατο.

Κατ᾽ ἀμφότερα δὲ αἱ διάμετροι στάσεις κριθήσονται, μία μὲν ὅταν ἀστὴρ ἀστέρα διαμετρήσῃ ἢ ὡροσκόπον, ἑτέρα δὲ ὅταν ἴδιον οἶκον ἢ τρίγωνον ἢ ὕψωμα διαμετρῇ· καὶ οἱ κύριοι δὲ τῶν τριγώνων ἢ τῶν αἱρέσεων ἑαυτοῖς ἐναντιούμενοι κάκιστοι καὶ ἀβέβαιοι περὶ τὸν βίον γενήσονται.

Excerpta e libro secundo.

II, 4. Περὶ τοῦ λαχόντος τὴν ὥραν ἢ τὸν κλῆρον ἀστέρος. S f. 6v, M f. 276v.

Κρόνος τὴν ὥραν λαχὼν ἢ τὸν κλῆρον οἰκοδεσποτήσας μὴ ἐναντιουμένου τοῦ Ἄρεως· ὁ τοιοῦτος εὐδαιμονήσει περὶ τῆς ὑπὸ Κρόνου μεριζομένης πράξεως· ἐὰν δὲ ὑπὸ Διὸς μαρτυρηθῇ, διπλασίονα· ἐὰν δὲ Ἀφροδίτης, διὰ γυναικὸς ἢ ἀσπέρμου· ἐὰν δὲ ὁ τοῦ Ἄρεως αὐτῷ συνῇ ἢ ἐναντιωθῇ, ὁ τοιοῦτος ἐν ταραχαῖς καὶ ἐναντιώμασιν ἔσται· ἐὰν δὲ ὁ τοῦ Ἑρμοῦ αὐτῷ συνωροσκοπήσῃ, ὁ τοιοῦτος ταῖς ἀκοαῖς παραποδισθήσεται. Ζεὺς τὴν ὥραν ἢ τὸν κλῆρον ὡροσκοπήσας εὐτυχεῖς ἄγαν ἀπὸ νεότητος ἀποτελεῖ· ἐὰν δὲ Ἄρης παρῇ ἢ ὁμόκεντρος ἢ τρίγωνος, ἐν λαμπραῖς στρατείαις προκόψει καὶ βίου περίκτησιν οἴσει· ἐὰν δὲ καὶ Κρόνος προσγένηται, ἐν ὑπεροχαῖς γίνονται· εἰ δὲ καὶ Ἀφροδίτη, ἔτι μᾶλλον· ἐὰν δὲ καὶ Ἑρμῆς, ἐν λήψεσι καὶ δόσεσι γίνονται. Ἄρης λαχὼν τὴν ὥραν ἢ τὸν κλῆρον ὡροσκοπῶν ποιεῖ

1 ἑταίροις V. ἐπειγάσιν V[a], σα supra ει V[b]. 7 an [καὶ] χρόνῳ? 10 χαληναγωγὸς V. 13 ἐβιάσαντο V. 19 S (Selden. 22) a Riessio festinanti calamo descriptus, unde saepius de lectione ambigitur; M (Marcian. 314) photographice depictus a Cumontio. 20 inscr. om. M. 22 ὁ ♄ S. ὡροσκοπήσας MS. 22-23 ἐναντιούμενος ♂ S. 25 δὲ καὶ ♀ S. non opus <ὑπὸ> Ἀφρ. ἢ ἀσπέρμου om. S. αὐτῷ om. M. 28 ἢ S] καὶ M. ὡροσκοπῶν S ut vid. 29 παρῇ Ἄρης S. 30 περίκτισιν M. 31 δίδονται MS. 33 λ. ἢ τὴν ὥραν ὡρκ. τὸν κλ. M.

ὅρμησιν ἐπὶ στρατείαν· ἐὰν δὲ καὶ Ζεὺς μαρτυρήσῃ, ἐν ἀξίᾳ προκόψει· ἐὰν δὲ καὶ Ἀφροδίτη, ἐν ἀξίαις οὐ ταῖς τυχούσαις γίνονται· ἐὰν δὲ καὶ Ἑρμῆς συμπαρῇ μόνος, παρακαταθήκην λαβὼν ἀρνήσεται· ἐὰν δὲ καὶ Ζεύς, ἀπὸ πολλῶν πολλὰ περικτήσεται, μετὰ δὲ τὸν θάνατον εἰς βασιλικὰ χωρήσει. Ἀφροδίτη τὴν ὥραν ἢ τὸν κλῆρον λαχοῦσα μεγάλα ἀγαθὰ σημαίνει καὶ μεγαλοδόξους ποιεῖ· ἐὰν δὲ συμπαρῇ Ἑρμῆς, μουσικοὺς ποιεῖ· τούτων οὕτως ἐχόντων Κρόνος διαμετρήσας αὐτοὺς ἢ καθυπερτερήσας ἐστέρησε τῶν ὑπαρχόντων. Ἑρμῆς τὴν ὥραν λαχὼν ἢ τὸν κλῆρον ὡροσκοπήσας ποιεῖ εὐτυχεῖς· ἐὰν δὲ καὶ ὁ τοῦ Διὸς συμπροσγένηται ἢ τετραγωνίσῃ, κριτηρίων καὶ πόλεων ἀρχὰς ἕξουσιν· ἐὰν δὲ καὶ ὁ τοῦ Κρόνου τοῖσδε συμπροσγένηται, διπλασίονας τάς τε ἀρχὰς καὶ τιμὰς καὶ τὰ ἀγαθὰ καὶ τὰς προκοπάς. Ἥλιος κληρωσάμενος τὴν ὥραν ἢ τὴν τύχην ὡροσκοπήσας, ἐὰν συμπαρῇ καὶ ὁ τοῦ Διὸς ἢ μαρτυρήσῃ τετράγωνος, ὁ γεννώμενος εὐτυχὴς ἔσται. ἐὰν δὲ καὶ ὁ τοῦ Ἑρμοῦ συμπαρῇ αὐτῷ, διὰ λόγων προκόψει· ἐὰν δὲ καὶ ὁ τοῦ Ἄρεως συμπαρῇ ἢ τετραγωνίσῃ σὺν τῷ τοῦ Διός, μέγας ἔσται καὶ κυριεύσει ζωῆς καὶ θανάτου. εἰ δὲ τούτων οὕτως ἐχόντων Κρόνος τετραγωνίσῃ ἢ διαμετρήσῃ, ἐν συμπτώμασι καὶ ζημίαις περιπεσοῦνται. Σελήνη κληρωσαμένη τὴν ὥραν ἢ τὸν κλῆρον τῆς τύχης μεγάλους ποιεῖ, μάλιστα δὲ ἐν ἰδίῳ τριγώνῳ· ἐὰν δὲ καὶ ὁ τῆς Ἀφροδίτης συνῇ ἢ τετράγωνος τύχῃ, τιμῆς μεγάλης καταξιωθήσεται· ἐὰν δὲ καὶ ὁ τοῦ Ἄρεως σὺν τῇ Σελήνῃ τύχῃ, ζωῆς καὶ θανάτου κυριεύσει· ἐὰν δὲ ὁ τοῦ Κρόνου, πολλῶν χωρῶν ἡγήσεται· ἐὰν δὲ καὶ ὁ τοῦ Διὸς συμπαρῇ ἢ τετραγωνίσῃ, βασιλεῖς μεγάλοι ἔσονται· εἰ δὲ τούτων ἀπόντων ὁ τοῦ Ἑρμοῦ σὺν Σελήνῃ σχηματισθῇ, ἀπὸ λόγων καὶ ἐντρεχείας αἱ προκοπαὶ ἔσονται· ἐὰν δὲ καὶ ὁ τοῦ Ἄρεως συμπροσγένηται ἢ τετραγωνίσῃ, τυράννους μεγιστᾶνας ποιεῖ· ἐὰν δὲ διαμετρήσῃ ὁ Ἄρης τὴν Σελήνην ἐκτὸς τῶν ἀγαθοποιῶν, ἐκθέσιμα ποιεῖ· ἐὰν δὲ τῷ Ἄρει ἀγαθοποιὸς συμπαρῇ, ἐκτεθέντα τραφήσεται. τὸ δὲ ὅμοιον κἂν τετράγωνος φανῇ ἢ καὶ καθυπερτερῶν εὑρεθῇ, ἐν πλάναις ἢ ἐπαγωγαῖς ἢ καὶ ἀνωμαλίαις περιβάλλει· ἐὰν δὲ ὁ τῆς Ἀφροδίτης τετραγωνίσῃ κατὰ κέντρον, ἀδικοῦνται ὑπὸ γυναικῶν. ἐὰν δὲ Κρόνος συμπαρῇ ἐν ἀσελγεῖ ζῳδίῳ, καὶ πορνοβοσκήσουσιν· ἐὰν δὲ καὶ ὁ τοῦ Ἄρεως αὐτοῖς συμμαρτυρήσῃ, ἑτέροις τὰς γυναῖκας αὐτῶν

1 ὁρμήσειν S. 2 καὶ prius om. M. 3 παραθήκην M. 5 τὸν κλ. ἢ τὴν ὥ. M. 6 μεγαλοδόξως S. 7 αὐτοῖς S. 9 λαβὼν M. ὡροσκοπῶν S? 11 καὶ om. M. τοῖσδε om. S. προσγένηται M. 11-12 διπλασίονα τὰ ἀγαθὰ mediis om. S. 12 τὰ et τὰς om. M. 13 ὡροσκοπούσας M, -πῶν S. 15 αὐτῷ om. M. 16 συμπαρείη ἢ τετραγωνίσειε M. 16-18 σὺν τῷ - Κρόνος τετραγωνίσῃ om. S. 18 συμπτώματι S, συμπτώσεσι M. 18-19 πεσοῦνται M. 20 δὲ prius om. S. 21 τ. καὶ μεγ. M. 24 γενήσονται M. 26 ἐντρεχειῶν M. 27 δὲ καὶ διαμετρήσει S. 28 ἐκθέσει μάγιοι· ἐὰν M. 29 ὁ τοῦ ♂ ἀγαθοποιῶ M. an <τὰ> ἐκτ.? 30 τετραγώνω ut vid. S. εὑρεθῇ S] φανῇ M. 32 καὶ κατὰ S.

μισθώσουσιν. ἐὰν δὲ ὁ τοῦ Κρόνου τὴν Σελήνην τετραγωνίσῃ ἢ διαμετρήσῃ κατ' ἰσόγραμμον στάσιν τῷ τοῦ Κρόνου, ἀντίληψιν ἕξει τὸ γεννώμενον τῆς τροφῆς <καὶ> ἔκβλητον τῶν γονέων ἔσται. ἐὰν δὲ ὁ τοῦ Ἑρμοῦ τετράγωνος ἢ διάμετρος γένηται τῇ Σελήνῃ, ἐναντιόβουλοι καὶ ἐναντιογνώμονες γίνονται ἔν τε διαβολαῖς καὶ κατηγορίαις ἀπὸ ὑπερέχοντος γενήσονται. ἐὰν δὲ καὶ κακοποιὸς συμμαρτυρήσῃ ἢ συσχηματισθῇ, ἐν ἀσχημοσύναις καὶ κατακρίσεσι ποιήσει. ὁ δὲ τοῦ Διὸς ἀντικείμενος κατὰ μέρος τῇ Σελήνῃ στέρησιν τέκνων ποιεῖ καὶ ἐναντιώσεις ὑπερεχόντων. καθόλου δὲ οἱ κακοποιοὶ ἐφορῶντες τὰ φῶτα καὶ τὸν ὡροσκόπον χωρὶς ἀγαθοποιῶν ὀλιγοχρονίους ποιοῦσιν. ὁ κύριος τοῦ ὡροσκόπου ἐπιτόπως κείμενος ἢ ἰδίας αἱρέσεως μεριστὴς χρόνων ζωῆς γίνεται· εἰ δέ πως συσχηματίζηται τῷ δεσπότῃ τοῦ κλήρου, πολύγηρος γίνεται καὶ εὐτυχής· εἰ δὲ ὑπὸ δύσιν τύχῃ, ὀλιγοχρόνιος· εἰ δὲ κακοποιὸς συμπαρῇ ἢ καθυπερτερήσῃ τὴν Σελήνην, ἄχρηστα τὰ βρέφη ἔσονται.

<ε'.> Κακοδαίμονος τόπος· πολλὰ σχήματα [1].

Ἐν τούτῳ τῷ τόπῳ ἐὰν οἱ κακοποιοὶ τύχωσι, μεγάλα σίνη καὶ πτώσεις ἀπεργάζονται, μάλιστα δὲ ἐὰν ἰδιοπροσωπῶσιν· ἐὰν δὲ ὁ κλῆρος τῆς τύχης ἐπῇ καὶ κυριεύσῃ τις αὐτοῦ, οὐδέποτε οὐδὲ ἐν ταῖς παρόδοις ὠφέλειά τις ἔσται· ἐχθροὶ γὰρ ἐγένοντο ἐξ ἀρχῆς ἐκ τῆς ἐκτροπῆς· ὁμοίως καὶ οἱ ἀγαθοποιοὶ ἐν τούτῳ τῷ τόπῳ οὐ μερίζουσι τὰ ἑαυτῶν ἀγαθά. ὅταν δὲ ἐν τούτῳ τῷ ζῳδίῳ πέσωσιν οἱ τρεῖς ἀστέρες, ὁ κύριος τοῦ ὡροσκόπου καὶ τοῦ κλήρου καὶ τοῦ δαίμονος, ἀτυχεῖς καὶ ἀσχήμονας ποιοῦσι καὶ ἐνδεεῖς τῆς ἐφημέρου τροφῆς· πολλοὶ δὲ καὶ τὰς χεῖρας ὑφέξουσιν.

<ς'.> Ἀγαθοῦ δαίμονος τόπος· πολλὰ σχήματα. Ζητητέον καὶ περὶ ἀκουόντων καὶ βλεπόντων ζῳδίων.

Ἐὰν ἐπὶ τοῦ ἀγαθοδαιμονοῦντος ζῳδίου ὦσιν οἱ ἀγαθοποιοὶ ἐπιτόπως κείμενοι ἢ ἐν ἰδίοις προσώποις, ἐπιφανεῖς καὶ πλουσίους ἐκ

2 nempe Διός. 3 ἄκλητον MS. δὲ om. M. 6 ὑπερέχοντας MS. 7 ἀσχημοβίαις S. 8 τὴν σελήνην S. 9 ὑπαρχόντων S et M (qui τῶν ὑπ.). 10 ποιήσουσιν M. 11 ἢ om. M. 12 σχηματίζεται S. 13 εὐτυχεῖ S. 16 inscr. om. M. 18 δὲ prius om. S. δὲ καὶ ὁ M. 19 αὐτὸν S. 20 ὠφέλια S. 23 καὶ ὁ τοῦ bis M. τῆς δαίμονος S. 24 ποιοῦσιν· ἐνδεεῖς M. ζωῆς ἢ τροφῆς M. 25 i. e. mendicabuntur. 26 sq. inscr. in linea vacua om. M. 28 ἀγαθοποιοῦντος M. 29 ἢ om. M. ἐμφανεῖς S.

[1] Capp. ε'-ιδ' saepe ad verbum conspirant cum libello Hermetis Trismegisti περὶ τῆς τῶν ιβ' τόπων ὀνομασίας καὶ δυνάμεως, qui propediem ex codd. Paris. 2506, f. 1 ss.; Marcian. 335 [Venet. 7], f. 28, in *Catalogo Parisino* edetur ubi de necessitudine qua Valens cum Hermete connectitur fusius disputandum erit.

νεότητος ποιοῦσι· πλείω δὲ καὶ τὸν κλῆρον τῆς τύχης ἐπιθεωρήσαντες ἐν τριγώνῳ μέρει καὶ τὸν ὡροσκόπον καθ' ἑξάγωνον· ἐν τῷ ἀκούοντι ἢ βλέποντι ζῳδίῳ πλεῖστα καὶ μείζονα ἀγαθὰ παρέχονται. εἰ δὲ καί τις τῶν ἀγαθοποιῶν διάμετρος τῷ ἀγαθῷ δαίμονι φανῇ παρόντος τοῦ οἰκοδεσπότου, μεγάλα καὶ μείζονα ἀγαθὰ καὶ προκοπὰς ἀποτελοῦσιν· εἰ δὲ κακοποιοὶ συμπαρῶσι τῷ ἀγαθῷ δαίμονι, οὐκ ἰσχύουσι κακόν τι δρᾶσαι. ἀναγκαιότερον δέ ἐστιν, ἐὰν ὁ οἰκοδεσπότης τοῦ κλήρου καὶ τοῦ ὡροσκόπου καὶ τοῦ δαίμονος ἐπ' ἀνατολῆς τύχωσιν ἢ πλείστων ἀστέρων αὐτοῖς ἐπιπαρόντων ἢ μαρτυρούντων ἐν χρηματιστικοῖς ζῳδίοις· ἐνδόξους γὰρ καὶ πλουσίους ὑπεράγαν ἀποτελοῦσιν.

Ἐν τούτῳ τῷ τόπῳ καὶ οἱ ἀγαθοποιοὶ καὶ οἱ κακοποιοὶ χαίρουσι μάλιστα κληρωσάμενοι τὸν κλῆρον ἢ τὸν ὡροσκόπον ἢ τὸν δαίμονα· καὶ ἐὰν πέσῃ ἐν τούτῳ ἑκάτερος τῶν ἀστέρων ἀνατολικὸς ὢν ἢ καὶ τὴν συναφὴν τῆς Σελήνης ἔχων, τύραννοι ἢ βασιλεῖς γίνονται ἡγούμενοι χωρῶν καὶ εἰς πολλοὺς τόπους ὀνομασθήσονται. ὁ κύριος τοῦ τόπου τούτου καλῶς κείμενος πρακτικοὺς ποιεῖ, ἀτόπως δὲ κείμενος ἀπράκτους· εἰ δὲ ἐπὶ δύσεως τυγχάνει καὶ κακοποιὸς ἐπὶ τοῦ τόπου συμπαρῇ ἢ διαμετρῇ, κακοπράγμονας ἢ στειρώδεις ἢ ἀτέκνους ποιεῖ.

<ζ'.> Θεοῦ Ἡλίου τόπος τὸ προμεσουράνημα, θ' ἀπὸ ὡροσκόπου· πολλὰ ἔχει σχήματα.

Ἐὰν ἀγαθοποιοὶ τύχωσιν ἐπὶ τοῦδε τοῦ τόπου καὶ κληρώσωνται τὸν ὡροσκόπον ἢ τὴν τύχην, ὁ γεννώμενος ἔσται μακάριος εὐσεβὴς προφήτης μεγάλου θεοῦ καὶ ἐπακουσθήσεται ὡς θεός. ἀπόντων δὲ τούτων, μόνου δὲ Ἑρμοῦ μαρτυροῦντος, ἐν χρηματισμοῖς γίνονται καὶ τὴν αὐτῶν ἐμπειρίαν ὄχλοις ἐξηγοῦνται καὶ βασιλικοὶ γραμματεῖς γίνονται ἀπὸ μέσης ἡλικίας· τῶν δὲ κακοποιῶν παρόντων καὶ κυριευόντων τῶν προειρημένων τόπων ἢ ἐπιθεωρούντων τὸν κλῆρον ὁ γεννώμενος τοῦ τε ὡροσκόπου καὶ τῆς τύχης τύραννος ἔσται· κτίσει πόλεις, ἑτέρας δὲ διαρπάξει καὶ πολλῶν πολλὰ παραιρήσεται ἀσεβῶς. ἐὰν δὲ τύχῃ ὁ δαίμων ἢ ἡ τύχη ἐν τῷ κακοδαιμονοῦντι ζῳδίῳ, ἐν δὲ τούτῳ τῷ τόπῳ ὦσιν οἱ οἰκοδεσποτήσαντες τὸν κλῆρον ἢ τὸν ὡροσκόπον, ἐπὶ πλείστοις κακοῖς καὶ ξενιτείαις ἔσται καὶ ὅσα ἂν κτήσηται ἀποβαλεῖ· ἢ ἐγκάτοχοι ἐν ἱεροῖς γίνονται παθῶν ἢ ἡδονῶν ἕνεκα.

3-4 τις αὐτῶν διάμ. M. παρῇ φανέντος M. 5 τὰς προκ. S. 6 καλῷ δαίμονι M. 7 δρᾶσειν M. fort. εὐκταιότερον. 7-8 ὡροσκόπος τοῦ κλ. κ. τ. οἰκοδεσπότου M. ἀνατολὰς aut -λαῖς S. 9 αὐτοῖς ἀστέρων M. 11 pro certo habeo sequentia pertinere ad X. locum i. e. Medium Caelum. 13 nempe τῶν <ἀγαθοποιῶν>. 15 ἢ καὶ M. 18 παρῇ M. διαμετρεῖ S. 19 sq. inscr. om. M. 21 ἐὰν οἱ S. κληρώσονται M S. 22 ἔσται om. M. 23 ἀπάντων M S, corr. Riess. 24 μαρτυροῦν M. 25 ἐμπορίαν S. 27 ἢ M] καὶ S. 28 verba τοῦ - τύχης sic non apta. 29 διαρπάξαι? S. ἀσεβῶν S. 31 ὡροσκοπήσαντες M. 32 κακοῖς ἡ ξενιτεία M. κτίσηται M. 33 an ἢ σινῶν?

<η'.> Ὄγδοος τόπος θανάτου· παντοῖαι θεωρίαι.

Οἱ ἀγαθοποιοὶ παρόντες τούτῳ τῷ τόπῳ ἄπρακτοι καὶ ἀσθενεῖς καὶ ἀμέριστοι τῶν ἰδίων ἀγαθῶν· εἰ δὲ καὶ τοῦ ὡροσκόπου καὶ τοῦ κλήρου κυριεύσωσι, πολλῷ μᾶλλον ἀπρακτότεροι ἢ καὶ ἀνώμαλοι τυγχάνουσιν· ἐὰν δὲ οἱ κακοποιοὶ συμπαρῶσιν κυριεύσαντες τὸν κλῆρον, οἱ γεννώμενοι πλάνητες καὶ εἴ τι ἂν κτήσωνται ἀποβαλοῦσιν. ἐὰν δὲ ὁ κλῆρος ἐν τούτῳ ἐμπέσῃ παρόντων τῶν κακοποιῶν καὶ οἰκοδεσποτούντων τὸν κλῆρον, ὁ γεννώμενος ἐνδεὴς μὴ δυνάμενος ἑαυτὸν ἀμφιάσαι. εἰ δὲ καὶ τοῦ ὡροσκόπου κυριεύσωσιν, ἀσχημονήσει δι' ὅλης τῆς ζωῆς· εἰ δὲ καὶ ὑπὸ τὰς αὐγὰς τύχῃ τοῦ Ἡλίου ὁ οἰκοδεσπότης τοῦ κλήρου ἢ τῆς ὥρας, ὁ γεννώμενος τὰς χεῖρας ὑφέξει καὶ προσαιτήσει. εἰ δὲ ὁ τοῦ Ἑρμοῦ μόνος ἐπιπαρῇ τῷ ζῳδίῳ καὶ κυριεύσῃ τῆς φρονήσεως, ὅς καλεῖται δαίμων, μωροὺς καὶ ἀνοήτους καὶ τῷ λόγῳ ἐμποδιζομένους καὶ ἀγραμμάτους ποιεῖ· ἐὰν δὲ ὁ τῆς τύχης, σὺν τῷ ἀνοήτῳ καὶ ἄφρων καὶ πένης ἔσται, μάλιστα ὑπὸ τὰς αὐγὰς τοῦ Ἡλίου τυχών. εἰ δὲ τούτων οὕτως ἐχόντων οἱ κακοποιοὶ συμπαρῶσιν, ἄφωνος καὶ κωφὸς ἔσται. μόνη δὲ ἡ Σελήνη ἐν προσθέσει τοῦ φωτὸς δοκεῖ χαίρειν ἐν τούτῳ τῷ ζῳδίῳ· ἐὰν δὲ ὁ τοῦ Διὸς ἀγαθοδαιμονῇ, εὐτυχὴς καὶ εὐπόριστος καὶ πολύτεκνος ἔσται· εἰ δὲ καὶ κύριος ᾖ τοῦ κλήρου τῆς τύχης, πλούσιος καὶ εὐδαίμων· ἐὰν δὲ καὶ ὁ τοῦ Ἑρμοῦ συμπαραγένηται αὐτῷ, καὶ διοικηταὶ βασιλέων καὶ εὐφρανθήσονται ἐπὶ τέκνοις.

<θ'.> Δεύτερος τόπος.

Οἱ ἀγαθοποιοὶ ἐπιπαρόντες καὶ οἰκοδεσποτοῦντες τὸν ὡροσκόπον ἢ τὸν κλῆρον ἀγαθὰ σημαίνουσι τοῖς γεννωμένοις, οἷον κληρονομίας καὶ ἄλλων ὑπαρχόντων αἰφνιδίους κτήσεις καὶ ἐκ θανάτου σημαίνουσι τὸ ἀγαθόν· εἰ δὲ ἐν ἀλλοτρίοις τόποις εἶεν, ἧττον εὐποροῦσιν, οὐκ ἀποροῦσι μέντοι. εἰ δὲ Ἑρμῆς ἐπιπαρῇ μόνος ἰδιοπροσωπῶν, ἐν τῷ γήρει κέρδη ἕξει καὶ πιστευθήσεται πόλεις καὶ βασιλέων πράγματα· εἰ δὲ

1 inscr. om. M. 2 ἐν τούτω M. 3 ἀμέριστοι i. e. οὐ μεριστικοί. 4 ἀπρακτώτεροι S. 5 δὲ καὶ οἱ S. κυριεύσουσιν δὲ M. οἱ M] οἷον S. 6 πένητες M. κτήσονται Mª S. δὲ om. M. 7 ἐμπ. ἐν τούτω M. 7-8 οἰκοδεσποτησάντων M. 9 ἐὰν M. 10 τῶν ⊜ M. 11 τὰς ὥρας M. 12 ὁ om. M. 13 κυριεύσει S. ὅς S] οὗ M ergo fors. οὗ. Cf. *Mus. Rhen.*, LII, 579, adn. 2. ἀνωήτους S. 14 τῇ γλώσσῃ M. καὶ ὁ S. 15 ἀδιανοήτω S. ἔσται M] ἅμα S? 17 ἄφρων S. 18 προθέσει (vel προδέσει) M. 19 ἀγαθοδαιμονεῖ S. 20 ᾖ S] ὁ M. 21 συμπαραγίνηται S? 23 nempe δυτικός i. e. septimus, nam secundus infra redibit. 24 ἢ ὡροσκοποῦντες M. 25 κλ. τῆς τύχης M. 25-26 καὶ om. S, fuitne καὶ τῶν ἄλλοις? 29 πολλὰ M, fuitne πόλεων? οἱ M^a S.

κακοποιοὶ παρῶσιν ἐν τούτῳ τῷ τόπῳ καὶ κυριεύσωσι τοῦ κλήρου ἢ τοῦ ὡροσκόπου ἰδιοπροσωποῦντες, ἀνωμαλήσει τῷ βίῳ, μάλιστα ἐπὶ τὸ γῆρας, οὐκ ἀπορήσει μέντοι· ἐξ ὀνειδισμῶν γὰρ καὶ κακῶν τὰ ποριζόμενα ἀναλώσουσιν. εἰ δὲ καὶ ἀλλοιοπροσωποῦντες καὶ παρ' αἵρεσιν ὄντες οἰκοδεσποτῶσιν τῶν κλήρων, ὁ γεννώμενος κακῶς τὸ γῆρας διάξει, ἔνιοι δὲ καὶ ἐν φυλακαῖς γίνονται χρόνον καὶ ἐν ἀρρωστίαις καὶ νόσοις. ἐὰν δὲ ὁ τοῦ Διὸς ἐπιθεωρήσῃ, ἐν ἱεροῖς ἕνεκεν ἀρρωστίας γίνονται, ἐνοχλοῦνται δὲ καὶ αἱμορροΐσι καὶ περὶ αἰδοίων ἢ δακτύλων πάθος ἰσχάνουσιν. εἰ δὲ ὁ τοῦ Ἑρμοῦ σὺν τῷ τοῦ Ἄρεως ἐπὶ τὸ δυτικὸν τύχῃ ζῴδιον, λῃστὰς καὶ φόνου συνίστορας· διὸ κακῷ θανάτῳ ἀπολοῦνται ὕστερον. οἱ κακοποιοὶ δύνοντες ἐν ἀλλοτρίῳ ζῳδίῳ βιαιοθανάτους ποιοῦσιν, οἱ δὲ ἀγαθοποιοὶ πολυπείρους καὶ ἐπὶ τὸ γῆρας εὐτυχεῖς.

<ι'.> Ἕκτος τόπος Ἄρεως.

Οἱ ἀγαθοποιοὶ ἐν τούτῳ τῷ τόπῳ ἐὰν τύχωσιν ἐπιπαρόντες, ὁ γεννώμενος ὅσα ἂν κτήσηται ἀπολεῖ καὶ ἡ οὐσία οὐ παραμενεῖ αὐτῷ· ζημίαις ἐλαττωθήσεται ἐπὶ τὸ γῆρας προβαίνων τῇ ἡλικίᾳ. ὁ δὲ Ἥλιος ἐπιπαρὼν τῷ τόπῳ τούτῳ καὶ κυριεύων τοῦ κλήρου τῆς τύχης ἢ τῆς ὥρας ποιεῖ τὸν γεννώμενον καταδικασθῆναι ὑπὸ μεγάλης ἐξουσίας. ἐὰν δὲ ὁ τοῦ Ἑρμοῦ, πλανήτης ἔσται καὶ προσκοπτικὸς καὶ φεύξεται τὴν ἰδίαν πατρίδα μόγις τὸ ζῆν πορίζων. ἐὰν δὲ ὁ τοῦ Διὸς κυριεύσῃ τοῦ κλήρου ἢ τοῦ ὡροσκόπου, ἐν δημοσίοις πράγμασιν ἀπολέσει τὸν βίον· ἐὰν δὲ ὁ τῆς Ἀφροδίτης, διὰ γυναῖκα κρίσεις ζημίας δώσουσι· γίνονται δὲ καὶ ἀνεπαφρόδιτοι οὐκ ἔχοντες χάριν. ἐὰν δὲ ὁ τοῦ Ἄρεως, σίνη καὶ πάθη κατὰ τὸ μέλος ἀποτελεῖ τοῦ ζῳδίου, ποιεῖ δὲ καὶ γυμνῆτας ἐπαίτας κακῶς τὸν βίον καταστρέφοντας. ὁ δὲ τοῦ Ἑρμοῦ κυριεύσας τοῦ κλήρου ἢ τῆς ὥρας ποιεῖ κακοβούλους κλέπτας κακολόγους καὶ ἐν ὄχλοις κακολογουμένους· ἐὰν δὲ καὶ Σελήνη ἐπιπαρῇ, δοῦλος ἔσται καὶ ἀδύνατος, ἐάνπερ <μὴ> καὶ τὰ λοιπὰ συμπαρῇ τῇ Σελήνῃ· δύνανται γὰρ τῶν ἄλλων ἀστέρων καλῶς ἐχόντων τῆς Σελήνης κακοτυχούσης ἐλεύθεροι καὶ εὐσχήμονες γενέσθαι.

1 καὶ om. M. 1-2 τοῦ ὡρ. ἢ τοῦ κλ. M. (τὸν κλῆρον S ut vid.). 2 ἐπὶ τὸ γ. μάλιστα M. 3 γὰρ καὶ S] ἢ M. 4 αἴνεσιν M. 5 τὸ γ. κακῶς διάξει M. 6 χρόνιον δὲ M. 7 ἦν M. ἀρρωστίαις S. 8 nempe αἰδοῖον ἢ δάκτυλον. 9 ἰσχανῶσιν S. τῷ ♂ M. 10 λησταῖς καὶ φόνοις συνιστορήσει M. 11 κακοποιῶ M. 14 inscr. om. M. 16 ἀπολεῖ τὴν οὐσίαν καὶ ὅσα ἂν κτ. οὐ παραμενεῖ· ζημίαις S. 18 καὶ om. S. 19 ἀπὸ S. 20 πλανίτης et προσκοπικὸς S. 21 ἐπικυριεύσῃ M. 22 cf. Plaut. Trin. 331. ἀπολέσῃ M. 23 non opus <καὶ> ζημίας. δώσωσι S. 24 ἐπαφρόδιτοι S. 25 ἀπ. κατὰ τὸ μέλος M sc. aliis signis aliae corporis partes attributae sunt (Firmic., II, 24). 28 κακοεργουμένους S. ☾ συμπαρῇ τῇ ☾ M. 29 ἐπιπαρῇ M.

<ια'.> Πέμπτος τόπος· πολλαὶ θεωρίαι.

Ἐὰν ἀγαθοποιοὶ τύχωσι τὸν κλῆρον ἢ τὴν ὥραν λαχόντες, ὁ γεννώμενος μέγας ἔσται καὶ ὄχλων ἡγήσεται καὶ νόμους θήσεται. Ἀφροδίτη τὰ μέγιστα χαρίζεται κυριεύουσα τοῦ ὡροσκόπου ἢ τοῦ κλήρου, μάλιστα ἰδιοπροσωποῦσα ἢ ἰδίῳ τόπῳ οὖσα εὐκτήμονας ἐντίμους ἀποτελεῖ. τὸ αὐτὸ καὶ ἐπὶ πάντων τῶν ἀστέρων· ἐὰν γὰρ κρατῶσιν τῆς ὥρας ἢ τῆς τύχης, ποιήσουσι τὰ ἀγαθὰ κατὰ τὸ ἐπιβάλλον τῇ ἰδίᾳ φύσει καὶ τὸ τῆς ἀγαθῆς τύχης ἴδιον. ἐὰν δὲ ὁ τοῦ Ἄρεως τύχῃ καθὸ πρόκειται, ἄρξουσι παντοδαπῶν τόπων· γίνονται γὰρ ἢ στρατηγοὶ ἢ τύραννοι [μάλιστα ἰδιοπροσωποῦσα ἢ ἰδίων τόπων] καὶ ζωῆς καὶ θανάτου κυριεύσουσιν οὐ μόνον ἐλαχίστων ἀλλὰ καὶ ἀξιολόγων ἀνθρώπων· ἐὰν δὲ ὁ τοῦ Κρόνου ἐπιπαρῇ τῷ τόπῳ, πολυκτήμονας ἐγγαίων καὶ τετραπόδων δεσπότας, κτίζοντας κώμας καὶ τόπους. εἰ δὲ ὁ Ἥλιος ἐπιπαρῇ, μεγιστάνων φίλους ἐγγὺς βασιλέων ἱερῶν ἄρχοντας· εἰ δὲ ὁ τοῦ Ἑρμοῦ, τὰς διὰ λόγων προκοπὰς καὶ χρημάτων πλείστων καταξιουμένους. εἰ δὲ ἡ Σελήνη καλῶς σχηματιζομένη κληρώσηται τὸν κλῆρον ἢ τὸν ὡροσκόπον ἐπὶ τοῦ ζῳδίου τυχοῦσα σὺν τῷ οἰκοδεσπότῃ αὐτῆς, πολυχρόνιοι γίνονται καὶ συγγηράσκουσιν ἐν εὐδαιμονίᾳ. οἱ οὖν ἀγαθοποιοὶ ἐπὶ παρόδων μεγάλα ὠφελοῦσιν, οἱ δὲ κακοποιοὶ οὐκ ἰσχύουσι βλάπτειν.

<ιβ'.> Τέταρτον ὑπόγειον.

Ἐὰν οἱ ἀγαθοποιοὶ κυριεύσωσι τοῦ ὡροσκόπου ἢ τῆς τύχης <ἢ> καὶ παρῶσιν, ἐν ἱεροῖς τὸν βίον ἕξουσιν· ἐὰν δὲ καὶ τὸν ἀρχέτυπον κλῆρον κληρώσωνται οἰκοδεσποτοῦντες ὄντες ἐν τῷ ὑπὸ γῆν, ὑπὸ δαιμονίων καὶ φαντασίας εἰδώλων χρηματισθήσονται. ἐὰν δὲ ὁ τοῦ Ἄρεως συμπαρῇ τούτοις κληρωσάμενος τὴν τύχην ἢ τὸν ὡροσκόπον, διὰ κακῶν ἕξει τὸν βίον ἀσχημονῶν καὶ εἰς περίστασιν περιπεσεῖται σὺν ἑτέροις κακουργήσας καὶ βιαιοθανατήσει. παρατηρητέον <ὅτι> ὁ τόπος οὗτος μετὰ θάνατον εὐφημίας ποιεῖ καὶ καταλείψεις ἰδίοις· ἐν τούτῳ κακοποιοὶ τυχόντες τῷ τόπῳ οἷς ἂν θέλωσι τὰ αὑτῶν καταλείπουσιν.

1 inscr. om. M. καλαι S. 2 ἐὰν οἱ M. τὸν ὡρκ ἢ τ. κλ. τῆς τύχης λ. M. 4 τοῦ prius om. S. 5 fort. ἰδιοτοποῦσα. 8 τοῖς ἀγαθοῖς τόποις M. δὲ M] γὰρ S. τύχης S. 9 πόπων M possis παντοδαπῷ τρόπῳ. 9-10 γίνονται - τόπων om. S, ultima ex v. 5 repetita. 11 θανάτους M. 12 ἐγγάων? S. 13 οἰκοδεσπότας M. 14 ἔτι παρῇ S. fort. βασιλέων <διάγοντας>. 16 εἰ M] ἡ S. κληρώσεται M. 18 καὶ om. S. συνγηράσουσιν M. 21 inscr. om. M. 23 ἀρχήτυπον S (quid sit nescio). 24 κληρώσαιντο S. 25 daemones et larvae eis responsa dabunt (Wuensch, *Bull. comun.*, 1899, p. 5). 26 Ἄρης S. 28 πεσεῖται M. βιαιοθανατήσῃ S. παρατηρητέος M. 29 ποιεῖν S. καταλήψεις S, καταλήψει M.

<ιγ'.> Τρίτος τόπος θεᾶς Σελήνης.

Ἐν τούτῳ τῷ ζῳδίῳ ἐὰν τύχῃ ἡ Σελήνη κληρωσαμένη τὸν ὡροσκόπον ἢ τὸν κλῆρον ἰδιοπροσωποῦσα, ὁ γεννώμενος μέγας ἔσται καὶ πολλῶν ἀγαθῶν κυριεύσει· ἄρξει πόλεως καὶ πολλοῖς ἐπιτάξει καὶ ἐπακουσθήσεται καὶ θησαυρῶν κυριεύσει. εἰ δὲ συμπαρείη ταύτῃ ὁ Ἥλιος καὶ εἴη πεποιημένη τὴν ἀνατολήν, ἱερεὺς θεᾶς μεγίστης ἢ ἱέρεια καὶ ἕξει βίον ἀκαθυστέρητον. ἐὰν δὲ ὁ τοῦ Κρόνου συμπαρῇ τῇ Σελήνῃ, θεοχόλωτος σημειωτικὸς πολλάκις ἐπὶ κριτὰς ἐρχόμενος καὶ πολλὰ βλασφημήσει θεοὺς ἕνεκεν τῶν συμβαινόντων αὐτῷ πραγμάτων. ἐὰν δὲ ὁ τοῦ Διὸς συμπαρῇ αὐτῇ, ἔσται προφήτης εὐτυχὴς πλούσιος ἔνδοξος, πολλῶν ἀγαθῶν κυριεύσει. ἐὰν δὲ ὁ τοῦ Ἑρμοῦ συμπαρῇ τῇ Σελήνῃ, πρακτικὸς μὲν ἀλλὰ ἀσεβής, καὶ παραθήκας ἀποστερήσει, ὅθεν ἀπ' ἀλλοτρίων ἢ φόνων ἢ ληστῶν τὸν βίον συνάξει, ξενιτεύσει δὲ πολλά. εἰ δὲ οἰκείως τύχῃ ἐν ἰδίοις προσώποις, ἀκολούθως τῇ διαιρέσει τῆς γενέσεως στρατηγὸς ἔσται χωρῶν καὶ πόλεων, ἄδικος ἐπίορκος ἀλλοτρίων ἐπιθυμητής, καὶ αἰφνιδίως ἀπολεῖται χόλῳ ἐξουσίας. ἐὰν δὲ Ἀφροδίτη ἐν ἰδίοις τόποις ἐπικρατήσῃ τοῦ τῆς θεᾶς τόπου καὶ τοῦ κλήρου τῆς τύχης ἐπὶ νυκτερινῆς γενέσεως μάλιστα, ἔσται ὁ γεννώμενος πλούσιος καὶ ὑπὸ γυναικὸς εὐνοηθήσεται· τινὲς δὲ βασιλικοὶ ἄρχοντες πόλεων διοικηταὶ διὰ τὸ τὴν θεὰν ἐν τῷ τῆς θεᾶς οἴκῳ συγκεκληρῶσθαι τὴν τύχην. ἐὰν δὲ ὁ τοῦ Ἑρμοῦ συμπαρῇ τῇ Σελήνῃ ἐν τῷ τῆς θεᾶς ζῳδίῳ καὶ τοῦ κλήρου τῆς τύχης κυριεύσῃ ἢ τοῦ ὡροσκόπου, ὁ γεννώμενος ἐρεῖ τὰ μέλλοντα πᾶσι καὶ μυστηρίων θεῶν μεθέξει.

<ιδ'.> Δεύτερος τόπος καλεῖται Ἅιδου πύλη.

Τὸ δὲ ἐπαναφερόμενον τοῦ ὡροσκόπου, ἐν τούτῳ τῷ ζῳδίῳ οἱ ἀγαθοποιοὶ οὐδὲν ὠφελήσουσιν, οἱ δὲ κακοποιοὶ ἀποτελοῦσι νωχελεῖς ἐπισινεῖς μὴ δυναμένους διανήχεσθαι τὸν βίον μέχρι τέλους. ἐὰν δὲ ὁ κλῆρος ἐπὶ τοῦ ζῳδίου ὑπάρξῃ τῶν κακοποιῶν οἰκοδεσποτούντων τὸν κλῆρον ἢ τὸν ὡροσκόπον, νεκροφύλακες γίνονται ἔξω πύλης τὸν βίον διάγοντες. ὁ μὲν οὖν τοῦ Κρόνου κυριεύων τοῦ κλήρου τῆς τύχης τῷ τόπῳ τούτῳ ἐπιπαρὼν ποιεῖ νεκροψύχους ἀρρωστηματικοὺς καὶ

1 inscr. om. M. 6 θεοῦ μεγίστου S, cf. Firmic., III, 13, 5. 8-12 θεοχόλωτος - Σελήνῃ om. S. 11 an πολλῶν ἀνθρώπων? 12 πραγματικὸς S. 13 ἀπαλοτριώσιν S. an ληστειῶν? τὸν om. S. 14 δὲ prius om. M. οἰκεῖος MS. τύχει S. ἰδίοις τόποις M. 15 fors. αἱρέσει. ἢ στρατ. S. 17 Ἑρμῆς S. ἐπικρατήσει S. 19 γενόμενος S. 20 διοικητὰς M. 21 κεκληρῶσθαι M. τῆς τύχης MS. 22 κυριεύσει MS. 26 genus dicendi quale ἡ δὲ δαφνηφορία, ξύλον ἐλαίας καταστέφουσι Procli, *Chrest.*, 248, 7; Raderm., *Demetr.*, p. 79; Philostr., *Vit. Ap.*, IV, 16, 4; 28, 1, 2; Heliod., *Aethiop.*, p. 3, 13; 75, 11; 163, 9 Bk. 30 ἢ M] καὶ S. 32 ἀρρωστιματικοὺς S.

δεσμῶν πεῖραν ἐπὶ χρόνον ἱκανὸν λαμβάνοντας, ἕως συμπληρώσωσι τοὺς χρόνους τοῦ ἀστέρος. ὁ δὲ τοῦ Διὸς ἐπιπαρὼν τῷ τόπῳ ἀνάλωσιν ἐκ τῶν ὑπαρχόντων μέχρι τέλους, ὥστε μηδὲν αὐτῷ καταλειφθῆναι· τέκνων μέντοι δόσιν, ἀλλ' οὐκ εὐτυχῶς· ὁ δὲ τοῦ Ἄρεως παρὼν τῷ τόπῳ ἐὰν οἰκοδεσποτήσῃ τὸν κλῆρον ἢ τὸν ὡροσκόπον, προσκοπτικοὺς ζημιωτικοὺς ἐμποδιζομένους. τινὲς δὲ καὶ αἰχμάλωτοι γίνονται καὶ πάλιν ἀποκαθίστανται. ἐὰν δὲ τὸν κλῆρον τῆς τύχης ἐν αὐτῷ τῷ ζῳδίῳ παρόντα κληρώσηται ὑπάρχων ἐν ἰδίαις μοίραις ἢ ζῳδίοις, δεσμοφύλακες γίνονται εἰς κάρκαρον τὸν βίον πορίζοντες ἢ ἐν δεσμωτηρίοις διαζῶντες. ἐὰν δὲ ὁ Ἥλιος ἐπιπαρῇ τῷ ζῳδίῳ, ἐὰν μὲν οἰκοδεσποτῶν τὸν κλῆρον ἢ τὸν ὡροσκόπον ἰδίῳ οἴκῳ ἢ Κρόνου τόποις, ὁ γεννώμενος ἀπολεῖ τὴν ὅρασιν ἐν τοῖς τοῦ Ἄρεως χρόνοις καὶ στερηθήσεται τῶν πατρικῶν καὶ ἐπαιτήσει. ἐὰν δὲ ὁ τῆς Ἀφροδίτης ἐπιπαρῇ τῷ ζῳδίῳ καὶ οἰκοδεσποτήσῃ τὸν κλῆρον ἢ τὸν ὡροσκόπον, δημοσίας καὶ ἐπονειδίστους ἐργασίας ἀποτελέσει, ἐάνπερ ἐπ' ἀνατολῆς ἑῴας τύχῃ· εἰ δὲ ὁ τοῦ Ἑρμοῦ ἐπιπαρῇ τῷ ζῳδίῳ, ἐὰν μὲν ὑπὸ τὰς αὐγὰς τοῦ Ἡλίου τύχῃ, ἀνοήτους καὶ ἀγραμμάτους ἀποτελεῖ· ἐὰν δὲ καὶ κύριος τῆς δευτέρας τύχης γένηται, ὃ προσαγορεύεται δαίμων, κωφοὺς ἢ ἀφώνους ποιεῖ· ἐὰν δὲ ἀνατολικὸς ᾖ, περίεργοι γίνονται ἃ οὐκ ἔμαθον ἐπιχειροῦντες, ἐπιτευκτικοὶ δὲ ἐν τοῖς μαθήμασιν. εἰ δὲ ἡ Σελήνη παρῇ ἐπὶ τοῦ ζῳδίου Κρόνου ὡροσκοποῦντος, τὸ ἐναλλὰξ γίνεται· ὑποχυθήσονται τὴν ὅρασιν ἢ ἀπογλαυκωθήσονται τοὺς ὀφθαλμούς.

<ιε'.> Τόπων ὀνομασίαι ἐννέα.

Ὁ μὲν θεὸς σημαίνει περὶ πατρός, ἡ δὲ θεὰ περὶ μητρός, ἀγαθὸς δαίμων περὶ τέκνων, ἀγαθὴ τύχη περὶ γάμου, κακὸς δαίμων περὶ παθῶν, κακὴ τύχη περὶ σινῶν, κλῆρος τύχης καὶ ὡροσκόπος περὶ ζωῆς καὶ βίου, ὁ δαίμων περὶ φρονήσεως, μεσουράνημα περὶ πράξεως, ἔρως περὶ ἐπιθυμίας, ἀνάγκη περὶ ἐχθρῶν.

In capite insequenti notabilis est ordo pravus coniunctionum; nam initium tolerabile, Solis Lunaeque coniunctiones cum quinque stellis (p. 62, 4 - 65, 15) sequuntur tres Veneris radiationes, tres Saturni, una Iovis. Praeterea in Solis cum ceteris coniunctionibus de Sole et Marte se aspicientibus tribus agitur locis, de Sole et Iove et de Sole et Saturno binis, de Sole et Venere uno; Veneris quod hexagona tantum radiatio apparet et Mercurii quod nulla mentio, recte factum (cf. *Catal.*, II, 179, 15). In sequentibus permultae radiationes negleguntur, nulla

1 ἐπιχρόνιον ἱκ. S, ἐπὶ χρόνων ἱκανῶν M. πληρώσουσι M. 3 fort. del. ἐκ. καταληφθῆναι S. 4 εὐτυχῆ M. 5 οἰκοδεσποτήσει S. 6 προκοπτικοὺς MS. 9 δημοφύλακες S. κακὸν MS. 12 ἀποτελεῖ S. 15 fort. <μάλιστα> ἐάνπερ. 18 nempe ὅς. 21 ἐπιπαρῇ M. 24 inscr. om. M. ὀνόμασιν S.

ratione delectus habiti apparente; nam consentaneum erat post Solem Lunamque Saturnum Iovem Martem Venerem Mercurium hoc ordine se excipere. Eaedem res similiter tractantur ab Anubione et Firmico, qui ab eo pendet; at hic ordo accuratus, qui ab initio talis fuisse videtur, ut primo trigona omnia, deinde tetragona, tum diametra enumerarentur, *Catal.*, II, 160. Etiam in copiis Manethonianis nonnulla similia inveniuntur. Redeunt igitur haec omnia ad vetustam doctrinam, id quod etiam ex apotelesmatum natura concludi potest ad aevum Alexandrinum spectantium; et cum κάτοχοι ἐν ἱερεῖς (p. 65, 34, cf. 56, 33; 58, 7) in Aegypto potissimum fuerint (cf. *Revillout rev. Egypt.*, I, 160; II, 143 v. Preuschen, *Mönchtum und Serapiskult*; Gruppe, *Mythologie*, 1655), ad Nechepsonem et Petosiridem haec redire haud dissimile est veri, praesertim cum ipsa eorum verba adferantur p. 71, 9. Nec vereor statuere Valentis dispositionem perturbatam ex ipso Petosiride desumptam esse, egregium Anubionis ordinem postea demum constitutum esse, fort. ab Anubione ipso.

<ις'.> Τριγωνικαὶ ἀστέρων διακρίσεις πρὸς εὐδαιμονίαν ἢ δυστυχίαν· τριγωνικὰ καὶ ἑξαγωνικὰ καὶ διαμετρικὰ σχήματα.

Ζεὺς Ἡλίῳ τρίγωνος μεγάλους καὶ ἐπιδόξους σημαίνει. εἰ δὲ ὡροσκοπεῖ ὁ Ἥλιος, καὶ τῷ πατρὶ καὶ τῇ γενέσει· εἰ δὲ ἐπίκεντρος ᾖ, τῷ πατρί· ἔνδοξον γὰρ σημαίνει, ἔλαττον δὲ παρὰ τὸ πρότερον· πρὸς δὲ τὴν γένεσιν οὐδὲν ἀξιόλογον, εἰ μὴ ἄλλη τις αἰτία διορθώσῃ· εἰ δὲ ὁ Κρόνος ἐκ τοῦ εὐωνύμου τρίγωνος Ἡλίῳ ὡροσκοποῦντι γίνεται, πολὺ μείζονα τὰ τῆς δόξης· πολυκτήμονες γὰρ καὶ πολυγέωργοι καὶ πλούσιοι γίνονται. ἐὰν δὲ ὁ τοῦ Ἄρεως συμπροσγένηται τῷ τοῦ Διός, καὶ τυράννους δηλοῖ τὸ σχῆμα· μάλιστα τοῦ Ἡλίου ὡροσκοποῦντος πολλῶν χωρῶν καὶ στρατοπέδων ἐπικρατοῦσιν. ἐὰν δὲ ὁ τοῦ Κρόνου, μέγας μὲν ὁ πατὴρ καὶ ὅπλων καὶ στρατοπέδων ἄρχων, ἐάνπερ καὶ τὰ λοιπὰ συνεργῇ πρὸς τὸ μεγαλεῖον, οὐ μέντοι τύραννος οὐδὲ πολεμικὸς καὶ ἐπίφοβος. εἰ δὲ Ἄρης τὸν Ἥλιον διαμετρήσῃ τοῦ Διὸς καὶ τοῦ Κρόνου δεξιῶν τῷ Ἡλίῳ τριγώνων ὄντων, ὁ γεννώμενος ἐν [ταῖς] μεγαλειότησι καὶ δόξαις ὄχλων γενήσεται. εἰ δὲ ὁ τοῦ Κρόνου διαμετρήσῃ τὸν Ἥλιον καθὰ προείρηται, ὑπὸ ἰδίων καὶ φίλων ἐναντιωθήσεται, ἀλλὰ περικρατήσει καὶ ὑποτάξει. εἰ δὲ ὁ τοῦ Κρόνου καὶ ὁ τοῦ Ἄρεως τρίγωνοι γένωνται τῷ Ἡλίῳ τοῦ Διὸς διαμετροῦντος ἐν ἰδίαις μοίραις ἢ ζῳδίοις, ἀρχοντικὸν καὶ εὐσχήμονα ποιεῖ. εἰ δὲ ἐπὶ ἑξαγώνου τύχῃ τὸ τοιοῦτον σχῆμα, ἐλάττονά ἐστιν.

1-3 inscr. om. **M**. 1 ∇ ἀστέρων S possis etiam τριγώνων. 3 διαμετρηκά S. 5 fort. γενέσει <καλόν>. ᾖ] ἢ S, om. **M**. 6-7 ἔλαττον - ἀξιόλογον om. S. 8-9 πολὺ μ. τ. τ. δόξης **M**] πολυμαθής S. 10 συμπροσγίνηται S. 11 μάλιστα ante δηλοῖ **M**. 12 δὲ καὶ ὁ S. 15 ☉ S] ♃ **M**. διαμετρήσει S. 16 an <ἐκ> δεξιῶν? 17 γεννήσεται S, ἡγήσεται **M**, fort. recte. 17-18 διαμετρήσει S. 20 γίνονται S. 22 τύχει S. τοιοῦτο **M**.

'Αφροδίτη Ἡλίῳ ἑξάγωνος ἑῴα οὖσα ἐπαφρόδιτον καὶ ἐπίσημον τὸν πατέρα καὶ τὸν γεννώμενον σημαίνει· εἰ δὲ ἐπ' ἀγαθοῦ δαίμονος ἢ ἐπ' ἀγαθῆς τύχης τὸ σχῆμα γένηται, ὑπὸ γυναικὸς πορφύρας καὶ χρυσοφορίας καταξιωθήσεται.

Κρόνος Ἡλίῳ τετράγωνος εὐώνυμος τὸν πατρικὸν βίον βλάπτει ἔτι ζῶντος τοῦ πατρός, μάλιστα ἐν θηλυκοῖς ζῳδίοις ἢ ἐναντίαις μοίραις. εἰ δὲ διάμετρος, πολὺ χείρων· σίνεσι καὶ πάθεσι περιβάλλει καὶ ὑπὸ οἰκείων καὶ παρασίτων προδοθήσεται. εἰ δὲ δεξιός, ἐλάττονα γίνεται· εἰ δὲ ἐν τῷ ὡροσκόπῳ ἢ τῷ μεσουρανήματι γένοιτο, τὰ ἐναντιώματα ἥττονα ἔσται. Ἄρης Ἡλίῳ τετράγωνος, κακὸν τῷ πατρὶ καὶ τῷ γεννηθέντι· σίνη γὰρ καὶ πάθη ἀποτελεῖ· ἐὰν δὲ διάμετρος ᾖ ἐν κεκακωμένοις ᾗ μοίραις, καὶ περὶ τὰ ἄρθρα τὰ σίνη ἀποτελεῖ. ἐὰν δὲ ἐπὶ τοῦ δεξιοῦ τετραγώνου, ὅ ἐστι δέκατον, ὁ Ἄρης ᾖ, χεῖρον γενήσεται· πρὸς γὰρ καὶ ταῖς διανοίαις ἐκστήσονται. Ζεὺς Ἡλίῳ τετράγωνος ἐν ταῖς ἀδόξοις μοίραις ἢ ζῳδίοις ἀηδὴς καθέστηκε· καθαιρεῖται γὰρ τὸ ἀγαθὸν τοῦ ἀστέρος καὶ εἰς τὸ ἐναντίον ἐκπίπτει. ἐπὶ δὲ τῶν ἐνδόξων ζῳδίων ἢ μοιρῶν μάλιστα ἐπίκεντρος ἔνδοξος περικτητικός. διάμετρος δὲ Ἡλίῳ τυχὼν ἀηδέστερος· οὐ μόνον γὰρ σβέννυται τὰ ὑπ' αὐτοῦ ἀγαθά, ἀλλ' ἐξ ὑπερεχόντων ὀργὰς καὶ ὄχλων ἐναντιώσεις ἕξουσιν. αἱ οὖν κατ' ἰσόμοιρον στάσεις τῶν τετραγώνων καὶ διαμέτρων χαλεπαί.

Ἄρης Ἡλίῳ τρίγωνος ἐπὶ νυκτερινῆς γενέσεως μάλιστα ἐν θηλυκοῖς ζῳδίοις δεξιὸς ὢν μεγάλους ἐπιδόξους σημαίνει ζωῆς καὶ θανάτου κυριεύοντας, ἐάνπερ καὶ τὰ λοιπὰ σχήματα τῇ γενέσει ὁμογνωμονήσῃ· πρὸς ἐπὶ τούτοις δὲ καὶ Ζεὺς δεξιῷ τριγώνῳ μεγάλους δυνάστας πόλεων προστάτας καὶ ὄχλων ἡγουμένους ἀποτελεῖ. ἐὰν δὲ θηλυκὴ ᾖ ἡ γένεσις καὶ Ἀφροδίτη συμπαρῇ, βασιλεύσει καὶ πολλῶν χωρῶν ἐπικρατήσει, γίνονται δὲ εὐεργετικαὶ ἀνυπότακτοι. εἰ δὲ καὶ ὁ μὲν ἰδιοτοπεῖ καὶ ὁ ἕτερος ἐν ἰδίῳ τριγώνῳ τύχῃ, καὶ θηλυκαῖς καὶ ἀρσενικαῖς γενέσεσιν οὐδὲν ἐναντία· γίνονται γὰρ βασιλεῖς βασιλέων, ἐάνπερ ὁ μὲν οἰκοδεσποτῇ ὁ δὲ συνοικοδεσποτῇ ἢ καὶ δεσπόζῃ τῆς γενέσεως τοῦ τε κλήρου τῆς τύχης ἢ τῆς ὥρας κυριεύσωσιν. εἰ δὲ ἐν ἀρρενικοῖς ζῳδίοις εἶεν, ἐλάττονα καὶ πολὺ χείρονα τὰ ἀποτελέσματα γενήσεται· ἑξάγωνοι δὲ ἀτονώτεροι πρὸς τὸ ἀγαθὸν καὶ πρὸς τὸ ἐναντίον.

Εἰ δὲ τετράγωνος Ἄρης Σελήνῃ γένοιτο ἐπὶ τὸ εὐώνυμον μέρος ἐν ἀλλοτρίαις μοίραις ἢ ζῳδίοις <ἐφ'> ἡμερινῆς γενέσεως, πολλῶν ἐναντιωμάτων αἴτιος τῇ τε μητρὶ θλίψεις καὶ ταπεινώσεις ἀποτελεῖ καὶ ἐν

1 ἑῴα οὖσα M | ἑοῦσα S. 2 καὶ om. S. δαίμονος om. S. 3 τὸ σχῆμα om. S. 5 cf. Anub., 206, 25. 9 γίνοιτο S. τὰ om. M. 11 ᾖ, ἐν κ. ζῳδίοις ἢ μ. M. 12 ἢ M S. δὲ καὶ ἐπὶ M. 13 χείρων M. 16 τοὐναντίον M. 21 Simillima Firmic., VI, f. 68v b. ☉ S] ☾ M. τετράγωνος M[a]. 22 δεξιῶν μεγ. M. 25 ᾖ M] ἦν S. 27 εὐεργετικοὶ S. 28-29 ἀρρεν. κ. θηλ. M, θηλυκαὶ S. 29 nempe οὐκ ἐναντίοι. 30 συνοικοδεσποτεῖ el δεσπόζει S. 33 ἀπονώτεροι M (S?). 35 γε (aut τε) γενέσεως S. 36 cf. Anub., 208, 32.

Ἑρμῆς Δία τριγωνίζων μεγάλων πράξεων δηλωτικός, μάλιστα ἀνατολικὸς ἑῷος· τῶν γὰρ βασιλέων ἢ πόλεων ἢ ὄχλων γραμματεῖς ἢ διοικηταὶ γίνονται. διόλου δὲ ἐὰν τύχῃ ἐν ταῖς πράξεσιν ὁ τοῦ Ἑρμοῦ καὶ παρέχῃ τὸ πράσσειν, δόξαν καὶ περίκτησιν βίου ποιήσονται, μάλιστα ἐν τοῖς χρηματίζουσι ζῳδίοις. εἰ δὲ ἑξάγωνοι, τὰ αὐτὰ μὲν ἀποτελοῦσιν, ἐλάττονα δέ. ἐὰν δὲ τετράγωνοι ὦσι καλῶς σχηματιζόμενοι, ὅσα μὲν εἰς περίκτησιν καὶ δόξαν ἀποτελοῦσι, μετὰ φθόνου δέ· κακῶς δὲ σχηματισθέντες σὺν τῷ φθόνῳ καὶ συντριβὰς καὶ ἐξ ὑπερεχόντων ἐναντιώσεις. εἰ δὲ διάμετροι τύχωσι, μείζονας τὰς διαβολὰς ποιοῦσι καὶ ἀνώμαλοι καὶ ἐναντιόβουλοι γίνονται· εἰ δὲ ἐν τῷ κακοδαιμονήματι διάμετροι τύχωσιν, ὑπὸ μεγάλης κεφαλῆς καταδυναστευθήσονται καὶ ὄχλων ἐπαναστάσεις ἕξουσι, σπανάδελφοι δέ τι καὶ ἔχθρας πρὸς ἀδελφοὺς ἢ τέκνα ἢ συγγενεῖς ἰσχάνουσιν.

Ἑρμῆς Ἄρεϊ τρίγωνος ἢ δεξιὸς ἑξάγωνος ποικίλων πράξεων δηλωτικός· ποτὲ μὲν γραμματεῖς ποτὲ δὲ ἔμποροι ἑρμηνεῖς γεωμέτραι νομικοὶ φιλόσοφοι, πάντες δὲ κακότροποι δριμεῖς συνετοὶ ψεῦσται· ποιεῖ δὲ καὶ ὁπλοδιδακτὰς ἢ καὶ ὁπλοπαίκτας. εἰ δὲ καὶ ὁ τοῦ Διὸς συσχηματισθῇ μάλιστα ἐν χρηματιστικοῖς τόποις, ποιεῖ στρατιωτικούς, πολλάκις δὲ ὀρνεοσκόπους θύτας προγινώσκοντας τὸ μέλλον περισσότερον ἀνθρώπων νοοῦντας. τετράγωνος δὲ ποικιλωτέρους τῶν προειρημένων ποιήσει· ποιεῖ γὰρ μάγους πλάνους θύτας ἰατροὺς ἀστρολόγους ὀχλαγωγοὺς τραπεζίτας παραχαρακτὰς ὁμοιογράφους διά τε πανουργίας καὶ ἐπιθέσεως καὶ δόλου τὰς πράξεις διοικοῦντας· γίνονται δὲ καὶ κλῶπες καὶ ἐπίορκοι καὶ ἀσεβεῖς καὶ ἐπίβουλοι τῶν ὁμοίων αἰσχροκερδεῖς ἀποστερηταὶ ἁπλῶς οὐδὲν ἔχοντες ἐλεύθερον, ὅθεν κακοῖς πλείστοις περικυλίονται καὶ ἐπαγωγῆς ἢ φυγαδείας ἢ συνοχῆς πεῖραν λαμβάνουσι. μάλιστα δὲ ἐν τοῖς ἀχρηματίστοις ζῳδίοις ἢ μοίραις τυχόντες χείρονα ἀποτελοῦσιν· ἐν δὲ τῷ ὑπὸ γῆν ἢ δύνοντι ἀμφότεροι ἢ ἐὰν ὃς μὲν δύνῃ, ὃς δὲ ὑπὸ γῆν τύχῃ, φόνους ἐπιτελοῦσιν ἢ συνίστορες ἔσονται ἀπὸ λῃστείας τὸν βίον διάγοντες· ἔνιοι δὲ καὶ ἀδελφοκτονοῦσι καὶ βιαία ἔσται ἡ ἐσχάτη αὐτῶν τελευτή, μάλιστα ἐὰν καὶ τὴν Σελήνην προσλάβωνται· βιαιοθάνατοι γὰρ καὶ ἄταφοι γίνονται. ἐὰν μὲν οὖν ἐν τετράποσι γένωνται, ἀπὸ θηρίων ἁλίσκονται, ἐν δὲ

1 Cf. Firmic. VI, f. 68[v] b, Anub. 205, 13. ζ Δ' (i. e. Διὶ τρίγωνος) M. 2 fors. ἑῷος ὢν· τότε γάρ. 5 ἑξάγωνον S. μὲν iterat M. 6 cf. Anub. 211, 13. 7 μὲν om. M. 8 φθόνῳ δὲ καὶ S. 10 καὶ ἀν. δὲ καὶ M. 10-11 κακοδαίμονι νήματι S, possis κακ. <ἢ μεσουρα>νήματι. 11 ὑπὸ S] μειζο (*sic*) M. 12 τι] nempe ἤ. 14 ἢ δ. ἢ ἑξ. S et possis etiam τρίγ. δεξ. ἢ ἑξ. 15 εὔποροι M. 16 νομικοὶ om. M. 17 καὶ post ἢ om. M. ὁπλοπέκτας S. 20 cf. Anub. 208, 24. 21 γὰρ M] καὶ S. θύτας πλάνους M. 22 τραπεζήτας S. 23 διοικοῦνται S. 24 καὶ primum om. M. 26 πλείστοις om. in lac. M. περικλείονται M. nempe ἀπαγωγῆς. 27 πεῖραν λαμβάνουσι] περιλαμβάνουσι MS. 28 ἢ prius M] καὶ S. 29 ἢ om. M. ἐὰν ὃς] ὃς ἐὰν MS. 30 καὶ ἀπὸ S. 31 ἔστιν S. ἂν M. 32 προσλάβονται S. 33 μὲν om. S. ἀναλίσκονται S. ἐν] ἐὰν MS.

ἀνθρωποειδέσιν ὑπὸ λῃστῶν, ἐν δὲ τοῖς στερεοῖς ἀπὸ ὕψους ἢ συμπτώσεως, ἐν δὲ τοῖς διαπύροις ἀπὸ πυρός, ἐν δὲ τοῖς καθύγροις ναυαγίοις, ἐν δὲ τοῖς τροπικοῖς μονομαχοῦντες· ταῦτα δὲ καὶ ἐναλλάξαντες καὶ ὁμόσε τυχόντες ποιοῦσιν. ἐὰν δὲ ὃς μὲν οἰκοδεσποτῇ, ὃς δὲ δεσπόζῃ <καὶ> Ἑρμῆς ἑξάγωνος Ἀφροδίτῃ <ἣ> ἢ σὺν αὐτῇ, τοὺς γεννωμένους ποιοῦσι συνετοὺς ἐπιχαρεῖς φιλομούσους φιλοπαίκτας σκώπτας, ἄλλοτε ποιητὰς μελογράφους φωνασκοὺς ὑποκριτὰς μίμων κωμῳδίας, ἐνίοτε δὲ καὶ ἀθλητὰς ἢ ἱερονίκας. ἔτι δὲ πράξεων ποικίλων εἰσὶ περιποιητικοί. εἰ δὲ ἡ γένεσις θηλυκὴ ᾖ, μουσικοὶ γίνονται πολύκοιτοι τρόπον ἑταιρῶν διάγουσαι φιλόλογοι φωνασκοί.

Ἀφροδίτη Κρόνῳ τρίγωνος αὐστηροὺς ἀγελάστους ἐπισκύνιον ἔχοντας, πρὸς δὲ τὰ ἀφροδίσια σκληροτέρους οὐ πολυκοίτους, ἀναξίαις μέντοι γε ἢ ἀργυρωνήτοις ἢ πρεσβυτέραις ἐπιμίσγονται· οἱ δὲ καὶ ταῖς τῶν ἀδελφῶν ἢ ἐπιστατῶν ἢ ταῖς τῶν πατέρων ἢ καὶ μητρυιαῖς τὰς ἐπιμιξίας ποιοῦνται· αἱ δὲ γυναῖκες αὐτῶν λαθραιόκοιτοι καὶ ἐπιμιγνύμεναι τοῖς τῶν ἀνδρῶν δούλοις ἢ φίλοις. νοεῖν μέντοι δεῖ ὡς παρὰ τὰς τῶν ζῳδίων καὶ μοιρῶν ἐναλλαγὰς πολλή τις διαφορὰ γίνεται· τὸ γὰρ αὐτὸ σχῆμα καὶ ἐὰν ὁμοῦ τύχωσι ῥυπαρωτέρους μὲν ἢ καὶ ἐπικοιμωμένους καὶ ἄλλοτε μὲν πολυκοίτους, πολλάκις δὲ μηδὲ ἀφροδισιάζοντας ἀλλὰ μόνον ἡδομένους. τετράγωνοι δὲ πολλῷ χείρονες· τὰ μὲν γὰρ ἐπὶ τοῦ τριγώνου εἰρημένα λόγια ἐπὶ τὸ χεῖρον τρέπουσιν, ἀλλὰ καὶ ἀπὸ πορνείας ἄγονται γυναῖκας· γίνονται δὲ καὶ ἀνεπιχαρεῖς καὶ ἀσελγεῖς. κάκιον δὲ γίνεται, ἐὰν ἐπὶ τὸ δυτικὸν ἢ ὑπόγειον γίνηται τὸ σχῆμα· παροξύνεται γὰρ ἐπὶ τὸ χεῖρον τὰ εἰρημένα μάλιστα καὶ τοῦ Ἄρεως συνόντος ἢ τετραγωνίζοντος ἢ διαμετροῦντος· καὶ γὰρ αἰσχροποιοῦσι καὶ διαβάλλονται ὑπὸ ὄχλων, πολλάκις δὲ διὰ ταῦτα περιβοησίας ἢ ἀπαγωγῶν τυχόντες κακῷ θανάτῳ περιτρέπουσιν. ἐὰν δὲ καὶ ἐν λατρώδεσι ζῳδίοις ἢ μοίραις γένωνται, πάθεσιν ἀκαθάρτοις καὶ παρὰ φύσιν ἡδοναῖς χρήσονται. ἑξάγωνοι δὲ πρὸς ἀλλήλους τὴν αὐτὴν ἀποτελεσματογραφίαν τοῖς τριγώνοις ἔχουσιν, ἀμυδρὰν δὲ καὶ ἀσθενῆ. ἑῷοι μὲν ὄντες καὶ ἐν τῷ ἀπηλιώτῃ τὰς γυναῖκας ἀρρενοῦσιν οὐ μόνον ταῖς πράξεσιν, ἀλλὰ καὶ σὺν γυναιξὶ κοιμώμεναι

1 ὕψους M] ἤθους S. 3 i. e. fines suos vel domos inter se mutantes. Cf. Maneth., IV, 181; VI, 670, infra 69, 17. 5 δεσπόζει S. 6 φιλοπέκτας S. Cf. Maneth., IV, 448. 7 σκόπας S, σκώπτρας M. μεγαλογράφους MS. 8 nempe κωμωδούς. δὲ καὶ om. S. 9 ποιητικοί M. ἦν S. 9-10 πολύκοινοι M. 10 τρόπων ἑτέρων S. 11 cf. Anub., 204, 26. ἐπισκήνιον S. 12 οὐ M] καὶ S. πολυκοίνους MS[b]. 13 πρεσβυτέροις S. 14 ἢ καὶ ταῖς τῶν M. 16 ἐπιγνύμεναι M. ταῖς M[a]. μέντοι γε M. 17 ζῳδίων μοίρας μόνον ἐναλλαγάς M. 19 nempe ἐπικοινουμένους. καὶ alterum om. M. πολυκοίνους M, πολυκοίνα S? μηδὲ S] καὶ μὴ M. 13-14 ἐὰν - γίνηται om. M. 14 παροξύνονται M. τὸ om. M. 17 ἐπαγωγῶν S, διαγωγῆς M. nempe περιπίπτουσιν aut περιτρέπονται. 18 γίνονται M[a]. 19 ἑξάγωνος S. 20 τελεσματογραφίαν M. 22 ταῖς om. M. σὺν om. M. Cf. Maneth., IV, 358.

Ἑρμῆς Δία τριγωνίζων μεγάλων πράξεων δηλωτικός, μάλιστα ἀνατολικὸς ἑῷος· τῶν γὰρ βασιλέων ἢ πόλεων ἢ ὄχλων γραμματεῖς ἢ διοικηταὶ γίνονται. διόλου δὲ ἐὰν τύχῃ ἐν ταῖς πράξεσιν ὁ τοῦ Ἑρμοῦ καὶ παρέχῃ τὸ πράσσειν, δόξαν καὶ περίκτησιν βίου ποιήσονται, μάλιστα ἐν τοῖς χρηματίζουσι ζῳδίοις. εἰ δὲ ἑξάγωνοι, τὰ αὐτὰ μὲν ἀποτελοῦσιν, ἐλάττονα δέ. ἐὰν δὲ τετράγωνοι ὦσι καλῶς σχηματιζόμενοι, ὅσα μὲν εἰς περίκτησιν καὶ δόξαν ἀποτελοῦσι, μετὰ φθόνου δέ· κακῶς δὲ σχηματισθέντες σὺν τῷ φθόνῳ καὶ συντριβὰς καὶ ἐξ ὑπερεχόντων ἐναντιώσεις. εἰ δὲ διάμετροι τύχωσι, μείζονας τὰς διαβολὰς ποιοῦσι καὶ ἀνώμαλοι καὶ ἐναντιόβουλοι γίνονται· εἰ δὲ ἐν τῷ κακοδαιμονήματι διάμετροι τύχωσιν, ὑπὸ μεγάλης κεφαλῆς καταδυναστευθήσονται καὶ ὄχλων ἐπαναστάσεις ἕξουσι, σπανάδελφοι δέ τι καὶ ἔχθρας πρὸς ἀδελφοὺς ἢ τέκνα ἢ συγγενεῖς ἰσχάνουσιν.

Ἑρμῆς Ἄρεϊ τρίγωνος ἢ δεξιὸς ἑξάγωνος ποικίλων πράξεων δηλωτικός· ποτὲ μὲν γραμματεῖς ποτὲ δὲ ἔμποροι ἑρμηνεῖς γεωμέτραι νομικοὶ φιλόσοφοι, πάντες δὲ κακότροποι δριμεῖς συνετοὶ ψεῦσται· ποιεῖ δὲ καὶ ὁπλοδιδακτὰς ἢ καὶ ὁπλοπαίκτας. εἰ δὲ καὶ ὁ τοῦ Διὸς συσχηματισθῇ μάλιστα ἐν χρηματιστικοῖς τόποις, ποιεῖ στρατιωτικούς, πολλάκις δὲ ὀρνεοσκόπους θύτας προγινώσκοντας τὸ μέλλον περισσότερον ἀνθρώπων νοοῦντας. τετράγωνος δὲ ποικιλωτέρους τῶν προειρημένων ποιήσει· ποιεῖ γὰρ μάγους πλάνους θύτας ἰατροὺς ἀστρολόγους ὀχλαγωγοὺς τραπεζίτας παραχαρακτὰς ὁμοιογράφους διά τε πανουργίας καὶ ἐπιθέσεως καὶ δόλου τὰς πράξεις διοικοῦντας· γίνονται δὲ καὶ κλῶπες καὶ ἐπίορκοι καὶ ἀσεβεῖς καὶ ἐπίβουλοι τῶν ὁμοίων αἰσχροκερδεῖς ἀποστερηταὶ ἁπλῶς οὐδὲν ἔχοντες ἐλεύθερον, ὅθεν κακοῖς πλείστοις περικυλίονται καὶ ἐπαγωγῆς ἢ φυγαδείας ἢ συνοχῆς πεῖραν λαμβάνουσι. μάλιστα δὲ ἐν τοῖς ἀχρηματίστοις ζῳδίοις ἢ μοίραις τυχόντες χείρονα ἀποτελοῦσιν· ἐν δὲ τῷ ὑπὸ γῆν ἢ δύνοντι ἀμφότεροι ἢ ἐὰν ὃς μὲν δύνῃ, ὃς δὲ ὑπὸ γῆν τύχῃ, φόνους ἐπιτελοῦσιν ἢ συνίστορες ἔσονται ἀπὸ λῃστείας τὸν βίον διάγοντες· ἔνιοι δὲ καὶ ἀδελφοκτονοῦσι καὶ βιαία ἔσται ἡ ἐσχάτη αὐτῶν τελευτή, μάλιστα ἐὰν καὶ τὴν Σελήνην προσλάβωνται· βιαιοθάνατοι γὰρ καὶ ἄταφοι γίνονται. ἐὰν μὲν οὖν ἐν τετράποσι γένωνται, ἀπὸ θηρίων ἁλίσκονται, ἐν δὲ

1 Cf. Firmic. VI, f. 68ʳ b, Anub. 205, 13. Ζ Δ' (i. e. Διὶ τρίγωνος) M. 2 fors. ἑῷος ὤν· τότε γάρ. 5 ἑξάγωνον S. μὲν iterat M. 6 cf. Anub. 211, 13. 7 μὲν om. M. 8 φθόνῳ δὲ καὶ S. 10 καὶ ἀν. δὲ καὶ M. 10-11 κακοδαίμονι νήματι S, possis κακ. <ἢ μεσουρα>νήματι. 11 ὑπὸ S] μειζο (*sic*) M. 12 τι] nempe ἤ. 14 ἢ δ. ἢ ἑξ. S et possis etiam τρίγ. δεξ. ἢ ἑξ. 15 εὔποροι M. 16 νομικοὶ om. M. 17 καὶ post ἢ om. M. ὁπλοπέκτας S. 20 cf. Anub. 208, 24. 21 γὰρ M] καὶ S. θύτας πλάνους M. 22 τραπεζήτας S. 23 διοικοῦνται S. 24 καὶ primum om. M. 26 πλείστοις om. in lac. M. περικλείονται M. nempe ἀπαγωγῆς. 27 πεῖραν λαμβάνουσι] περιλαμβάνουσι MS. 28 ἢ prius M] καὶ S. 29 ἢ om. M. ἐὰν ὃς] ὃς ἐὰν MS. 30 καὶ ἀπὸ S. 31 ἔστιν S. ἂν M. 32 προσλάβονται S. 33 μὲν om. S. ἀναλίσκονται S. ἐν] ἐὰν MS.

ἀνθρωποειδέσιν ὑπὸ λῃστῶν, ἐν δὲ τοῖς στερεοῖς ἀπὸ ὕψους ἢ συμπτώσεως, ἐν δὲ τοῖς διαπύροις ἀπὸ πυρός, ἐν δὲ τοῖς καθύγροις ναυαγίοις, ἐν δὲ τοῖς τροπικοῖς μονομαχοῦντες· ταῦτα δὲ καὶ ἐναλλάξαντες καὶ ὁμόσε τυχόντες ποιοῦσιν. ἐὰν δὲ ὃς μὲν οἰκοδεσποτῇ, ὃς δὲ δεσπόζῃ <καὶ> Ἑρμῆς ἑξάγωνος Ἀφροδίτῃ <ᾖ> ἢ σὺν αὐτῇ, τοὺς γεννωμένους ποιοῦσι συνετοὺς ἐπιχαρεῖς φιλομούσους φιλοπαίκτας σκώπτας, ἄλλοτε ποιητὰς μελογράφους φωνασκοὺς ὑποκριτὰς μίμων κωμῳδίας, ἐνίοτε δὲ καὶ ἀθλητὰς ἢ ἱερονίκας. ἔτι δὲ πράξεων ποικίλων εἰσὶ περιποιητικοί. εἰ δὲ ἡ γένεσις θηλυκὴ ᾖ, μουσικοὶ γίνονται πολύκοιτοι τρόπον ἑταιρῶν διάγουσαι φιλόλογοι φωνασκοί.

Ἀφροδίτη Κρόνῳ τρίγωνος αὐστηροὺς ἀγελάστους ἐπισκύνιον ἔχοντας, πρὸς δὲ τὰ ἀφροδίσια σκληροτέρους οὐ πολυκοίτους, ἀναξίαις μέντοι γε ἢ ἀργυρωνήτοις ἢ πρεσβυτέραις ἐπιμίσγονται· οἱ δὲ καὶ ταῖς τῶν ἀδελφῶν ἢ ἐπιστατῶν ἢ ταῖς τῶν πατέρων ἢ καὶ μητρυιαῖς τὰς ἐπιμιξίας ποιοῦνται· αἱ δὲ γυναῖκες αὐτῶν λαθραιόκοιτοι καὶ ἐπιμιγνύμεναι τοῖς τῶν ἀνδρῶν δούλοις ἢ φίλοις. νοεῖν μέντοι δεῖ ὡς παρὰ τὰς τῶν ζῳδίων καὶ μοιρῶν ἐναλλαγὰς πολλή τις διαφορὰ γίνεται· τὸ γὰρ αὐτὸ σχῆμα καὶ ἐὰν ὁμοῦ τύχωσι ῥυπαρωτέρους μὲν ἢ καὶ ἐπικοιμωμένους καὶ ἄλλοτε μὲν πολυκοίτους, πολλάκις δὲ μηδὲ ἀφροδισιάζοντας ἀλλὰ μόνον ἡδομένους. τετράγωνοι δὲ πολλῷ χείρονες· τὰ μὲν γὰρ ἐπὶ τοῦ τριγώνου εἰρημένα λόγια ἐπὶ τὸ χεῖρον τρέπουσιν, ἀλλὰ καὶ ἀπὸ πορνείας ἄγονται γυναῖκας· γίνονται δὲ καὶ ἀνεπιχαρεῖς καὶ ἀσελγεῖς. κάκιον δὲ γίνεται, ἐὰν ἐπὶ τὸ δυτικὸν ἢ ὑπόγειον γίνηται τὸ σχῆμα· παροξύνεται γὰρ ἐπὶ τὸ χεῖρον τὰ εἰρημένα μάλιστα καὶ τοῦ Ἄρεως συνόντος ἢ τετραγωνίζοντος ἢ διαμετροῦντος· καὶ γὰρ αἰσχροποιοῦσι καὶ διαβάλλονται ὑπὸ ὄχλων, πολλάκις δὲ διὰ ταῦτα περιβοησίας ἢ ἀπαγωγῶν τυχόντες κακῷ θανάτῳ περιτρέπουσιν. ἐὰν δὲ καὶ ἐν λατρώδεσι ζῳδίοις ἢ μοίραις γένωνται, πάθεσιν ἀκαθάρτοις καὶ παρὰ φύσιν ἡδοναῖς χρήσονται. ἑξάγωνοι δὲ πρὸς ἀλλήλους τὴν αὐτὴν ἀποτελεσματογραφίαν τοῖς τριγώνοις ἔχουσιν, ἀμυδρὰν δὲ καὶ ἀσθενῆ. ἑῷοι μὲν ὄντες καὶ ἐν τῷ ἀπηλιώτῃ τὰς γυναῖκας ἀρρενοῦσιν οὐ μόνον ταῖς πράξεσιν, ἀλλὰ καὶ σὺν γυναιξὶ κοιμώμεναι

1 ὕψους M] ἤθους S. 3 i. e. fines suos vel domos inter se mutantes. Cf. Maneth., IV, 181; VI, 670, infra 69, 17. 5 δεσπόζει S. 6 φιλοπέκτας S. Cf. Maneth., IV, 448. 7 σκόπας S, σκώπτρας M. μεγαλογράφους MS. 8 nempe κωμωδούς. δὲ καὶ om. S. 9 ποιητικοί M. ἦν S. 9-10 πολύκοινοι M. 10 τρόπων ἑτέρων S. 11 cf. Anub., 204, 26. ἐπισκήνιον S. 12 οὐ M] καὶ S. πολυκοίνους M S[b]. 13 πρεσβυτέροις S. 14 ἢ καὶ ταῖς τῶν M. 16 ἐπιγνύμεναι M. ταῖς M[a]. μέντοι γε M. 17 ζῳδίων μοίρας μόνον ἐναλλαγάς M. 19 nempe ἐπικοινουμένους. καὶ alterum om. M. πολυκοίνους M, πολυκοίνα S? μηδὲ S] καὶ μὴ M. 13-14 ἐὰν - γίνηται om. M. 14 παροξύνονται M. τὸ om. M. 17 ἐπαγωγῶν S, διαγωγῆς M. nempe περιπίπτουσιν aut περιτρέπονται. 18 γίνονται M[a]. 19 ἑξάγωνος S. 20 τελεσματογραφίαν M. 22 ταῖς om. M. σὺν om. M. Cf. Maneth., IV, 358.

ἀνδρῶν ἔργα ἐπιτελοῦσιν· ἑσπέριοι δὲ θηλύνουσι τοὺς ἄνδρας· ἄλλοτε μὲν γὰρ ἀνδράσι συγκοιμώμενοι γυναικῶν ἔργα ἐπιτελοῦσι, πολλάκις δὲ καὶ τῶν γονίμων στερίσκονται.

Κρόνος Διὶ τρίγωνος ἀγαθὸν δηλοῖ τὸ σχῆμα· πολυκτήμονας ἐγγαίων κυρίους σιτικῶν καὶ ἀμπελικῶν σιτογεωργοὺς ἀποτελεῖ καὶ κτίστας οἰκοπέδων κωμῶν τε καὶ πόλεων, βαρεῖς δὲ καὶ ἐπισκύνιον ἔχοντας. ἐὰν δὲ ὑψηλότερον τὸ σχῆμα καὶ Ἄρης ἐπιθεωρήσῃ καὶ περὶ τὸν Ἥλιον καὶ Σελήνην, ποιοῦσι στρατοπεδάρχας ναυτικῶν τε καὶ πεζικῶν ἄρχοντας, ἐνίους δὲ καὶ ἐπὶ βασιλείας ἢ τυραννίδας ἄγουσιν. εἰ δὲ ἐν τῷ τοῦ Κρόνου τριγώνῳ τὸ σχῆμα τύχῃ μάλιστα τοῦ Διὸς ἐν τῷ Ὑδροχόῳ ἀποστρόφου τοῦ Ἄρεως ὄντος, ταπεινοψύχους δεδοικότας οὐ κατὰ πᾶν διαλάμποντας οὐδὲ ἀρχῆς τινος μετέχοντας, ἀνακεχωρηκότας δὲ καὶ ἀγροῖκον βίον αἱρουμένους. παρὰ δὲ τὰς τῶν ζῳδίων καὶ τῶν τόπων διαφορὰς καὶ αἱ διαλλαγαὶ τῶν πράξεων γίνονται. τὰ αὐτὰ δὲ καὶ ὁμόσε ἀποτελοῦσιν ἐν τοῖς χρηματίζουσι ζῳδίοις.

Κρόνος δὲ Διὶ τετράγωνος ἀμβλύνει τὸ ἀγαθὸν τοῦ ἀστέρος, μάλιστα εἰ καὶ δεξιώτερος καὶ ἀνατολικώτερος εἴη ὁ τοῦ Κρόνου· γίνονται γὰρ δυσπρόκοποι ζημιώδεις μετὰ κόπου καὶ πόνου περιποιούμενοι, βλάπτονται δὲ καὶ περὶ τέκνων· οἱ μὲν γὰρ ἄτεκνοι γίνονται, οἱ δὲ θάνατον τέκνων θεωροῦσι. βλαβερὸς δὲ αὐτοῖς καὶ ὁ περὶ ἀδελφῶν τόπος· τοὺς μὲν γὰρ εὐνουστέρους καὶ φιλοστοργοτέρους θανάτῳ χωρίζουσι, τοὺς δὲ λοιποὺς ἐχθροὺς καὶ ἐπισινεῖς ποιοῦσι· μάλιστα δὲ ἔξω τῶν κέντρων γενόμενοι. διάμετροι δὲ πρὸς ἀλλήλους χαλεπώτεροι μετὰ ταλαιπωρίας καὶ ἐναντιώσεως.

Κρόνος Ἀρεῖ τρίγωνος ἐπισφαλεῖς μὲν τῷ βίῳ καὶ ἀφερεπόνους σημαίνει, ταῖς δὲ πράξεσι νωθροὺς καὶ βιαίους ἀποτελεῖ, ἤτοι σπανοτέκνους ἢ τὰ γεννώμενα διαφθείροντας, ἔτι δὲ αἰχμαλωτίζονται ἢ σινοῦνται. τετράγωνοι δὲ πολὺ χείρονες· ἀναιροῦνται γὰρ τὰ τέκνα αὐτῶν, ὁμοίως δὲ καὶ τὰ τῶν ἀδελφῶν ἢ χωρίζονται ἀπ' ἀλλήλων ἔχθραις ἢ δυσεπανόρθωτοι γίνονται ἢ σινοῦνται· προκοπτικοὶ δὲ γίνονται ἐν ταῖς πράξεσιν ἁπάσαις, ἔχθραις μεγάλων ἀνδρῶν ἐπικυλιόμενοι καὶ ἐπιβουλευόμενοι, καὶ κινδύνοις μεγάλοις τὸ σχῆμα περιπίπτει· ἤτοι γὰρ λῃστῶν ἢ πολεμίων ἐπιδρομαῖς ἢ ναυαγίῳ περιπεσόντες βιαιοθανατοῦσιν, ἔνιοι δὲ καὶ αἰχμαλωσίαις περιτρέπονται, πολλάκις δὲ καὶ ἀπὸ πυρὸς ἢ σιδήρου κινδυνεύουσι. διάμετροι δὲ ἀλλήλων

1 ἀποτελοῦσιν M (item v. 2). 2 συγκειμώμεναι S. 5 ἐγγέων MS. ἀποτελοῦσι M. 6 δὲ M] τε S. ἐπισκήνιον S. 8 haec turbata; nolui καὶ πάρεστον ☉ καὶ ☾. τε om. S. 9 ἔνια S. καὶ om. S. ἢ S] καὶ M. 10 εἰ M] οἱ S. 11 τῷ Διὶ M. 12 ἀρχικῆς M. 14 καὶ τὰς τῶν τόπων S. 14-15 τὰ αὐτὰ δὲ M] ταῦτα S. 15 ὁμόγε M, ὁμῶδε S. διατελοῦσιν M. 16 similiter Firmic., VI, f. 69ʳa. 17 δεξιώτερος S. 20 αὐτῶν M. 21 φιλοστεργοτέρους S. 22 ἐπισ. καὶ ἐχθροὺς M. τῶν om. S. 23 γεννώμενοι S. 23-24 γαλαιπώτεροι (?) μετὰ λεπωρίας S. 27 ἔτι S] ἤτοι M. 28 δὲ om. S. γὰρ M] δὲ S. 29 ἢ S] καὶ M. 31 nempe περικυλ. 32 καὶ ἐπιβουλ. om. S. 35 καὶ om. S. nempe ἀλλήλοις.

γενόμενοι ἰσχυρότερα τὰ προειρημένα ἀποτελοῦσι· πρὸς ἐπὶ τούτοις γίνονται πένητες ἐπίμοχθοι ἀτυχεῖς, ἔνιοι δὲ νωτοφοροῦσιν ὡς κτήνη τάς τε ἐργασίας ἐπιμόχθους καὶ ἐπονειδίστους ἔχουσι. πολλὴ δὲ καὶ ἐπὶ τῶν σχημάτων τούτων διαφορὰ οὐ μόνον περὶ τὴν τῶν ζῳδίων καὶ μοιρῶν ἰδιότητα, ἀλλὰ καὶ περὶ τὰ μεγέθη τῶν γενέσεων. εἰ μὲν γὰρ ἀθεώρητον ὑπὸ Διὸς γένηται τὸ σχῆμα καὶ τῆς Σελήνης καὶ τοῦ Ἡλίου, ἄδοξον τὴν γένεσιν ποιήσουσιν· εἰ δὲ ἐπιθεωρήσουσι καὶ τύχῃ ὁ μὲν ἕτερος αὐτῶν δεσπότης ὁ δὲ ἕτερος συνοικοδεσπότης, καὶ τηνικαῦτα τὰ προειρημένα γίνεται. χαλεπώτερα δὲ ἐπὶ τοῦ θεοῦ καὶ τῆς θεᾶς, ἀμβλύτερα δὲ καὶ σκιᾷ παραπλήσια ἐπὶ τοῦ ἀγαθοῦ δαίμονος καὶ τῆς ἀγαθῆς τύχης, χείρονα δὲ καὶ ἀδιάλυτα ἐπὶ τοῦ κακοῦ δαίμονος καὶ τῆς κακῆς τύχης ἀργοῦ τε καὶ κατασκίου. ἐνδόξου δὲ τῆς γενέσεως οὔσης καὶ τυραννικῆς ***.

Ζεὺς Ἄρεϊ τρίγωνος ὁποτέρου αὐτῶν οἰκοδεσποτοῦντος τοῦ δὲ ἑτέρου δεσπόζοντος μεγάλους ἄνδρας σημαίνει καὶ ἡγεμονικοὺς καὶ τυραννικούς, μάλιστα ἐν ἰδίοις ζῳδίοις ἢ τριγώνοις ἢ μοίραις καὶ ἐπὶ τῶν χρηματιζόντων ζῳδίων ἢ ἐνηλλαχότες τὰ οἰκητήρια ἢ τὰ ὅρια, μάλιστα κυριεύοντες τοῦ κλήρου ἢ τοῦ οἰκοδεσπότου. μεγάλας γὰρ πράξεις ποιοῦσιν· ἤτοι γὰρ βασιλεῖς ἢ στρατοπέδων προήκοντας ναυτικῶν τε καὶ πεζικῶν, πόλεις ἀνορθοῦντας καὶ καταστρέφοντας· ἑξάγωνοι δὲ ἧττον σθένουσι, καθάπερ καὶ ἐπὶ τῶν προτέρων σχημάτων, ἐκτὸς εἰ μὴ ἐπίκεντροι γενόμενοι σημαίνουσι μὴ † κατόπτροις γενομένοις τὰ εἰρημένα κακὰ γίνεσθαι ἀλλὰ τοῖς ἄλλοις αἰτίοις· καὶ διά τε πολέμων πεζικῶν καὶ ναυμαχιῶν· γίνονται δὲ ἀρχιλῃσταὶ καὶ ἡγεμόνες βίαιοι βασανιστικοὶ ἡδέως κολάζοντες αἱμοπόται· εἰ δὲ ἀγοραίου γένεσις ᾖ οἷον νομικοῦ ἢ δικολόγου, γίνονται κατηγορικοί. εἰ δὲ καὶ τὸν τοῦ Ἑρμοῦ συλλάβῃ τῆς Σελήνης προτέρου Ἄρεως τὴν συναφὴν ἔχοντος, χαλεπώτερον τὸ σχῆμα γίνεται· γίνονται γὰρ οἱ τοιοῦτοι θηρίου παντὸς χείρονες.

Ζεὺς Ἄρεϊ τετράγωνος ἐὰν ὁ μὲν ὡροσκοπῇ ὁ δὲ μεσουρανῇ ἢ ἀγαθοδαιμονῇ, ἰσχυρόν· ἰσχυρότερον γὰρ τοῦ τριγώνου τὸ σχῆμα τοῦτο γενήσεται, μάλιστα εἰ μέσον τροπικὸν εἴη. ἐν δὲ τῷ αὐτῷ ζῳδίῳ

1 γεννώμενοι ἰσχυρώτεροι S. ποιοῦσι M. 2 ἐπίμ. πέν. M. 3 πολλοὶ S. 6-7 τοῦ ☉ καὶ τῆς ☾ M, 7 τύχοι S. 8 nempe οἰκοδεσπότης. 9 γίνεται om. S. 14 cf. Firmic., VI, f. 68^{r} a. τρίγ. ♀ ποτέρου S. 15 de differentia δεσπότου et οἰκοδεσπότου cf. Bouché-Leclercq, 238 sq. μεγάλας S. 16 τυρραννικούς M. 17 σχηματιζόντων M. 18 κυριεύοντος M. 19 προσήκοντας M, προστήκοντας Wdl. 20 ἀνορθοῦντες κ. καταστρέφοντες S. 22 γενόμενοι S] τυγχάνουσι M. συμβαίνει S. possis κακοτροπίᾳ τοῖς γ. aut κάτοπτα τοῖς γ. (quod si verum, αἰτίοις corruptum). 23 γινομένοις S. αἰτίοις non intellego; exciderunt-ne quaedam ante αἰτίοις? 24 δὲ καὶ M. 25 ἡδέως] ἀδεῶς Cumont. αἱμοπότε S^{a}, om. M. εἰ S] ἢ M. 26 ᾖ om. M. δικέργου S. 27 nempe πρὸς τὸν Ἄρεα τ. σ. ἐχούσης. 28 ἐπέχοντος S. 29 παντὸς θηρίου M. 30 ὁ μὲν om. M. 31 τοῦ △ M S^{b}] τούτων △ S^{a}. 33 τοῦτο om. S.

παρόντες ἰσχυρότερα σθένουσι· τῷ γὰρ τριγώνῳ τὰ αὐτὰ καὶ τετράγωνοι ἀποτελοῦσιν, ἀλλὰ μετὰ κινδύνων καὶ ἐναντιώσεων. διάμετροι δὲ ἐν τοῖς ἀχρηματίστοις ζῳδίοις χαλεπώτεροι γίνονται· ἐὰν γὰρ ἐπί τινα ἡγεμονίαν τὰ λοιπὰ τῆς γενέσεως πράγματα τὸν γεννώμενον ἄγῃ, μεγάλοις περιπεσεῖται κινδύνοις καὶ ὑπὸ ἰδίων καὶ ὑπὸ ἐχθρῶν προδοθήσεται. εἰ δὲ μήτε οἰκοδεσποτῇ ἀστὴρ μήτε δεσπόζῃ τις αὐτῶν ἢ συνοικοδεσποτῇ, μέτριος ἡ τῶν τριγώνων στάσις· γίνονται γὰρ στρατιωτικοί· εἰ δὲ καὶ ἐκ τῶν ἄλλων ἀστέρων μέγεθος ἀξιώματος ὑποφαίνηται συνεργὸν αὐτοῖς ἢ παρασυνεργὸν ἐχόντων δύναμιν, προσθήσουσι τῇ δόξῃ· ποιοῦσι γὰρ ἄρχοντας πόλεων καὶ ἐπὶ δικαστηρίου καθεζομένους· εἰ δὲ καὶ τὸ διάθεμα στρατιωτικὸν ᾖ ἔκ τε Ἡλίου καὶ Σελήνης καὶ Κρόνου, δεκαδάρχας ἢ ἑκατοντάρχας τινὸς βραχέος στρατεύματος καὶ πόλεως· εἰ δὲ ταπεινὸν εἴη τὸ διάθεμα ἔκ τε Ἡλίου καὶ Σελήνης καὶ τῶν λοιπῶν ἀστέρων ἢ τρίγωνοι αὐτῶν ὅ τε τοῦ Ἄρεως καὶ ὁ τοῦ Διός, ταπεινοὺς ἀποτελεῖ τοὺς γεννωμένους δούλους στρατευομένων ὑποτεταγμένους ἢ καὶ ἡγεμονευόντων, πολλάκις δὲ κυνηγοὺς ἢ μονομάχους ἢ ὁπλοποιούς. ταῦτα δὲ σημαίνει παρὰ τὰς τῶν ζῳδίων ἐναλλαγάς· ἐπὶ μὲν γὰρ τῶν κέντρων μεγάλους ἀπὸ νεότητος ἀποτελοῦσιν, ἐπὶ δὲ τῶν ἐπαναφορῶν ἀπὸ μέσης ἡλικίας ἀναγομένους, ἐπὶ <δὲ> τῶν ἀποκλιμάτων ἥττονας καὶ ταπεινούς.

<ιζ'.> Περὶ ὡροσκόπου τοῦ τῆς τύχης κλήρου.

Περὶ δὲ τριγωνικῆς τάξεως ἐκθέμενος μεταβήσομαι πάλιν εἰς τὸν περὶ εὐδαιμονίας καὶ τύχης κλῆρον καὶ δαίμονος. πρὸ πάντων οὖν δεῖ ἀκριβῶς στῆσαι τὸν κλῆρον τῆς τύχης καὶ σκοπεῖν εἰς ποῖον μέρος τοῦ κόσμου ἐξέπεσε, πότερον ἐπὶ τῶν κέντρων ἢ τῶν ἐπαναφορῶν ἢ τῶν ἀποκλίσεων· ὁμοίως δὲ καὶ τὸν τούτου κύριον ζήτει. ἐὰν γὰρ ὡροσκοπῇ ἡμερινὸς ἢ καὶ ἐπί τινος ἑτέρου χρηματιστικοῦ ζῳδίου τύχῃ, ὑπὸ Ἡλίου καὶ Σελήνης καὶ τῶν ἀγαθοποιῶν μαρτυρούμενος, λαμπρὸν ἐπίσημον εὐτυχῆ τὸν γεννώμενον ποιήσει· ἐπὶ δὲ τῶν λοιπῶν κέντρων ἢ τῶν ἐπαναφορῶν μετριώτερος· ἐπὶ δὲ τῶν ἀποκλιμάτων ἐκπτώσεως ὁ τρόπος ἐννοείσθω· οὗτοι γάρ εἰσι ἑτερογνώμονες τόποι αἰτίας

1 ἰσχυρώτερα S. τῶν γ. τριγώνων MS. 1-2 τετραγώνων M. 3 ἀσχηματίστοις M. γὰρ S] δὲ M. 4 τὸν M] τὸ S. 6 δὲ M] γε S. 7 ἢ om. M. συνοικοδεσποτεῖ S. σύστασις M. 8 ἀστέρος M. 9 συνεργῶν αὐτὸ ἢ παρα συνεργῶν (αὐτὸ add. M) ἔχων δ. MS. 10 ἀποθήσουσι MS. τὴν δόξαν M. δὲ (pro γὰρ) M. 12 δεκάρχας M. 15 καὶ om. S. 16 στρατευομένους S. nempe <ἢ> ὑποτ. ἢ καὶ ἡγεμ. om. M; aut transpone ante ὑποτετ. aut adde ἡγεμ. <δορυφόρους>. 17 παρὰ S] ἀπὸ M. 19-20 ἀπὸ - ἀποκλιμάτων om. S. 20 ἀποκλιμάτων] ζ' κλιμάτων M. 21 inscr. om. M. ὡροσκόπων τῆς S, cf. Bouché-Leclercq, 297. 22 τριγωνικῶν S. τὸ S. 25 πρότερον M. 26 ζήτει ut vid. S, om. M. 26-30 ἐὰν - μετριώτερος om. S. 26 γὰρ] δὲ M. 27 ἡμερινὰ M. σχηματιστικοῦ M. 30 nempe <τῆς> ἐκπτ. 31 συνοείσθω S? γὰρ οἱ ἑτ. τόποι αἰτίας M, γάρ εἰσι τὸ αἰτίας (sic cum lac.) S.

ἐπάγοντες καὶ καθαιρέσεις. ἄλλως τε ἐπιγνοὺς τὸν κεκληρωμένον τόπον τῆς τύχης σκόπει καὶ τὰ τούτου τετράγωνα καὶ τὰ λοιπά, ὅσα ποτὲ ἐπὶ τῶν γενεθλιακῶν κέντρων. ἐφέξει γὰρ αὐτὸς ὁ κλῆρος δύναμιν ὡροσκόπου καὶ Ζωῆς, τὸ δὲ τούτου δέκατον μεσουρανήματος καὶ δόξης, τὸ δὲ ζ' δυτικοῦ, τὸ δὲ δ' ὑπογείου· καὶ οἱ λοιποὶ δὲ τόποι τὴν δύναμιν τῶν ιβ' τοποθεσιῶν ἐφέξουσιν. ὑφίστανται γάρ τινες μυστικῶς τὸν μὲν καθολικὸν ὡροσκόπον καὶ τὰ τούτου τετράγωνα κοσμικὰ κέντρα, τὸν δὲ κλῆρον καὶ τὰ τούτου τετράγωνα γενεθλιαλογικὰ κέντρα. ὅθεν καὶ ἐν τοῖς συντάγμασι προδηλοῦσι λέγοντες· ἐν δὲ ἑτεροτρόποις σχήμασι τῶν κέντρων ἢ κλήρου τὴν δυναστείαν λαχόντες *** καὶ οὔτε μὴν διὰ παντὸς τὰ τροπικὰ οὔτε τὰ στερεὰ οὔτε τὰ δίσωμα τὴν αὐτὴν δύναμιν ἐφέξει· δεῖ οὖν καὶ τὰς μαρτυρίας τῶν ἀστέρων ἢ συμπαρουσίας θεωρεῖν τὰς πρὸς τὸν κλῆρον, ἵν' εἰ μὲν ἀγαθοποιὸς ἐπὶ τούτῳ ἐπείη ἢ καὶ τῷδε μαρτυρήσῃ, προδηλωτικὸς ἀγαθῶν καὶ δοτὴρ ὑπαρχόντων γένηται· εἰ δὲ φθοροποιός, ἀποβολῆς ὑπαρχόντων καὶ φθίσεως σώματος αἴτιος γενήσεται.

II, 23. Περὶ ἀποδημίας ἐκ τῶν Ἑρμίππου.

Τὸν περὶ ἀποδημίας τόπον δύσληπτον ὄντα οὔτε Πετόσιρις οὔτε ὁ γνώριμος βασιλεὺς ἐν τοῖς ὑπομνήμασιν ἑαυτῶν ἐξεῖπον, ἢ μόνον εἰς τὸν τόπον τοῦτον τοῦτο εἰρήκασιν· εἰς τοὺς χρόνους εἴ τις τῶν κακοποιῶν ἔχει φάσιν, ἐν ἀποδημίαις καὶ σκυλμοῖς ποιήσει τὴν γένεσιν. ὅ ἐστιν ἀληθές· περαιτέρω δὲ τούτων οὐδὲν ἄλλο εἰς τὸν περὶ ξένης τόπον ἔχουσιν. ὁ δὲ θαυμασιώτατος Ἄβραμος ἐν τοῖς βιβλίοις αὐτοῦ τούτου τοῦ τόπου δέδειχεν ἡμῖν † ἀλληλοσατε (?) καὶ αὐτὸς ἰδίᾳ ἄλλα ἐξευρών τε καὶ δοκιμάσας ἐπὶ τῶν ἀποδηματικῶν μάλιστα γενέσεων· αἵτινες ἔχουσι θεωρήματα τάδε. τὰ φῶτα δύνοντα Ἄρης ἢ τὸν κλῆρον τῆς τύχης ὁρῶν εἰς τὸ ἀπόκλιμα τοῦ μεσουρανήματος ἢ τὴν Σελήνην ἢ τοὺς πλείστους τῶν ἀστέρων εἰς τὸ ὑπόγειον ἡμισφαίριον ἢ <εἰ> ὁ τῆς τύχης κύριος εἰς τὸν περὶ ξένης κλῆρον ἢ τὸν τόπον εὑρίσκοιτο ἢ καὶ διάμετρος πρὸς αὐτοὺς ἢ καὶ αὐτὴ ἡ τύχη πέσῃ, ὅπου ὁ κλῆρος ὁ περὶ ἀποδημίας, καὶ τῷ κλήρῳ δὲ Ἄρης ᾖ ἐπικείμενος ἢ τὸν τόπον ὁρῶν ἀποδηματικὰς ποιεῖ γενέσεις· ὁμοίως καὶ τὴν τύχην ἢ δαίμονα.

2 τόπον] nempe τὸν (sc. κλῆρον). καὶ τὰ λοιπὰ om. M. 3 ποτὲ S] τε M. τῶν om. M. γενεθλιαλογικῶν S. 6-6 μυστικῶν S, κοσμικῶς M. 9 Nechepso et Petosiris, ut opinor. ἐν δὲ] εἰ δὲ M, ἢ γὰρ S. 11 λαχόντος M, καταλαχόντες S. τροπικὰ geminat M. 14 ἐπιθεωρεῖν τὰς τῶν κλήρων M. ἀγαθοποιοὶ S? 15 μαρτυρήσει S. πρόδηλος καὶ ἀγ. MS. 16 καὶ om. S. δωτὴρ S. γίνηται S. 17 ὑπάρχων M. 20 ἢ] οἵ Wdl. 21 ipsa Aegyptiorum verba esse videntur. 25 nempe τοῦτον τὸν τόπον δ. ἡμῖν· δηλώσω δὲ καὶ aut sim. 26 αὐτοῖδια S. possis ἀποδημητικῶν at cf. 33. 28 sequentia plurifariam corrupta. 32 ᾖ] ἢ S.

II, 34. Περὶ ἐλευθερικῶν καὶ δουλικῶν γενέσεων.

Ἐνδιάφοροι δὲ περὶ τὸ γένος καὶ ὑποτακτικαὶ ἢ καὶ εὐγενεῖς γενέσεις καταλαμβάνονται ἀπὸ τῶν τῆς γενέσεως φάσεων. ἐὰν γὰρ τὸ ζῴδιον τῆς φάσεως ἢ ὁ κύριος τοῦ ζῳδίου παραπέσῃ ἢ ὑπὸ κακοποιῶν κατοπτευθῇ, ἀγεννέστεροι γενήσονται ἢ καὶ ἐν δόξῃ γενόμενοι καὶ πίστει καθαιρεθήσονται· ἐὰν δὲ ἐπίκεντρος ἡ φάσις εὑρεθῇ καὶ ὁ κύριος ὑπὸ ἀγαθοποιῶν μαρτυρούμενος, εὐγενεῖς καὶ ἔνδοξοι γενήσονται. ἐὰν δὲ ὁ μὲν τόπος ἐν χρηματιστικοῖς ζῳδίοις τύχῃ, ὁ δὲ κύριος παραπέσῃ ἢ ὑπὸ κακοποιῶν κατοπτευθῇ, ἐλεύθεροι γεννηθέντες ἢ καλῶς ἀχθέντες ἐναντιώμασι καὶ ὑποταγαῖς καὶ ἐνδείαις περιτραπήσονται. ἐὰν δὲ ὁ μὲν κύριος ἐν χρηματιστικοῖς ζῳδίοις εὑρεθῇ, ὁ δὲ τόπος παραπέσῃ, ἐν τοῖς πρώτοις χρόνοις κακοπαθήσαντες περὶ τὰς ὑποταγὰς καὶ ** ἐνεχθέντες ἐξ ὑστέρου ἐλευθερίας καὶ προκοπῆς καὶ γένους ἐντὸς γενόμενοι εὐπορήσουσι καὶ δοξασθήσονται, μάλιστα δὲ κἂν ἀγαθοποιοὶ προσνεύσωσιν. ἐὰν δὲ καὶ ὁ τόπος καὶ ὁ κύριος παραπέσῃ καὶ ἀμφότεροι ὑπὸ κακοποιῶν κατοπτευθῶσιν, ἔκθετοι ἢ αἰχμάλωτοι γενόμενοι ὑποταγῆς πεῖραν λήψονται· ἐὰν δὲ τούτων ὄντων ἀγαθοποιοὶ συμπροσγένωνται ἢ συνεπιμαρτυρήσωσι, μετὰ τοὺς τῶν κακοποιῶν χρόνους τῆς ὑποταγῆς ἀπολυθέντες ἐν περιουσίᾳ γενήσονται. ἐὰν δὲ ὁ μὲν τόπος ὑπὸ κακοποιῶν φρουρηθῇ, ὁ δὲ κύριος ὑπὸ ἀγαθοποιῶν, ὑποτακτικοὶ γεννηθέντες ἐλεύθεροι τραφήσονται ἢ εἰς ὑποβολὴν καὶ τεκνοποιίαν χωρήσουσι· τοὐναντίον δὲ τοῦ μὲν τόπου ὑπὸ ἀγαθοποιῶν φρουρουμένου, τοῦ δὲ οἰκοδεσπότου ὑπὸ κακοποιῶν, ἐλεύθεροι γεννηθέντες εἰς δουλείαν ἀνατραφήσονται ἢ εἰς τὸ τέλειον τῆς ἀκμῆς καταντήσαντες ἑαυτοὺς ἐκδότους ὑποταγαῖς παραδώσουσιν ἢ διὰ τροφῆς ἔνδειαν ἢ πίστεως καὶ πράξεως ἀφορμήν.

II, 35. Σχήματα Σελήνης ια' πρὸς ἀποτελεσμάτων δυνάμεις.

Ἔστι δὲ τῆς Σελήνης τὰ σχήματα κατὰ μὲν τὸν φυσικὸν λόγον ζ', καθὼς δὲ καὶ ἐν ἑτέροις εὕρομεν ια'· πρῶτον μὲν σύνοδος, δεύτερον ἀνατολή, εἶτα ἀποστᾶσα τοῦ Ἡλίου μοίρας με' ποιεῖται φάσιν μηνοειδῆ, εἶτα ἕως ϛ' μοιρῶν διχότομος, εἶτα ἕως ρλε' μοιρῶν ἀμφίκυρτος, εἶτα ἕως ρπ' μοιρῶν πανσέληνος, εἶτα ἀποστᾶσα τῆς πανσελήνου μοίρας με' τουτέστιν ἕως <σ>κε' ποιεῖται τὴν δευτέραν ἀμφίκυρτον, εἶτα ἕως σο' μοιρῶν τὴν δευτέραν διχότομον, εἶτα ἕως τξ' τὴν δύσιν. ἔστι δὲ αὐτῆς καὶ ἄλλο σχῆμα ὅτε ἄρξηται πρῶτον μειοῦσθαι.

6 πίσει S. 7 ἐγγενεῖς S. 13 post καὶ in S αἰτευ^{του}? excidit v. g. κακῶς (Wdl.). 17 γεννώμενοι S. fors. <οὕτως> ὄντων. 35 μειοῦται S.

Τί σημαίνει ἑκάστη φάσις καὶ ποῖον ἔχει ἀποτέλεσμα.

Ὑποτάξομεν δὲ καθὼς καὶ εἰς ἀποτελεσματογραφίαν λαμβάνεται τὰ προκείμενα σχήματα καὶ τίνι θεῷ προσῆκεν. ἡ μὲν οὖν σύνοδος δηλοῖ περὶ δόξης καὶ δυνάμεως καὶ βασιλικῶν καὶ τυραννικῶν διαθεμάτων καὶ πάντων τῶν ταῖς πόλεσιν ἀνηκόντων δημοσίων πράξεων καὶ περὶ γονέων καὶ γάμων καὶ μυστηρίων καὶ τῶν καθολικῶν καὶ κοσμικῶν πάντων· ὁμοίως καὶ ὁ κύριος τῆς συνόδου καὶ <τοῦ> πλάτους καὶ τοῦ δρομήματος· ἡ δὲ ἀνατολὴ τῆς Σελήνης, ὅπερ καὶ φῶς λέγεται, καὶ ὁ ταύτης κύριος εἰς τὸν περὶ ζωῆς <καὶ> περὶ πράξεως καὶ περὶ ὑποστάσεως μελλούσης καὶ βεβαιοῖ τὰς τῆς συνόδου πράξεις. καὶ καθάπερ ἀπὸ τῆς πρώτης ὄψεως τὰ μηνιαῖα θεωρεῖται καὶ κοσμικὰ κινήματα, οὕτως ὁ κύριος τοῦ φωτὸς τὰ καθολικὰ ἀποτελέσματα δείκνυσι· συνεπισχύει δὲ καὶ Ἑρμῆς ἕως δ' Σελήνης. ἡ δὲ μηνοειδὴς σύστασις τὴν ἀνατροφὴν καὶ τὰ ἐλπιζόμενα ἐν βίῳ σημαίνει καὶ περὶ γυναικῶν καὶ μητρός· ἐπισχύει δὲ Ἑρμῆς ἕως η'. ἡ δὲ διχότομος σύστασις περὶ σίνους καὶ πάθους καὶ τῶν βιαίων συμβαινόντων, ἔτι δὲ περὶ τέκνων καὶ ἀξίας καὶ τῶν μελλόντων ἀγαθῶν· συσχηματίζεται δὲ Ἀφροδίτη ἕως γένηται ιβ'. ἡ δὲ ἀμφίκυρτος φάσις περὶ εὐδαιμονίας καὶ μελλούσης προκοπῆς καὶ ἀποδημίας καὶ συμπαθείας συγγενῶν. συνομοιοῦται δὲ Ἥλιος ἕως γένηται ιδ'. ἡ δὲ πανσέληνος περὶ δόξης καὶ ἀδοξίας καὶ ἀποδημίας καὶ περὶ τῶν βιαίως γινομένων καὶ περὶ τῶν ἐξ ὑπεροχῆς ἐκπιπτόντων καὶ ἐξ ἐλαχίστου αὐξομένων καὶ περὶ συμπαθειῶν καὶ παθῶν καὶ ἀντιπολιτειῶν καὶ γονέων συμπαθείας· ἔχει δὲ καὶ τοῦ δυτικοῦ ζῳδίου χρῶμα· ὁ δὲ πρῶτος κύριος τῆς μειώσεως τοῦ φωτὸς περὶ ἐλαττώσεως τῶν ὑπαρχόντων καὶ ψύξεως πρακτικῆς καὶ τῶν εἰς ταπείνωσιν ἐρχομένων καὶ περὶ αἰφνιδίων πτωμάτων. ἰσοδυναμεῖ δὲ τῇ ἐπικαταδύσει· Ἄρης κύριος ἕως κα' Σελήνης. ἡ δὲ ἀμφίκυρτος δευτέρα σημαίνει περὶ ξενιτειῶν καὶ πράξεως μείζονος καὶ περὶ εὐδαιμονίας· ἰσοδυναμεῖ δὲ τῷ θεῷ· Ζεὺς κύριος, ἕως γένηται κε' ἡ Σελήνη. ἡ δὲ δευτέρα διχότομος περὶ παλαιῶν πραγμάτων καὶ πολυχρονίων παθῶν καὶ περὶ τέκνων· ἰσοδυναμεῖ γὰρ Κρόνος, ἕως γένηται λ'. ὁ δὲ τῆς μηνοειδοῦς κύριος σημαίνει περὶ θανάτου γυναικὸς καὶ περὶ ἀπραξίας ἢ διαρπαγῆς· † τουτέστιν ἡ δύσις περὶ δεσμῶν καὶ συνοχῶν καὶ ἀποκρύφων πραγμάτων καὶ κατακρίσεως καὶ ἀτιμίας· καὶ ἡ μὲν τῆς Σελήνης τῶν σχημάτων τάξις οὕτως, τὰ μέντοι συγκρινόμενα τοῖς ε' θεοῖς καὶ Ἡλίῳ † ἐν ἀδέτοις κέντροις.

3 fort. προσήκει. 9 verbum deesse videtur velut χρηματίζει. 13 i. e. τεταρταίας et sic deinceps accipiendum. ὁ δὲ μ. σύστασιν S. 16 possis βιαίως. 19-20 συνομοιοῦνται S. 24 nempe <τὸ> τοῦ (καὶ suspectum). 26 ταπεινωσῶν S. 27 τὴν S. 28 πράξεων S. 31 haec fort. lacunosa. 32 μονοειδοῦς S. 33 nempe τελευταῖον vel sim. 36 velut συνᾴδει τοῖς κ.

Συντομωτέρας μὲν οὖν τὰς ἀποδείξεις τῶν αἱρέσεων βουλόμενος ἐκθέσθαι τὰς πολυλογίας παραιτησάμενος καὶ τὰς μυθώδεις γοητείας αὐτὰ τὰ κεφάλαια προέταξα τοῖς μάλιστα περὶ τὰ τοιαῦτα ἐσπουδακόσι καὶ πολλαῖς ἀγωγαῖς ἐγκεχρονικόσι, δυναμένοις δὲ διὰ τῆς ἰδίας ἐπινοίας ἴσα εἰσφέρειν. οἶμαι γὰρ αὐτοὺς πείσειν διὰ τῶν προγεγραμμένων καὶ τῶν μελλόντων λέγεσθαι ἀποτίθεσθαι μὲν τὸ δύσπιστον καὶ εὐδιάβολον τῆς ἐπιστήμης, ἄγνοιαν δὲ καὶ λῆρον κατὰ τῶν ἀντιπρασσόντων ψηφισαμένους κινδυνεύουσαν πρόγνωσιν ἀθάνατον ἀποδεῖξαι. ὅθεν οἱ φιλομαθεῖς ταῖς μὲν ἀριθμητικαῖς καὶ διδασκαλικαῖς ἀγωγαῖς δι' ἑτέρων ἐγγυμνασθέντες τὸ νῖκος τῆς δόξης διὰ τῆσδε τῆς συντάξεως ἀποίσονται, καίπερ καὶ αὐτοὶ οὐκ ἀμύητοι ὄντες περὶ τὰς τῶν κανόνων καὶ εἰσόδων πήξεις· ἃς οὐκ ἠβουλήθην προτάξαι καὶ δισσολογεῖν. εἰ δὲ καὶ δοκοῦμεν τὰ τῶν ἀρχαίων δόγματα συγγράφειν καὶ ἑρμηνεύειν, κατὰ τοῦτο ἀρετῆς ἔπαινον ἀποισόμεθα παρὰ τῶν ἐντυγχανόντων διὰ τὸ ἀσφαλὲς καὶ ἄφθονον καὶ διδασκαλικὸν τῶν αἱρέσεων. ἕτεροι γὰρ πολυλογίαις καὶ ποικίλαις μεθόδοις χρησάμενοι καὶ δόξαντες ἑρμηνεύειν προσεπικατέστρεψαν καὶ τὴν προϋπάρχουσαν τῆς προγνώσεως δόξαν καὶ ῥῆσιν ἑλληνικὴν διὰ τῶν λόγων ἀσκήσαντες βάρβαρον γνώμην ἐνεδείξαντο. τούτους δὲ ὑπολάβοι ἄν τις Σειρήνων τρόπον ἐπιδεῖξαι, <αἳ> τοὺς παραπλέοντας ἀπατηλῇ καὶ κεκλασμένῃ φωνῇ διὰ τῆς μουσικῆς τῶν ὀργάνων καὶ ὀλεθρίας ᾠδῆς προσκαλούμεναι παρὰ ταῖς ἐναλίαις πέτραις διώλλυον. τὸ ὅμοιον δὲ πάσχουσί τινες καὶ ἔπαθον οἱ ἐντυγχάνοντες ταῖς ἐκείνων αἱρέσεσιν· οἱ κατ' ἀρχὰς μὲν τῇ τῶν λόγων φαντασίᾳ καὶ ἀγωγῇ θελχθέντες εἴς τε ἄπειρον ὕλην ἐμπεσόντες καὶ μὴ εὑρόντες τὴν ἔξοδον οὐ μόνον ἐν βυθῷ ἀλλὰ καὶ ἐν λαβυρίνθῳ διώλοντο· οἱ δὲ καὶ δόξαντες διεκπεφευγέναι τὸν κίνδυνον τρυχηρᾷ καὶ πολυμερίμνῳ βασάνῳ περιπεσόντες ἀνιαρὸν τὸ τέλος ἔσχον. ἐὰν οὖν τις Ὀδυσσέως φρόνημα λαβὼν παραπλεύσῃ τούτους, καταλείπει σεμνὴν ἐν τῷ βίῳ τὴν ἐπιστήμην, ἣ σύνοικος καὶ συνόμιλος γενόμενος ἀεὶ μεθ' ἡδονῆς διανύει τὸν χρόνον ἐκκόψας τὰς κακοτρόπους τῶν ἀντιπρασσόντων γνώμας μυστηρίων δίκην. ὅθεν τούτους μὲν ἐάσαντας εἰς τὴν τῶν προκειμένων καταντήσομεν δόξαν.

1 fort. συντομωτέρως. 3 προσέταξα S. 4 ἀναχρονικόσι S. 5 pro ἴσα compendium S quod num recte solverim dubito; κρίσιν Wdl. 7 δὲ] τε S. 8 κινδυνεύουσιν S, fort. <ἀνατρέπεσθαι τὴν> πρ. 10 νεῖκος S. 13 δυσσολογεῖν S. εἰ δὲ geminat S. 14 περὶ S. 18 ῥῆσιν Cumont] οἴησιν S. 20 τὰς π. S. 22 διόλλυον S. 26 λαβυρινθώδει ὤλοντο S. 29 καταλεί S vocabulum vix aptum.

Οὐεττίου Οὐάλεντος Ἀντιοχέως ἀνθολογιῶν βιβλίον δ'.

α'. Περιόδων διαιρέσεις.

Καθηκόντως οὖν καὶ διδασκαλικῶς οἶμαι τὴν τῶν προκειμένων ἐπίλυσιν ποιήσασθαι θοινημάτων <τὸν> παρὰ πολλοῖς ἐζητημένον καὶ ἀποκεκρυμμένον τόπον δηλώσομεν, ὅς ἐστι περὶ διαιρέσεως χρόνων ἐμπράκτων καὶ ἀπράκτων. ὅσαι μὲν οὖν διαιρέσεις διὰ πείρας εἰσὶ δεδοκιμασμέναι, ταύτας δεῖ νῦν ὑποτάξαι. ἔστι δὲ πρώτη περίοδος πρὸς τὰ τέταρτα τῶν ἐλαχίστων περιόδων· οἷον Κρόνου τῶν ἐτῶν λ' τὸ τέταρτον ζ' ἥμισυ ... ἐπιβάλλουσι δὲ αὐτῷ κατ' ἔτος ἡμέραι λδ'. Ἄρεως ἐτῶν ιε' τὸ τέταρτον γ' μῆνες θ', κατὰ δὲ τὸ ἔτος ἡμέραι μβ' ἥμισυ. Ἀφροδίτης ἐτῶν η' τὸ τέταρτον β' ἔτη, ἐνιαύσιαι δὲ ἡμέραι κβ' δύο τρίτα. Ἑρμοῦ ἐτῶν κ' τὸ [δὲ] τέταρτον ε' ἔτη, ἐνιαύσιαι δὲ ἡμέραι νς' δύο τρίτα, Ἡλίου ἐτῶν ιθ' τὸ τέταρτον ἔτη δ' μῆνες θ', ἡμέραι δὲ νγ' ἥμισυ τρίτον. Σελήνης ἐτῶν κε' τὸ τέταρτον ς' ἔτη μῆνες γ', ἐνιαύσιαι δὲ ἡμέραι ο' ἥμισυ τρίτον. γίνονται ὁμοῦ [ε'] ἔτη λβ' μῆνες τρεῖς.

β'. Περὶ ἀφέσεως.

Τὴν ἀρχὴν τῆς ἀφέσεως ἐφέξει τῶν μὲν συνοδικῶν ὁ μετὰ τὴν σύνοδον πρῶτος, εἶθ' ἑξῆς καθὼς διάκειται· ἐπὶ δὲ τῶν πανσελήνων ὁ μετὰ τὴν πανσέληνον πρῶτος καὶ ὁμοίως· δεῖ δὲ συγκρίνειν τὸν ἀστέρα ὅπως ἐσχημάτισται καὶ ὑπὸ τίνων μαρτυρεῖται, τούς τε λοιποὺς τοὺς παραλαμβάνοντας πότερον ἐπίκεντροι ἢ ἀποκεκλικότες ἀνατολικοὶ ἢ δυτικοί, τάς τε κατὰ πάροδον ἐπεμβάσεις καὶ τὰς συμπαθείας ἢ ἐναντιότητας. μετὰ δὲ τὸ συμπληρωθῆναι ἔτη λβ' καὶ μῆνας γ' πάλιν τὸν δεύτερον κύκλον ἀπὸ τοῦ τεταρτικοῦ ἀφετικοῦ ἀστέρος ποιητέον.

γ'. Περὶ ἐπιδιαιρέσεως ἡμερῶν.

Περὶ δὲ τῆς τῶν ἡμερῶν διαιρέσεως οὕτως ποιεῖσθαι. ἐὰν γὰρ Κρόνος ἀφέτης εὑρεθῇ καθολικός, μερίζει ἔτη ζ' ἥμισυ. ἐπεὶ δὲ ἐκ τούτων πάντας τοὺς ἀστέρας δεῖ λαμβάνειν, τὸν ἐπιμερισμὸν οὕτως ποιήσομεν. τὰς πε' ἡμέρας τοῦ Κρόνου ἐπὶ τὰς ζ' ἥμισυ πολυπλασιάσαντες εὑρήσομεν ἡμέρας χλζ' ἥμισυ· ταύτας πρῶτον Κρόνος ἑαυτῷ

3 structura turbata; οἰόμενοι Us. 4 θεωρημάτων Us. 4-5 ἐζητημένων κ. ἀποκεκρυμμένων τόπων V, corr. Us. 5 ὅς Us.] ὡς V. 8 τέρατα V. 9 exciderunt Saturni dies 85 et Iovis tempora, cuius anni minimi sunt XII, quarta pars III. 15 quarta periodorum summam efficiunt annorum XXXII mensium III; dierum numerus universus est 365 1/2. Firmicus II, 28 eosdem fere habet dies. 24 τὸν] τὸ V.

ἐπιμερίσει ἐκ τῶν ἰδίων ἐτῶν ζ' ἥμισυ, εἶθ' ἑξῆς ἔστω εὑρῆσθαι τὸν Δία· ἐπεὶ οὖν ἡμερῶν δεσπόζει λδ', ταύτας ἐπὶ τὰ ζ' ἥμισυ διὰ τὸ ἀφέτην εἶναι Κρόνον· γίνονται ἡμέραι σνε'· ταύτας Ζεὺς ἕξει ἐκ τῶν τοῦ Κρόνου. εἶτα ἑξῆς τὸν τῆς Ἀφροδίτης παραλαμβάνειν· ἐπεὶ οὖν κυριεύει ἡμερῶν κβ' δύο τρίτων, ταύτας ἐπὶ τὸν ζ' ἥμισυ πολυπλασιάσωμεν· εὑρήσομεν ρο'· τοσαύτας Ἀφροδίτη ἕξει ἐκ τῶν τοῦ Κρόνου. καὶ ὁμοίως ἑκάστου ἀστέρος ἐὰν τὰς ἡμέρας ἐπὶ τὸν ζ' ἥμισυ πολυπλασιάσωμεν, εὑρήσομεν τὸν ἐπιμερισμόν. ἐὰν δέ πως ἡ Σελήνη κυριεύσῃ τῆς ἀφέσεως, τὰς ἑκάστου ἡμέρας ἐπὶ τὸν ἕξ τέταρτον πολυπλασιάσαντες εὑρήσομεν· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν λοιπῶν.

Ἑκάστου ἀστέρος ἡμέρας εὑρεῖν.

Αἱ δὲ ἑκάστου ἡμέραι εὑρίσκονται τοιῷδε τρόπῳ. τὴν περίοδον διπλασιάσαντες καὶ τὴν ἡμίσειαν καὶ τὸ τρίτον ἐπιπροσθέντες εὑρήσομεν. ἐπεὶ Κρόνου ἡ περίοδός ἐστιν ἡμερῶν λ', ταύτας ἐδίπλωσα καὶ γεγόνασιν ξ'· καὶ τὸ ἥμισυ τῶν λ' γίνονται ιε'· ταύτας προσέθηκα ταῖς ξ'· γίνονται οε'. καὶ πάλιν τὸ τρίτον τῶν λ' γίνεται ι'· ταύτας ὁμοίως προσέθηκα τοῖς οε'· γίνονται πε'. ταύτας τὰς ἡμέρας Κρόνος ἕξει. ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν ἀστέρων.

δ'. Περὶ χρόνων διαιρέσεως ἀπὸ κλήρου τύχης καὶ δαίμονος.

Καὶ ταύτην δὲ δυναστικὴν οὖσαν ὑποτάξω, τὴν ἀρχὴν τῆς ἀφέσεως ποιησάμενος ἀπὸ κλήρου τύχης καὶ δαίμονος, οἳ σημαίνουσιν Ἥλιόν τε καὶ Σελήνην· κοσμικῶς γὰρ ἡ Σελήνη τύχη ὑπάρχουσα καὶ σῶμα καὶ πνεῦμα περίγειος οὖσα καὶ τὴν ἀπόρροιαν εἰς ἡμᾶς πέμπουσα τὸ ὅμοιον ἀποτελεῖ, κυρία οὖσα τοῦ καθ' ἡμᾶς σώματος. ὁ δὲ Ἥλιος νοῦς καὶ δαίμων κοσμικῶς ὑπάρχων διὰ τῆς ἰδίας ἐνεργείας καὶ φύσεως ἐρασμίου τὰς τῶν ἀνθρώπων ψυχὰς διεγείρων περὶ τὰς ἐγχειρήσεις αἴτιος πράξεως καὶ κινήσεως καθίσταται. ἐπὰν οὖν σωματικοὺς χρόνους ζητῶμεν, οἷον κλιμακτῆρας ἢ ἀσθενείας ἢ αἱμαγμούς, πτώσεις σίνη πάθη καὶ ὅσα ποτὲ ἀνήκει τῷ σώματι περὶ ῥύσεως τέρψεως ἡδονῆς καλλονῆς ἐπαφροδισίας, ἀπὸ τοῦ κλήρου τῆς τύχης δεῖ ἐκβάλλειν ζῳδιακῶς καὶ οὗ ἂν καταλήξῃ ὁ χρόνος, λογισόμεθα τὸ ζῴδιον καὶ τοὺς ἐπόντας ἀστέρας ἢ μαρτυροῦντας, πῶς συσχηματίζονται πρὸς τὸν καθολικὸν ἢ οἰκοδεσπότην τῶν ἀφετικῶν χρόνων καὶ πότερον ἐπίκεντροι οἱ χρονοκράτορες τῶν κλήρων εἰσὶν ἢ ἔκκεντροι. ἐὰν δὲ περὶ πράξεως ἢ δόξης ζητῶμεν, τότε ἀπὸ τοῦ δαίμονος τὴν

2 τό] τὸν V. 4 scil. ἔστω quod fors. add. 6 ρο'] ρθ' V at 7 1/2. 22 2/3 = 170. 14 potius ἐτῶν λ'. 34 dele ἢ aut scr. <χρονοκράτορα> ἢ. 35 χρονοκράτορες] χρόνοι κατὰ V.

ἄφεσιν τῶν χρόνων ποιησόμεθα ζῳδιακῶς καὶ κατὰ τοὺς ἐπόντας ἢ μαρτυροῦντας ἀγαθοποιοὺς ἢ κακοποιοὺς τὴν διάκρισιν εὑρήσομεν. πολλάκις μὲν οὖν τοῦ κλήρου τῆς τύχης ἢ τοῦ κυρίου παραπεπτωκότος ὁ κλῆρος τοῦ δαίμονος καὶ τὰ σωματικὰ καὶ τὰ πρακτικὰ μερίζει. ὁμοίως καὶ ἡ τύχη ἀμφότερα μεριεῖ τοῦ κλήρου τοῦ δαίμονος ἢ τοῦ κυρίου παραπεπτωκότος, καθάπερ ἐπὶ τῶν ἐπικρατήσεων καὶ οἰκοδεσποτειῶν. ὅταν δὲ ὁ δαίμων καὶ ἡ τύχη ἐν ἑνὶ ζῳδίῳ εὑρεθῶσι, τὰ μὲν σωματικὰ ἀπὸ τοῦ αὐτοῦ ζῳδίου, τὰ δὲ πρακτικὰ ἀπὸ τοῦ ἐπαναφερομένου ληψόμεθα· ἄλλως τε καὶ ἐπὶ τῶν συνοδικῶν ἢ πανσεληνιακῶν τῇ αὐτῇ ἀφέσει † εὑρεθήσεται, εἴγε εἰς ἓν ζῴδιον ὅ τε κλῆρος καὶ ὁ δαίμων ἐκπίπτει. ἀλλ' ἐπὶ τῶν τοιούτων τοὺς μὲν σωματικοὺς χρόνους ὅταν ζητῶμεν, ἀπὸ τοῦ αὐτοῦ ζῳδίου τὴν ἄφεσιν ποιησόμεθα, τοὺς δὲ πρακτικοὺς ἀπὸ τοῦ ἐπαναφερομένου τῷ κλήρῳ, καὶ μάλιστα ἐπὶ νυκτερινῶν γενέσεων ἢ [ἐκ] τῶν ὑπογείων τὴν σύνοδον ἐσχηκότων, ἵνα ἑκάστου κλήρου τὰ τετράγωνα ὡς κέντρα σχηματίσῃ. κρείσσων μέντοι ἡ συνοδικὴ αἵρεσις τῆς πανσεληνιακῆς· ἡ μὲν γὰρ συνοδικὴ ἐπὶ τοῦ ὡροσκόπου τοὺς κλήρους ἔχει, ἡ δὲ πανσεληνιακὴ ἐπὶ τῆς δύσεως. συμβαίνει δὲ καὶ κατὰ τετράγωνον τῶν φώτων ὄντων τοὺς κλήρους ἑαυτοῖς ἐναντιοῦσθαι· καὶ ἐπὶ τούτου τοῦ εἴδους τοὺς πρακτικούς τινες χρόνους ἐκ τῶν ἀναφερομένων ζῳδίων μερίζουσιν. ἐμοὶ δὲ οὐ δοκεῖ· ἕτερος γὰρ τοῦ κλήρου τῆς τύχης εὑρίσκεται καὶ ἕτερος τοῦ δαίμονος, ἐπὶ δὲ τῶν συνοδικῶν καὶ πανσεληνιακῶν γενέσεων ὁ αὐτός· ἄλλως τε ἐπὶ τῶν ἀρρενικῶν γενέσεων αἱ πλείους ἀφέσεις ἀπὸ τοῦ δαίμονος εὑρίσκονται, διότι τὰς πράξεις διὰ λόγου καὶ δόσεως καὶ λήψεως καὶ πίστεων μεταχειρίζονται· ἐπὶ δὲ τῶν θηλυκῶν ἀπὸ τοῦ κλήρου τῆς τύχης διὰ τὴν περὶ τὸ σῶμα ἀσχολίαν. συμβαίνει δὲ καὶ τοὺς ἄνδρας σωματικὰς πράξεις τὰς διὰ χειρῶν ἐπάγειν ἢ ἀθλήσεως καὶ σωματικῆς κινήσεως καὶ τὰς γυναῖκας διὰ ἀγορασμῶν καὶ πράσεων. ὁμοίως καὶ ἐπὶ τῶν νηπίων γενέσεων ἀπὸ τοῦ κλήρου τῆς τύχης τὴν ἄφεσιν τῶν χρόνων δέον ποιεῖσθαι, ἕως ἐπὶ τὸν ἔλεγχον τὸν τῆς ἀκμῆς ἢ τῆς πράξεως παραγένωνται. γεννηθεῖσι μὲν γὰρ αὐτοῖς συνέπεται καὶ τὰ σωματικὰ εὐημερήματα, οἷον εὐμορφία ἐπαφροδισία μέγεθος ἀστειότης εὐρυθμία, ἢ καὶ ἃ εἴωθε ἄλλως συμβαίνειν, σίνη πάθη ἐκζέματα ἐκβιάσματα ἐξανθήματα συγγενήματα σημεῖα τινὰ χαλάσματα· τὰ δὲ πρακτικὰ καὶ διανοητικὰ ἐξ ὑστέρου γίνεται.

Ἔστω ἐπὶ ὑποδείγματος τὸν κλῆρον τῆς τύχης ἢ τοῦ δαίμονος πεπτωκέναι Κριῷ· καὶ ὁ μὲν καθόλου οἰκοδεσπότης Ἄρης, οἱ δὲ παραλαβόντες ὑπ' αὐτοῦ συγκρινέσθωσαν, οἰκείως ἢ ἀλλοτρίως συσχηματίζονται. μερίζει οὖν αὐτὸς πρῶτος ἔτη ιε', ἐξ ὧν ἑαυτῷ ἐπιμερίζει

10 fors. χρησόμεθα. 14 possis καὶ pro ἐκ. τῶ ὑπογείω V. 26 ἀσχόλειαν V[a]. 27 ἐπάγειν] an ἔχειν? 28 κρίσεως V[a] ante κινήσεως. 30 τὸν] τὸ V. 34 fors. ἐκβράσματα. συγγενήματα fors. vitia nascentibus ingenita; possis συγγενῆ νοσήματα. 38 nempe ἀπ' αὐτοῦ. non opus <εἰ> οἰκείως.

μῆνας ιε', εἶτα Ἀφροδίτῃ διὰ τὸν Ταῦρον μῆνας η', ἑξῆς Ἑρμῇ διὰ τοὺς Διδύμους μῆνας κ', εἶτα Σελήνῃ διὰ τὸν Καρκίνον μῆνας κε', εἶτα Ἡλίῳ διὰ τὸν Λέοντα μῆνας ιθ', εἶθ' ἑξῆς Ἑρμῇ μῆνας κ', εἶτα Ἀφροδίτῃ μῆνας η', εἶτα Ἄρης ἑαυτῷ διὰ τὸν Σκορπίον μῆνας ιε', εἶτα Διὶ μῆνας ιβ' διὰ τὸν Τοξότην, εἶτα Κρόνῳ διὰ τὸν Αἰγόκερων ἔτη β' μῆνας γ', εἶτα τοὺς λοιποὺς ια' εἰς συμπλήρωσιν τῶν ιε' ἐτῶν ἐν τῷ Ὑδροχόῳ. μετὰ τὸν Ἄρη παραλήψεται Ἀφροδίτη τοὺς καθολικοὺς χρόνους ἐπὶ ἔτη η' καὶ ὁμοίως ἐπιμερίσει ἐξ αὐτῶν ἑκάστῳ ζῳδίῳ καθὼς πρόκειται. εἶτα μετὰ τὸν τῆς Ἀφροδίτης παραλήψεται Ἑρμῆς διὰ τοὺς Διδύμους ἔτη κ' καὶ ἐπιμερίσει ἑκάστῳ ζῳδίῳ· εἶτα Σελήνη ἐπὶ ἔτη κε', μεθ' ἣν ὁ Ἥλιος ἐπὶ ἔτη ιθ'· καὶ ἐφ' ὅσον ἡ γένεσις χωρεῖ, ἐφεξῆς χρὴ διδόναι. ἐπεὶ οὖν ὁ κύκλος τῶν ιβ' ζῳδίων συνάγει ἔτη ιζ' μῆνας ζ', τὸν λοιπὸν χρόνον ἐκ τοῦ διαμέτρου μεριοῦμεν. οἷον ἐπεὶ οἱ Δίδυμοι μερίζουσιν ἔτη κ', τῆς ἀφέσεως γενομένης ἐφεξῆς καὶ συμπληρουμένων [καὶ] μηνῶν ζ' ἐτῶν ιζ', τὰ λοιπὰ ἔτη β' καὶ μῆνας ε' ἀπὸ Τοξότου μεριοῦμεν, αὐτῷ τῷ Τοξότῃ διδόντες ἐνιαυτόν, εἶτα τῷ Αἰγόκερῳ τὸν περίλοιπον χρόνον εἰς συμπλήρωσιν τῶν κ' ἐτῶν. ὁμοίως καὶ ἀπὸ τοῦ Καρκίνου ἢ Λέοντος ἢ Παρθένου ἢ Αἰγόκερω ἢ καὶ Ὑδροχόου τὴν ἄφεσιν ἐὰν εὕρωμεν, μετὰ ιζ' ἔτη καὶ μῆνας ζ' χωρὶς ἐπαγομένων ἐκ τῶν διαμέτρων ἀρξάμενοι τοὺς λοιποὺς χρόνους μεριοῦμεν ἐφεξῆς.

Τινὲς μὲν οὖν τοὺς λοιποὺς χρόνους μερίζουσιν ἐκ τῶν τριγώνων, ἐμοὶ δ' οὐ δοκεῖ φύσιν ἔχειν· ἀλλὰ καθάπερ ἐπὶ τοῦ κοσμικοῦ τὰ τέτταρα στοιχεῖα τὴν πρὸς ἄλληλα συμπάθειαν κέκτηται καὶ ἕκαστον ἀπὸ ἑτέρου ζωογονεῖται καὶ θάλπεται, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῆς διαιρέσεως κατὰ τὴν ἁρμονίαν τῶν ζῳδίων τὰς παραδόσεις ποιεῖσθαι. οἷον ἐπεὶ τὸ πῦρ καὶ ὁ ἀὴρ ἀνωφερῆ ὑπάρχοντα ἀλλήλοις τὴν ἐπιμιξίαν ποιοῦνται καὶ κατάξηρον ὑπάρχον τὸ πῦρ ὑπὸ τῆς τῶν ἀέρων εὐκρασίας τρέφεται καὶ αὐτὸ δὴ τὸ πῦρ οὐκ ἐᾷ τὸν ἀέρα εἰς κρυμώδη καὶ ζοφώδη φύσιν χωρῆσαι ἀλλὰ ἔκθερμον εὐκρασίαν ἀπεργάζεται, εὐλόγως ἄρα καὶ ὁ Λέων πυρώδης ὑπάρχων μετὰ τὸν κύκλον παραδώσει τὸν ἐπίλοιπον χρόνον τῷ τὴν συμπάθειαν ἔχοντι Ὑδροχόῳ, ὅ ἐστιν ἀήρ, καὶ πάλιν Ὑδροχόος τῷ Λέοντι. ὁμοίως δὲ καὶ ἡ γῆ κατάξηρος οὖσα καὶ ὑπὸ τῆς ὑγρᾶς οὐσίας τρεφομένη ζωογονεῖ τὰ πάντα, καὶ αὐτὸ δὲ τὸ ὕδωρ διαβασταζόμενον ἐκ τῆς γῆς καὶ ἐξ αὐτῆς γεννώμενον τὴν συμπάθειαν φυλάσσει· εὐλόγως ἄρα καὶ ὁ Καρκίνος κάθυγρος ὑπάρχων καὶ ὁ Αἰγόκερως γεώδης ἀλλήλοις τὴν ἀντιπαράδοσιν

1 quod Arietem excipit Taurus, cuius domina est Venus. 5 ιβ'] ιε' V. 6 Saturnus dat XXX menses, quos si textui obtrudimus, aut ratio non constat aut in v. 6 η' pro ια' reponendum est. τοὺς λοιποὺς sc. eidem Saturno. 10 τοὺς] τὰς V. 12 menses quos tribuunt singula signa (stellarum dominium tenentium ratione habita) sunt 214 = 17 anni 10 menses. ἐπι V. 15 μῆνας] μῆνες V. 19 μετὰ τὰ H. 22 possis κοσμ. <συστήματος> aut κόσμου. 23 τέταρτα V. 26 ἐπὶ V. 29 ἐκ θερμῶν V[a]. 31 fors. ὅς. 32 ἀερώδης enim Aquarius: Maxim., p. 106, 1 L.

ποιήσονται καὶ ἡ Παρθένος γεώδης ὑπάρχουσα τοῖς Ἰχθύσι· καὶ τὰ λοιπὰ ζῴδια τὴν αὐτὴν δύναμιν ἐφέξει πρὸς τὰ διάμετρα. οὕτως καὶ ἡ ἀκολουθία τῆς διαιρέσεως ζῳδιακῶς ἐστοιχειογράφηται. οἷον ὁ Κριὸς πυρώδης, ὁ Ταῦρος γεώδης, οἱ Δίδυμοι ἀερώδεις, ὁ Καρκίνος ὑδατώδης, καὶ τὰ τούτων τρίγωνα ὁμοίως. ἐὰν οὖν ἐν τοῖς τριγώνοις τοὺς συνδέσμους λύωμεν, εὑρήσομεν μίαν φύσιν τοῦ τε παραδιδόντος καὶ τοῦ παραλαμβάνοντος ζῳδίου καὶ οὐδεμία τις σύγκρασις εὑρεθήσεται, ἀλλὰ πλεονεκτούμενα ὑπ' αὐτῶν τὰ στοιχεῖα. ἄλλως τε τὸν Ἥλιον εὑρίσκομεν ἀπὸ Κριοῦ τὴν ἀρχὴν ποιούμενον τῆς τροπῆς καὶ τῆς ἰσημερίας καὶ κατὰ τὸ ἡμικύκλιον τὸ μέγεθος τῆς ἡμέρας ἐπαύξοντα, ἐν δὲ τῷ διαμέτρῳ Ζυγῷ τὸν σύνδεσμον λύοντα καὶ εἰς τὸ μειωτικὸν χωροῦντα. ἐπεὶ δὲ καὶ Καρκίνος αὐξητικὸν σχῆμα ἡμέρας ἐπέχει, τοῦτο ἐν Αἰγόκερῳ γενόμενος τὴν νύκτα παρέχει ἐν τῷ διαμέτρῳ τὴν μεταβολὴν ποιούμενος. ὁμοίως καὶ ἡ Σελήνη τὴν σύνοδον ποιησαμένη καὶ πληρώσασα τὸν κύκλον ἐν τῷ διαμέτρῳ τὸν σύνδεσμον λύει. διὸ μᾶλλον ἔδοξε τῇ προκειμένῃ ἀγωγῇ χρήσασθαι εἰς τὴν τῶν συνδέσμων λύσιν.

<ε'.> Περὶ τῆς τῶν συνδέσμων λύσεως καὶ ἀντιπαραδόσεως τῶν ἀστέρων.

Αἱ δὲ τῶν συνδέσμων λύσεις ἐν διαφόροις γενήσονται διὰ τὰς τῶν ἀστέρων φύσεις. Ἥλιος μὲν οὖν καὶ Σελήνη Κρόνῳ παραδιδόντες ἐναντιωμάτων καὶ φόβων εἰσὶ δηλωτικοί, ἐπαγόντες ἔχθρας μειζόνων καὶ ἀπειλὰς μυστικῶν καὶ παλαιῶν πραγμάτων ἕνεκα, ἀνασκευὰς κρίσεις τε καὶ ἀντικαταστάσεις καὶ ὑπόπτους βίους καὶ ἀξίας καθαιρέσεις σωματικάς τε ὀχλήσεις καὶ κινδύνους ἢ ναυάγια αἰφνιδίους τε καταπτώσεις καὶ αἰτίας πλείστας, ἐκτὸς εἰ μὴ ἀγαθοποιοὶ ἐπόντες ἢ μαρτυροῦντες τῶν αἰτίων τὰς ἐκβάσεις ἀμαυρώσουσιν. Ἑρμῆς δὲ ἀπὸ Παρθένου ἢ Διδύμων Διὶ μεταπαραδιδοὺς τὸν χρόνον μεταβολὴν πραγμάτων ἀποτελεῖ καὶ καινοποιίας πράξεων· καὶ ἐὰν ἐπὶ γενέσεως οἱ τόποι κακωθῶσιν ἢ καὶ αὐτὸς Ἑρμῆς, τοῦ καθολικοῦ χρόνου ἐναντίου γενομένου, ἡ τοῦ συνδέσμου λύσις τὴν μεταβολὴν ἐπὶ τὸ κρεῖσσον ἕξει καὶ πράξεων δηλωτικὴ γενήσεται. ἐὰν δὲ οἱ τόποι ὑπὸ ἀγαθοποιῶν φρουρούμενοι ἀγαθὸν τὸν χρόνον ἀποτελῶσι, μετὰ <τὸν> κύκλον ἡ τοῦ συνδέσμου λύσις ἐπιτάραχος καὶ ἐπιζήμιος γενήσεται. Κρόνος δὲ ἀπὸ Αἰγόκερω καὶ Ὑδροχόου λύων σύνδεσμον εἰς Λέοντα καὶ Καρκίνον πρακτικὸν τὸν χρόνον δηλοῖ· τὰ γὰρ ἐκ σκότους εἰς φῶς ἄγει καὶ τοῖς

1 ἰχθύοις V. 4 post πυρώδης ἐὰν οὖν ἐντὸς V[a] del. V[b]. 5 ἐν τοῖς] ἐντὸς V. 6 τοῦ τε] τοῦτο V. 8 nempe ὑφ' αὐτῶν. 9 τροπῆς V[b]] ἀρχῆς V[a]. 10 ἰσημερίας nota scriptum (ας certum); haec si sana sunt, mire locutus est Valens. 12 potius Καρκίνῳ i. e. Sol in Cancro positus. nempe <διὰ> τοῦτο. 13 νύκτα] Veneris signum V. sententia perspicua, structura intolerabilis. 33 ἀποτελοῦσι V.

δυναστικοῖς ζῳδίοις τὴν διαίρεσιν τῶν χρόνων παραδιδοὺς ἐνεργέστερος καθίσταται κατὰ τὴν ὑπόστασιν τῆς γενέσεως τάς τε δόξας καὶ τὰς ὠφελείας παρέχει κατὰ τοὺς ἐπόντας ἀστέρας.

<ϛ'.> Πόσα ἔτη μερίζει ἕκαστον ζῴδιον· καὶ τέλεια ἔτη τῶν ἀστέρων.

Μερίζει δὲ ὁ μὲν Ὑδροχόος ἔτη λ', ὁ Αἰγόκερως κζ', ἐπεὶ ὁ Ἥλιος δεσπόζει τελείων ἐτῶν ρκ', ὧν τὸ ἥμισυ ξ'· ἐκ τούτων τὴν ἡμίσειαν τῷ κατὰ διαμέτρον Ὑδροχόῳ ἐπιμερίσει, ἅ ἐστιν ἔτη λ'. ἡ δὲ Σελήνη δεσπόζει τελείων ἐτῶν ρη', ὧν τὸ ἥμισυ νδ'· τούτων τὴν ἡμίσειαν τῷ κατὰ διάμετρον Αἰγόκερῳ ἐπιμερίζει, ἅ ἐστιν ἔτη κζ'. τῶν οὖν δύο ζῳδίων συνάγεται ἔτη νζ', ἅ ἐστιν τέλεια Αἰγόκερω. καὶ οἱ λοιποὶ δὲ ἀστέρες τὸν τέλειον ἐπιμερισμὸν τῶν ἐτῶν ἐξ Ἡλίου καὶ Σελήνης ἔσχον. τῷ μὲν γὰρ Διὶ συναιρετιστῇ ὄντι καὶ τριγώνου συμπάθειαν κεκτημένῳ διὰ τὸν Τοξότην ὁ Ἥλιος τὴν ἡμίσειαν τῶν ρκ' ἐτῶν ἐμέρισε καὶ τὰ ἐλάχιστα ἔτη ιθ'· γίνονται οθ'. ὡσαύτως δὲ καὶ ἡ Σελήνη διὰ τὴν ἀγαθοποιίαν καὶ τριγώνου κοσμικὴν συμπάθειαν τὴν εἰς τοὺς Ἰχθύας Διὶ ἀπεμέρισε τὴν ἡμίσειαν τῶν ρη' ἐτῶν νδ' καὶ τὰς ἐλαχίστας κε'· γίνονται οθ'. τῷ δὲ Ἄρει τῆς αὐτῆς αἱρέσεως ὄντι ἡ Σελήνη ἀπεμέρισε τὰ νδ'· ὁ δὲ Ἥλιος διὰ τὴν ἀντίμιμον πυρώδη οὐσίαν καὶ φθοροποιὸν τρόπον τὸν ἐπιμερισμὸν ἠρνήσατο, ἀντιπαρεχώρησε δὲ τῷ κατὰ διαδοχὴν τοῦ τριγώνου δεσπότῃ Διὶ ἅ ἐστιν ἔτη ἐλάχιστα ἐπιμερίσαι ιβ'· γίνονται ξϛ'. ὁμοίως δὲ καὶ τῇ Ἀφροδίτῃ διὰ τὴν συμπάθειαν τοῦ τριγώνου καὶ νυκτερινὴν αἵρεσιν ἡ Σελήνη ἐπεμέρισεν τὰ νδ' καὶ ὁ Κρόνος διὰ τὴν ἐναντίαν τοῦ ὑψώματος στάσιν τουτέστι τὸν Ζυγὸν ἔτη λ'· γίνονται πδ'. ὁ δὲ Ἑρμῆς διὰ τὴν πρὸς Κρόνον συνοικοδεσποτίαν ἔλαβεν παρ' αὐτοῦ τὰ τέλεια ἔτη νζ' καὶ παρὰ τοῦ Ἡλίου τὰ ἐλάχιστα ιθ'· γίνονται οϛ'.

<ζ'.> Περὶ χρόνων διαιρέσεων ἐπὶ κλήρου τύχης καὶ δαίμονος καὶ ἐπεμβάσεως ἀστέρων καὶ οἰκοδεσποτῶν καὶ συνόδου καὶ πανσελήνου μεθ' ὑποδείγματος καὶ ἀντιπαραδόσεως.

Τούτων οὕτως ἐχόντων σκοπεῖν δεήσει ἐπὶ τῆς διαιρέσεως τόν τε παραδιδόντα καὶ παραλαμβάνοντα πότερον ἐπίκεντροι ἢ ἀποκεκλικότες, ὁμογνωμονοῦντες ἢ ἀλλότριοι τυγχάνουσιν. ἐὰν γὰρ ζῳδιακῶς

7-8 τῶν κ. δ. ὑδροχόων V diametrus est Leoni, Solis domui. 11 αἰγοκέρου V. 13 συναναιρετιστῇ V. τριγώνοις V ut vid. Sagittarius Iovis et Leo Solis domus eiusdem sunt trigoni. 16 τριγώνου utrum habeat V an τριγωνικὴν vel sim. incertum. 19 ἀτϊμϊμον V. πυρώδη iterat V. 20 τόπον V. 22 post ἐλάχιστα signa quaedam spatii explendi causa V. nempe ἐπιμερίσας. νβ' ut vid. V. 24 at Venus non in Ariete, sed in Piscibus exaltatur. 26 ἔλαβον V. Merc. et Sat. in eodem trigono regnant. 29-30 συνόδ et πανσελήν V.

μὲν ἡ διαίρεσις ἀπὸ ἐπικέντρων τόπων εἰς ἐπικέντρους παραγένηται, ὁμοίως δὲ καὶ οἱ τούτων οἰκοδεσπόται ἐπίκεντροι τύχωσιν ὑπὸ ἀγαθοποιῶν μαρτυρούμενοι καὶ οἰκείας αἱρέσεως, ἀγαθὴν τὴν χρονοκρατορίαν ἀποτελοῦσι καὶ ἐπίσημον. ἐὰν δὲ οἱ μὲν τόποι ἐπίκεντροι, οἱ δὲ κύριοι ἀποκεκλικότες ἢ ὑπὸ κακοποιῶν μαρτυρούμενοι, ἀνώμαλον τὸν χρόνον καὶ ἐπιτάραχον δηλοῦσιν. ἐὰν δὲ τὰ πάντα σχήματα ἐν ἀποκλίμασιν εὑρεθῇ, κάκιστος ὁ χρόνος καὶ αἰτίας καὶ ζημίας ἐπάγων· γίνεται δὲ κατὰ τούσδε τοὺς χρόνους ἐν ξενιτείαις καὶ πράξεων μεταβολαῖς, καὶ ἐὰν μὲν ἀγαθοποιοὶ τύχωσιν ἢ ὑπὸ ἀγαθοποιῶν μαρτυρούμενοι, ἐπὶ ξένης πραγμάτων κατόρθωσιν ποιησάμενοι ἐπωφελῶς διάξουσιν. ἐὰν δὲ κακοποιοί, καὶ ἐπὶ ξένης ταραχαῖς καὶ ζημίαις περιτραπήσονται ἢ καὶ ἀπὸ ξένων καὶ δούλων προδοθήσονται· ὅθεν τὰ ἀποκλίματα ξένης σημαντικά. ἐὰν δέ πως ἐπίκεντροι εὑρεθῶσιν ἢ ἰδιοτοποῦντες, κατοχὰς σημαίνουσιν εἴς τινας τόπους ἢ ἐπιμονάς. Ἑρμῆς μὲν οὖν καὶ Ἀφροδίτη οὔτε μακρὰς οὔτε πολυχρονίους τὰς ἀποδημίας παρέχουσιν, ἐπεὶ οὐ πολὺ ἀφίστανται τοῦ Ἡλίου· Κρόνος δὲ καὶ Ἄρης καὶ Σελήνη ὑπερορίους καὶ ἐπικινδύνους ἐπί τε γῆς καὶ θαλάσσης καὶ ἐν πλάναις ἢ βαρβάροις τόποις γινομένους. Ἥλιος δὲ ἐπιδόξους καὶ ἐντίμους καὶ εὐσυστάτους· Ζεὺς δὲ ἐπωφελεῖς καὶ πολυφίλους καὶ ἡδέως διάγοντας ἐπὶ τῆς ξένης.

Ἐὰν οὖν χρόνους σωματικούς τις ἐν ἐκκέντρῳ κατάγῃ ζῳδίῳ ἢ καὶ ὁ κύριος ἔκκεντρος τύχῃ ὑπὸ κακοποιῶν μαρτυρούμενος, ἐν ἀσθενείᾳ γενήσεται καὶ αἱμαγμοῖς ἢ κινδύνοις. ἐὰν δέ τις κατὰ τὸν δαίμονα τοὺς χρόνους κατάγῃ ἐν ἐκκέντρῳ ζῳδίῳ καὶ κακοποιὸς ἐπῇ ἢ καὶ τῷ οἰκοδεσπότῃ τοῦ ζῳδίου μαρτυρήσῃ, ἀπρακτήσει καὶ ἐν δυστυχίαις διάξει καὶ ἀκαταστατήσει τῇ ψυχῇ κακωτικῶς διάγων περί τε τὰς πράξεις καὶ τὰς ἐπιβολάς· καὶ ἐὰν μὲν ἐν πυρώδει ζῳδίῳ εὑρεθῇ κατάγων τὸν χρόνον κακοποιῶν ἐπόντων ἢ μαρτυρούντων, ἔκλυσιν ψυχῆς μεγίστην ἕξει καὶ παρὰ προαίρεσίν τινα διαπράξεται ἀστατῶν τῇ γνώμῃ· ἐὰν δὲ ἐν ἀερώδει καὶ ᾖ κεκακωμένον τὸ ζῴδιον ἢ ὁ κύριος, μετεώρως καὶ ἐπιλύπως διάξει καὶ ἄλλα διαπρασσόμενος ἕτερα προσδοκήσει· ἐὰν δὲ ἐν γεώδει ζῳδίῳ, τὰ μὲν προσπίπτοντα γενναίως οἴσει, διὰ δὲ τῆς ἰδίας ἐγκρατείας τῶν πλείστων περιέσται ἐννοηματικῶς· ἐὰν δὲ ἐν ὑδατώδει ζῳδίῳ, εὐπαρηγόρητον τὴν ψυχὴν κεκτημένος καὶ ἔν τισιν ἀνωμαλίσας πολλῶν πραγμάτων κατόρθωσιν ποιήσει καὶ περὶ τὰς ἐγχειρήσεις εὐεπήβολος ἔσται. πάντοτε μὲν οὖν ἰδικῶς αἱ πράξεις καταλαμβάνονται ἔκ τε τοῦ δαίμονος καὶ οἰκοδεσπότου· εἰσὶ γάρ τινες σωματικὰς μὲν πράξεις ἔχοντες, οἷον διὰ χειρῶν ἐργαζόμενοι, καὶ σωματικὰς κακοπαθείας ἀχθίσεως ἢ γυμνασίας· ἕτεροι δὲ ἀπὸ λόγου καὶ ἐπιστήμης καὶ ψυχῆς ἐνεργείας. ὅπου δὲ ἂν πλείους ἀστέρες προσνεύσωσιν ἤτοι τῷ κλήρῳ ἢ τῷ δαίμονι, ἐκεῖθεν τὸ πρακτικὸν

8 ξενιτίαις V. 18 γένομένους V, corr. Wdl. 30 μετέωρος V[a]. 39 nempe <διὰ> ἀχθ. ἀχθέσεως V, corr. H.

δηλωθήσεται. συνεπικρίνειν οὖν δεῖ τὰς πράξεις καὶ τὴν καθολικὴν ὑπόστασιν, ἤτοι ἔνδοξος ἢ μετρία ἡ γένεσις ἢ καὶ εὐδαίμων ἢ πενιχρὰ ἢ ἐπίδικος ἢ ἀνώμαλος, ἵνα ἐν τοῖς ἐπιμερισμοῖς καὶ τὰ ἀποτελέσματα προφανῆ γένηται. οἱ μὲν οὖν τὰς πράξεις ἀποτελοῦντες ὁ τῆς Ἄρεος καὶ τῆς Ἀφροδίτης καὶ τοῦ Ἑρμοῦ, ὁ δὲ τοῦ Κρόνου ἐπιτηδεύματα καὶ ὅσα ποτὲ δι' ὑγρῶν ἢ κακοπαθείας καὶ κληρουχίας γίνεται. ταπεινοὶ μὲν οὖν καὶ ἄδοξοι καταλαμβάνονται ἔκ τε Κρόνου καὶ Ἄρεος Διὸς ἀπόντος, ἔνδοξοι δὲ καὶ εὔποροι ἔκ τε Ἡλίου καὶ Σελήνης συμπαρόντων τῶν ἀγαθοποιῶν ἢ συνεπιμαρτυρούντων. ἐὰν οὖν ἡ διαίρεσις ἀπὸ τοῦ δαίμονος εἰς τὸ μεσουράνημα τοῦ κλήρου τῆς τύχης ἔλθῃ ἢ εἰς αὐτὸν τὸν κλῆρον τοῦ κυρίου συμπαρόντος καὶ ὑπὸ ἀγαθοποιοῦ μαρτυρουμένου ἢ καὶ Ἡλίου ἢ καὶ Σελήνης, ἐπὶ λαμπρᾶς μὲν οὔσης τῆς ὑποστάσεως ὁ γεννώμενος ἐν ἡγεμονίαις καὶ μεγάλαις δόξαις γενήσεται ἐπίσημός τε καὶ ἀρχικὸς καὶ προφανὴς κατ' ἐκείνους τοὺς χρόνους καὶ ὑπὸ πολλῶν μακαριζόμενος διὰ τὴν περὶ αὐτὸν εὐδαιμονίαν. καὶ ἐπὶ τοῦ ὡροσκόπου δὲ καὶ ἐπὶ τοῦ μεσουρανήματος καὶ ἐπὶ τῶν λοιπῶν κέντρων ἡ διαίρεσις γενομένη δόξας ἀποτελεῖ, οὐχ ὁμοίως δέ· ἐνεργέστεροι γὰρ οἱ τῶν κλήρων τετράγωνοι τόποι. ἐὰν δὲ τούτων οὕτως ὄντων μετρία ἡ ὑπόστασις εὑρεθῇ, ἔσται ἐν πράξεσιν ἢ ὠφελείαις καὶ μείζοσι φίλοις καὶ δωρεᾶς καὶ τιμῆς καταξιωθήσεται καὶ εὐημερήσει καὶ προκόψει περὶ τὴν τῆς ἀσχολίας ἐνέργειαν, καὶ ἐὰν μάλιστα ἀγαθοποιοὶ ἐπῶσιν ἢ μαρτυρῶσιν· εἰ δὲ κακοποιοί, τὰ μὲν τῶν τόπων γενήσεται καθὼς πρόκειται προφανῆ, ἕνεκα δὲ τῆς τῶν κακοποιῶν μαρτυρίας ἐναντιώμασι καὶ ζημίαις περιτραπήσονται καὶ ἀπαράμονον τὴν τῆς ἀγαθοποιίας ἀφορμὴν ὑπομένοντες. ὥσπερ δὲ ἕκαστος τῶν ἀστέρων ἐπὶ τοῦ κύκλου ζῳδιακῶς ἐστοιχειογράφηται κατὰ τοὺς οἴκους, τὸ ὅμοιον καὶ ἐπὶ γενέσεως σχηματισάμενος συμπαθὴς πρὸς ἕτερον γενήσεται.

<η'.> Ὑπόδειγμα ἀναγκαῖον.

Ἔστω ἐπὶ ὑποδείγματος γένεσις οὕτω ἔχουσα. Ἥλιος Ἀφροδίτη Καρκίνῳ, Σελήνη ὡροσκόπος Ἰχθύσιν, <Κρόνος> πανσέληνος Τοξότῃ, Ζεὺς <Αἰγόκερῳ>, Ἄρης Σκορπίῳ, Ἑρμῆς Λέοντι, ὁ κλῆρος τῆς τύχης Λέοντι, ὁ Δαίμων Σκορπίῳ· ζητῶ δὲ ἔτος ο'. ἀπέλυσα τοὺς μὲν σωματικοὺς χρόνους ἀπὸ Λέοντος, δοὺς αὐτῷ πρώτῳ Λέοντι ἔτη ιθ'· εἶτα Παρθένῳ ἔτη κ', εἶτα Ζυγῷ ἔτη η', εἶτα Σκορπίῳ ἔτη ιε'· γίνεται ἔτη ξβ'. ἐν τούτοις πολλοὺς μὲν κλιμακτῆρας ἔσχε καὶ ἀπὸ ὕψους πτώσεις καὶ μελῶν θραύσεις. καὶ ἑξῆς τὰ λοιπὰ ἔτη η' ἀπὸ Τοξότου

4 γενήσεται V. 5 fors. [καὶ] ὅσα. 12 dele ἐπὶ (nisi fuit ἐπόντων). 13-14 γενήσονται V. 20 possis φιλίαις aut φίλοις <χρήσεται> vel sim. 21 εὐημερῖσει V. fors. παρὰ τὴν. ἀσχολείας V. 24 ζημίας V. 29 ὑποδείγματος V. 31 post Sagittarii signum ☾ π ut vid. (= πανσέληνος ?), transposui.

ἐπικειμένου Κρόνου παρ' αἵρεσιν· ἐν τούτοις καὶ ναυάγια καὶ σωματικὰς ὀχλήσεις ὑπέμεινεν. τὴν δὲ αἰτίαν τοῦ πάθους ἀπὸ τοῦ ζῳδίου ἔνθα εὑρίσκεται ὁ κύριος τοῦ κλήρου διοδεύων λαμβάνομεν· οἷον ὁ κλῆρος Λέοντι, ὁ κύριος τοῦ Λέοντος Ἥλιος εὑρέθη ἐν τῷ Καρκίνῳ· σημαίνει δὲ ὁ Καρκίνος στῆθος καὶ στόμαχον· τὴν αἰτίαν οὖν τοῦ πάθους λέγομεν γεγενῆσθαι ἀπὸ τοῦ Καρκίνου. τοὺς ἐπιμερισμοὺς γὰρ λαμβάνει τῶν ἐτῶν καὶ ἀνὰ τξ' ἡμέρας ποιεῖ· τὰς γὰρ ε' δ' κατ' ἴδιον ψηφίζων προστιθεῖ τοῖς ἔτεσι. ἔδωκεν οὖν τῷ Τοξότῃ ἐνιαυτόν· γίνονται ἔτη β' μῆνας γ'· Ὑδροχόῳ ἔτη β' μῆνας ϛ'· Ἰχθύσιν ἐνιαυτόν· εἶτα Κριῷ τὰ λοιπὰ εἰς συμπλήρωσιν τῶν θ' ἐτῶν. Ἄρης οὖν τῶν σωματικῶν χρόνων κυριεύσας ἀπὸ Τοξότου παραλαβὼν Κρόνου ἐπικειμένου τῷ Τοξότῃ τέλος ἐπήγαγεν· ἐτελεύτα δὲ προσινωθεὶς στόμαχον καὶ βηχὸς προπειραθείς· ἦν γὰρ καὶ ὁ θανατικὸς τόπος Ἰχθύες Σελήνης ἐπικειμένης καὶ Κρόνου καθυπερτεροῦντος, ἐξ οὗ ἡ δυναστεία. ἄλλως τε καὶ αὐτὸς ὁ κύριος τῆς πανσελήνου Κρόνος ἀπόστροφος γενόμενος τὸ εἶδος τῆς βιαιοθανασίας ἐπήγαγε. τὸ δὲ σίνος τοῦ στομάχου καὶ βηχός, ἐπεὶ ὁ κύριος τοῦ κλήρου Ἥλιος ἐν Καρκίνῳ εὑρέθη· ὁ δὲ Καρκίνος στῆθος καὶ στόμαχον δηλοῖ. τοὺς δὲ πρακτικοὺς χρόνους ἐποιησάμην ἀπὸ Σκορπίου αὐτῷ τῷ Ἄρει δοὺς ἔτη ιε', εἶτα Τοξότῃ ιβ' ἐπικειμένου Κρόνου· ἕως ἐτῶν κζ' ἀνώμαλος ἀλήτης γέγονεν. ὑπὸ δὲ ἐπιτρόπων ἱκανὸς βίος αὐτοῦ ἀνηλώθη· ἦν γὰρ καὶ ὁ περιποιητικὸς Διδύμοις καὶ οὐδεὶς τῶν ἀγαθοποιῶν ἐπεθεώρησε, μόνος δὲ Κρόνος ἠναντιώθη. εἶτα ἑξῆς Αἰγόκερως παρέλαβεν ἐπὶ ἔτη κζ', Διὸς ἐπικειμένου καὶ ἀγαθοδαιμονοῦντος, ἀκρονύκτου δὲ ὑπὸ Ἡλίου καὶ Ἀφροδίτης θεωρουμένου, καὶ ὅλην μὲν τὴν χρονογραφίαν ἔμπρακτον κατήγαγε καὶ δημοσίας καὶ βασιλικὰς πράξεις ἐπιστεύθη καὶ γέγονεν ἡγεμόνων καὶ βασιλέων φίλος καὶ ἐκτήσατο πολλὰ ὁμολογουμένως· ἐναντιώματα δὲ καὶ ἀνωμαλίας κατὰ καιρὸν ὑπομένων κατὰ τὰς τῶν κακοποιῶν παραλήψεις ἢ ἐπιμαρτυρίας, ἀπαράμονον δὲ τὴν κτῆσιν διὰ τὸ ἀφαιρετικὸν εὑρῆσθαι τὸν Δία καὶ ἰδίῳ ταπεινώματι. μετὰ δὲ τὸν Αἰγόκερω παραλαβόντος τοὺς χρόνους Ὑδροχόου Ἄρεος καὶ Ἑρμοῦ μαρτυροῦντος τῶν ἀγαθοποιῶν ἀποστρόφων ὄντων αὐτὸς μὲν τῶν πράξεων ἐπαύσατο, πολλὰ δὲ ἀφελῶς πιστεύσας ἀπώλεσεν, οἰκείοις δὲ καὶ δούλοις τὰς πίστεις ἐνεχείρησεν, ὧν δι' ἀμέλειαν καὶ σπάνιν χρεωστίαις περιπεσὼν ἔκπτωτος εὑρέθη διὰ τὸ καὶ τὴν καθολικὴν ὑπόστασιν οὕτω φέρειν. αὐτὸς οὖν Ὑδροχόος ἔλαβεν ἔτη β' μῆνας ϛ', εἶτα Ζεὺς ἐνιαυτὸν α',

1 Saturnus die gaudet et παρ' αἵρεσιν est, si in signo nocturno versatur; ergo in alio potius esset atque in Sagittario (Bouché-Leclercq, 156); cf. ad v. 11. 5 στομάχου V. 7 δ'] λ' V. 8 nempe Αἰγοκέρωτι. 10 Mars enim Scorpii dominus est, in quo est Daemon. 11 supra Sagittarii signum Arietis posuisse vid. V[b]. 12 ἐπάγαγεν V. 14 Saturnus in Sagitt. positus καθυπερτερεῖ Pisces (*Catal.*, I, 157). 16 ἀπήγαγε V. 19 nempe τῷ Σκορπιῷ aut τῷ <Σκ. διὰ τὸν> Ἄρεα. 21 περιπ. est undecimus locus a Sorte Fortunae. 22 ἐπιθεώρησε V. 23 XI. enim locus est boni genii. 24 ἀκρωνύκτου V. 31 ἀπόλεσεν V. δὲ] τε V.

εἶτα Ἄρης ἐνιαυτὸν καὶ μῆνας γ', εἶτα Ἀφροδίτη μῆνας η', εἶτα Ἑρμῆς ἐνιαυτὸν α' μῆνας η'· ἔκτοτε εἰς μείωσιν πολλὴν ἐχώρει τὰ πράγματα· εἶθ' ἑξῆς Σελήνη παρέλαβε ἔτη β' μῆνα α'· ἐν τούτοις ἔδοξέν τινα ἀπειληφέναι τὰ προπεπιστευμένα καὶ [εἰς] φίλων βοηθείας τετευχέναι. εἶτα ὁμοίως ἔλαβεν ὁ Ἥλιος ἐνιαυτὸν α' μῆνας ζ' ἐν Λέοντι καὶ Ἑρμῆς Παρθένῳ ἐνιαυτὸν α' μῆνας η'· κακοποιῶν οὖν μαρτυρησάντων τοῖς τόποις καὶ τῷ Ἑρμῇ ἐν τούτοις τοῖς χρόνοις καθῃρέθη· καὶ γὰρ ὁ κλῆρος ἐν ἀποκλίσει εὑρέθη καὶ ὁ κύριος τοῦ τριγώνου τῆς Σελήνης Ἄρης. μετὰ δὲ τὸν τοῦ Ἑρμοῦ ἔλαβεν Ἀφροδίτη μῆνας η', ἑξῆς Ἄρης ἐνιαυτὸν μῆνας γ', εἶτα Τοξότης ἐνιαυτὸν α'· καὶ τὸ τέλος ἐγένετο.

<θ'.> Περὶ κοσμικοῦ ἐνιαυτοῦ καὶ τοῦ πρὸς τὴν διαίρεσιν ἐνιαυτοῦ, πόσων ἑκάτερος ἡμερῶν ἐστι καὶ πῶς δεῖ λογίζεσθαι.

Ἐπεὶ δὲ ὁ μὲν κοσμικὸς ἐνιαυτός ἐστιν ἡμερῶν <τ>ξε' δ', πρὸς δὲ τὴν διαίρεσιν ὁ ἐνιαυτὸς λζ', τὰς ἀνὰ ε' ἑκάστου ἔτους ἀφαιροῦντες καὶ τὸ τέταρτον τῶν ἐνιαυτῶν καὶ συναγαγόντες τὰ ἔτη τότε τὰς διαιρέσεις ποιησόμεθα· οὕτως γὰρ καὶ ἐπὶ τῆς προκειμένης γενέσεως ἐλογισάμεθα. οἷον ἔστω τινὰ κατὰ γένεσιν λγ' ἔτη κατάγειν, γεγενῆσθαι δὲ Τῦβι ιε', ζητεῖν δὲ τοῦ λγ' ἔτους Μεσωρὶ κ'. ἔλαβον τῶν λ' ἐτῶν τὰς ἀνὰ ε'· γίγνονται ρν'· καὶ τῶν δύο τῶν πλήρων ι' καὶ τὸ τέταρτον τῶν λβ'· γίνονται η'· γίνονται ὁμοῦ ρξη'. εἶτα ἔλαβον ἀπὸ τῆς ιε' τοῦ Τῦβι ἕως ἧς ζητοῦμεν ἡμέρας Μεσωρὶ κ'· γίνονται σιε'· ταύτας προσέθηκα ταῖς ρξη'· γεγόνασι τπγ'· ἐκ τούτων ἀφαιρῶ τξ'· λοιπαὶ κγ'. ἔσται οὖν ἡ γένεσις κατάγουσα ἔτη κατὰ τὴν διαίρεσιν πλήρη λγ' καὶ ἡμέρας κγ'· ταῦτα τὰ ἔτη καὶ τὰς ἡμέρας ἐν τῇ τῶν χρόνων ἀφέσει ποιοῦμαι.

<ι'.> Περὶ μερισμοῦ ἐτῶν καὶ μηνῶν καὶ ἡμερῶν πλειόνων καὶ ἐλαττόνων καὶ ὡρῶν ἑκάστου ἀστέρος καὶ τούτων χρήσεις εἰς τὰς γενέσεις.

Καθάπερ δὲ ἑκάστης περιόδου τὸ ιβ' τῶν ἐτῶν λαβόντες ἐπιγνωσόμεθα, πόσας ἕκαστος ἡμέρας μερίζει. οἷον ἐπεὶ ὁ Κριὸς μερίζει ἔτη ιε', τούτων τὸ ιβ' εἰσὶ μῆνες ιε'· ὁμοίως τούτων τὸ ιβ' ἡμέραι λζ' ἥμισυ· καὶ πάλιν τούτων τὸ ιβ' ἡμέραι γ' ὧραι γ'. ταῦτα μερίζειν κατὰ τὸν ἐπιβάλλοντα χρόνον. καὶ τῶν ἄλλων ἀστέρων ὁ ἐπιμερισμὸς οὕτως εὑρεθή-

3 ἔδοξαν V. 5 sc. nunc ad Aquarii diametrum transitur. 7 sc. Sors Fortunae VI. est loco. 9 ἔλαβον V. Venus ut Librae, Mars ut Scorpii dominus. 19 γεγονῆσθαι V. 20 μεσορὶ hic et infra V. 21 pleni sunt anni XXXI et XXXII, cum XXXIII non iam sit plenus. 24 τπς' V. 31 an καθάπαξ?

σεται, οἷον ἐάν τις τῇ διαιρέσει προσέχῃ καὶ πρὸς καθολικοὺς χρόνους καὶ ἐνιαυσιαίους καὶ μηνιαίους καὶ πρὸς ἡμέρας καὶ ὥρας εὕρῃ. λεπτομερέστερον οὖν ὑποτάξομεν τὰ ἐπιβάλλοντα ἑκάστῳ ἀστέρι πρὸς τὸ μὴ πλέκεσθαι τοὺς ἐντυγχάνοντας. οἷον Ἥλιος ἔτη ιθ' μῆνας ιθ' ἡμέρας μζ' ἥμισυ ἡμέρας γ' ὥρας κγ'. Σελήνη ἔτη κε' μῆνας κε' ἡμέρας ξβ' ἥμισυ ἡμέρας ε' ὥρας ε'. Κρόνος ἔτη λ' μῆνας λ' ἡμέρας ο<ε'> ἡμέρας ς' ὥρας ς'. Αἰγόκερως ἔτη κζ' μῆνας κζ' ἡμέρας ξζ' ἥμισυ ἡμέρας ε' ὥρας <ι>ε'. Ζεὺς ἔτη ιβ' μῆνας ιβ' ἡμέρας λ' ἡμέρας β' ὥρας ιβ'. Ἄρης ἔτη ιε' μῆνας ιε' ἡμέρας λζ' ἥμισυ ἡμέρας γ' ὥρας γ'. Ἀφροδίτη ἔτη η' μῆνας η' ἡμέρας κ' ἡμέρας α' ὥρας ις'. Ἑρμῆς ἔτη κ' μῆνας κ' ἡμέρας ν' ἡμέρας δ' ὥρας δ'. Ἐπὰν οὖν εὕρωμεν γένεσιν ἐτῶν ν' ἢ ξ', τὴν ἄφεσιν τῶν ἐτῶν ποιησόμεθα ἀπὸ κλήρου τύχης ἢ δαίμονος ζῳδιακῶς, διδόντες ἑκάστῳ τὴν περίοδον τῶν ἐτῶν ἐφ' ὅσον δύναται ὑπακούειν. εἶτα μῆνας δώσομεν, εἶτα ἡμέρας καὶ ὥρας. ἐὰν δὲ νηπίου ἡ γένεσις εὑρεθῇ, ἀπὸ τῆς ἀφέσεως πρῶτον ὥρας μεριοῦμεν, εἶτα ἡμέρας εἶτα μῆνας.

Οἷον ἔστω ὑποδείγματος χάριν Ἥλιος Ἑρμῆς Αἰγοκέρωτι, Κρόνος Ζεὺς Λέοντι, Ἄρης Ἀφροδίτη Ὑδροχόῳ, Σελήνη Διδύμοις, ὡροσκόπος Λέοντι, ὁ κλῆρος τῆς τύχης Ἰχθύσιν, ὁ τοῦ δαίμονος Αἰγοκέρωτι· ἔνθεν καὶ ἡ ἄφεσις ἔστω τῆς τύχης ἀπὸ Ἰχθύων. ζητεῖν τοῦ τετάρτου ἔτους Μεσωρὶ ις' σὺν ταῖς ἀνὰ ε' ἑκάστου ἔτους. ἐπεὶ οὖν τοῖς Ἰχθύσι τὰ ιβ' οὐδέπω ἐμέρισε, δέδωκα αὐτοῖς ἔτος α', εἶτα Κριῷ ἔτος α' μῆνας γ', Ταύρῳ μῆνας η'· γίνεται ἔτη β' μῆνες ια'. εἶθ' ἑξῆς δώσει Ἑρμῇ ἔτος α' μῆνας η' ἕως συμπληρώσεως τῶν τεσσάρων ἐτῶν καὶ μηνῶν ζ'· οὐδέπω δ' ἡ γένεσις πεπλήρωκε τοῦτον τὸν χρόνον. ἔστω οὖν χρονοκράτωρ Ἑρμῆς ἤδη ἔχων μῆνας η' ἡμέρας ιε'· γίνονται ἡμέραι σνε'· ταύτας δέον ἐπιμερίσαι κατὰ τὸ ἑξῆς· ἐξ ὧν ἑαυτῷ πρῶτον Ἑρμῆς τουτέστι τοῖς Διδύμοις ἔδωκεν ἡμέρας ν', εἶτα Καρκίνῳ ἡμέρας ξβ' ἥμισυ, εἶτα Λέοντι ἡμέρας μζ' ἥμισυ, εἶτα Παρθένῳ ν', εἶτα Ζυγῷ κ'· γίνονται ἡμέραι σλ'· λοιπαὶ ἡμέραι κε'. ταύτας Ἄρης ἕξει ἐν Σκορπίῳ ἐκ τῶν τῆς Ἀφροδίτης ἡμερῶν καὶ μέχρι συμπληρώσεως τῶν λζ' ἥμισυ· τὰς οὖν κε' ἡμέρας ὁ Ἄρης ἐπιμερίσει τοῖς ἑξῆς· πρῶτον δὲ ἑαυτῷ ἡμέρας γ' ὥρας γ', εἶτα Τοξότῃ ἡμέρας β' ἥμισυ, εἶτα Αἰγόκερῳ ἡμέρας ε' ὥρας ιε', εἶτα Ὑδροχόῳ ἡμέρας ς' ὥρας ς', εἶτα Ἰχθύσι ἡμέρας β' ἥμισυ· Κριῷ ἡμέρας γ' ὥρας γ', Ταύρῳ εἰς συμπλήρωσιν τῶν κε' ἡμερῶν τὰς λοιπάς. καθολικὸς οὖν κοσμοκράτωρ Ζεύς, δεύτερος Ἑρμῆς ἀπὸ Διὸς παραλαβών, τρίτος Ἄρης ἀπὸ Ἑρμοῦ, τετάρτη Ἀφροδίτη ἀπὸ Ἄρεος. σκοπεῖν οὖν δεήσει τούτους ἐπὶ γενέσεως, πῶς εἰσι κείμενοι καὶ πῶς πρὸς ἀλλήλους σχηματίζονται, καὶ οὕτως ἀποφαίνεσθαι.

1 προσέχει V. 2 verba non sana. 6 μηνῶν ex μῆνας aut contra V. 7 mire stellis interponitur signum. 8 μῆνες V. ἡμέραι λ' V. 21 μεσορὶ V. 24 etiam Ἑρμῆς legere licet, cf. 28. 29 νζ' V. 36 nempe χρονοκράτωρ.

Τινὲς μὲν οὖν καὶ τὰς ἡμέρας κατὰ τὸ τρίγωνον ἐπιμερίζουσιν· ὅθεν ἐπί τινων γενέσεων καθολικὸς μὲν εὑρεθεὶς ἀγαθοποιὸς κοσμοκράτωρ ἢ καὶ Ἥλιος ἢ καὶ Σελήνη δόξαν καὶ ἡγεμονίαν περιεποίησεν ἢ καὶ ἀρχὰς ἐπισήμους καὶ ὠφελείας καὶ συστάσεις μειζόνων. ἐν οἷς χρόνοις κατ' ἐπιμερισμὸν κακοποιὸς παραλαβὼν τὴν ἐπιδιαίρεσιν ἀσθενείας σωματικὰς ἢ καὶ κινδύνους ἐποίησεν ἢ καὶ ἄλλως ἡμέρας παραλαβὼν καὶ ἐναντιωθεὶς τῷ καθολικῷ χρονοκράτορι ἢ ἀνοικείως σχηματισθεὶς κατὰ γένεσιν καὶ κατὰ πάροδον ταραχὰς καὶ φόβους καὶ ζημίας κατεσκεύασε. καὶ ἐὰν μὲν ὁ καθολικὸς χρονοκράτωρ ἐπὶ γενέσεως κακῶς τύχῃ κείμενος ἢ ὑπὸ κακοποιῶν κατοπτευόμενος, ἐν ταῖς τούτων κατ' ἐπιδιαίρεσιν ἡμέραις καθαιρεθήσονται ἢ κινδυνεύσουσιν ἢ ἐναντία γενήσονται. ἐὰν δὲ τούτων παραλαβόντων ὁ καθολικὸς χρονοκράτωρ ἐν χρηματιστικοῖς ζῳδίοις εὑρεθῇ ὑπὸ ἀγαθοποιῶν μαρτυρούμενος παροδικῶς, ἐπισκυλέντες τῷ βίῳ καὶ τῇ δόξῃ ἄπταιστοι διαμενοῦσι. δεῖ δὲ καὶ ἐπὶ τῶν ἡμερησίων διαιρέσεων συνδέσμου λύσιν μετὰ τὸ συμπληρωθῆναι τοῦ κύκλου ἡμέρας φκη' τὰς λοιπὰς ἐν τῷ διαμέτρῳ τῆς ἀφέσεως ποιεῖσθαι ἐφεξῆς· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν κατὰ λεπτομέρειαν ἡμερῶν καὶ ὡρῶν μετὰ τὸ συμπληρωθῆναι τοῦ κύκλου ἡμέρας μδ' τὰς λοιπὰς ἐκ τοῦ διαμέτρου κατὰ τὸ ἑξῆς ἀπολύειν.

<ιαʹ.> Περὶ ἐνιαυτοῦ χρηματιστικοῦ καὶ μερικῆς ἀγωγῆς.

Τῶν καθολικῶν καὶ χρονικῶν διαιρέσεων κατ' οἰκειότητα οὕτως διατεταγμένων νῦν καὶ περὶ ἐνιαυτοῦ χρηματιστικοῦ καὶ τῆς τούτων ἀκολουθίας λεκτέον. ὀλίγα δέ τινα πρότερον εἰπεῖν πρὸς τοὺς τὰ τοιαῦτα γεγραφότας ἀναγκαῖον. οἱ πολλοὶ τὴν τῶν χρόνων διαίρεσιν ποικίλως καὶ ἐπιφθόνως ἐκθέμενοι οὐδεμίαν ἀληθείας αἵρεσιν παρέδωκαν, ἱκαναῖς δ' ἀγωγαῖς τὸν τόπον καθείρξαντες πλάνην μεγίστην καὶ ἀΐδιον ζήτησιν τοῖς ἐντυγχάνουσι κατέλιπον. τινὲς μὲν γὰρ ἀπειρίᾳ ἐνεχθέντες διὰ τῆς τῶν λόγων ὕλης ψευδεῖς αἱρέσεις εἰσενεγκάμενοι ἐξηπάτησαν πολλούς, ἕτεροι δὲ τὴν δύναμιν τῆς πραγματείας ἰδόντες καὶ τὰς ἀρχὰς ἐκθέμενοι τὰς ἐπιλύσεις οὐκ ἐποιήσαντο διὰ τὸν φθόνον. ἡμεῖς δὲ πολλὴν μὲν χώραν διοδεύσαντες καὶ τὴν Αἴγυπτον διελθόντες διδασκάλοις φιλαργύροις περιπεσόντες τὰς μὲν τῶν χρημάτων δόσεις ἐποιησάμεθα διὰ τὴν περὶ τὸ ἔργον ἐπιθυμίαν, τῆς δ' ἀληθείας μὴ τυγχάνοντες ἐγκρατέστερον καὶ αὐτάρκη ἑλόμενοι βίον περὶ ἕτερα ἠσχολήμεθα. ἐπεὶ.δὲ τὸ πρόβλημα τῶν πλείστων καὶ μαθημάτων καὶ

4 ἀφελείας V. 6 fors. ἄλλος. 11-12 nempe ἐν αἰτίᾳ γεν. 15 fors. λύσιν <ποιεῖσθαι καὶ>. 16 per totum signiferum distribue dies quos stellae dant secundum domicilia, ita tamen ut Capricorno non 75 sed 67 1/2 des: habebis 527 1/2 dies. 19 re vera sunt 43 23/24 dies. 20 μερικῆς scripsi dubitanter] $\overset{\epsilon}{\mu}$ V. 27 κατέλειπον V^a. 34 αὐτάρκως V. 35 sequentia corrupta, possis καὶ μαθηματικωτάτων <ὂν> καὶ <ἢ> τῶν.

τῶν καθολικῶν χρόνων διαίρεσις ἀνθεῖλκον ἡμᾶς καὶ μείζω τὴν ἐπιθυμίαν κατεσκεύαζον, ἀνάγκῃ τὴν ἐπιμονὴν ἐποιούμεθα. διαβολῆς δὲ γενομένης περὶ τὰς καθολικὰς τῶν διαιρέσεων ἀγωγάς, αἷς τινες μὲν ἐχρήσαντο πρὸς τὰς τῶν ὁρίων ἀκολουθίας, ἕτεροι δὲ πρὸς τὰς μικρὰς περιόδους, οἱ δὲ πρὸς τὰ δωδεκατημόρια, ἃ συνάγεται ἔτη ρ' καὶ μῆνες θ', ἄλλοι δὲ πρὸς τὰ ὑψώματα, αἱ δὲ τούτων ἐπιδιαιρέσεις τὰς ἐκβάσεις ψευδεῖς ἐσήμαινον — ἔδοξεν καὶ ἡμῖν αἴσχιστον ὑπάρχειν διορίζεσθαι ἀποτέλεσμα ἔτεσι β' ἢ ι' ἢ ζ', ἀλλὰ ζητῆσαι μεριστικοὺς καὶ ἐνιαυσιαίους χρόνους. καὶ δὴ πολὺν μὲν χρόνον ἀνιαρῶς διήγομεν καὶ ἐπιλύπως τὰς μεταβολὰς τῶν τόπων ποιούμενοι τοῖς περὶ τὰ τοιαῦτα ἐσπουδακόσι συμμίσγοντες διάπειραν ἐλαμβάνομεν, μέχρις οὗ .τὸ δαιμόνιον βουληθὲν διά τινος προνοίας τὴν παράδοσιν ἔν τινι τόπῳ πεποίηται διά τινος φιλομαθοῦς ἀνδρός. ἀρχὴν οὖν λαβόμενοι καὶ πολὺν πόνον εἰσενεγκάμενοι κατελαβόμεθα τοῦ σκοποῦ, ὃν καὶ ἐκτησάμεθα ἐπεισενεγκάμενοι καὶ αὐτοὶ πολλὰς δυνάμεων εὐχρηστίας. ἐκ γὰρ τῆς καθημερινῆς τριβῆς καὶ πολυάνδρου συμβολῆς καὶ τῆς τῶν παθῶν αὐτοψίας ἱερὰν μὲν καὶ ἀθάνατον τὴν θεωρίαν ἐκρίναμεν, ἄφθονον δὲ τὴν μετάδοσιν ποιησόμεθα, ἐπειδὴ δοκεῖ συνεκτικώτατον κεφάλαιον παρὰ τὰ λοιπὰ ὑπάρχειν. τούτου γὰρ ἄνευθεν οὐδὲν οὔτε ἔστιν οὔτε ἔσται· ἀρχὴν γὰρ καὶ τέλος ἔχει προγινωσκόμενον.

Ὀρκίζω σε, ἀδελφέ μου τιμιώτατε, καὶ τοὺς μυσταγωγουμένους ταύτῃ τῇ συντάξει οὐρανοῦ μὲν ἀστέριον κύτος καὶ κύκλον δυοκαιδεκάζωδον Ἥλιόν τε καὶ Σελήνην καὶ τοὺς πέντε πλανήτας ἀστέρας, δι' ὧν ὁ πᾶς βίος ἡνιοχεῖται, αὐτήν τε τὴν πρόνοιαν καὶ τὴν ἱερὰν ἀνάγκην, ἐν ἀποκρύφοις ταῦτα συντηρῆσαι καὶ μὴ μεταδοῦναι τοῖς ἀπαιδεύτοις, εἰ μὴ τοῖς ἀξίοις καὶ δυναμένοις διαφυλάσσειν καὶ ἀμείβεσθαι δικαίως, αὐτῷ τε ἐμοὶ Οὐάλεντι τῷ εἰσηγησαμένῳ ἀείμνηστον καὶ ἀγαθὴν φήμην ἀπονέμειν, καὶ μάλιστα ἐπιγνόντας τὸ ἄφθονον καὶ τὸ τῆς ἀληθείας μέρος ὡς ὑπὸ οὐδενὸς ἀνδρὸς ἐπιλελυμένον αὐτὸς ἐφώτισα, μηδὲ παρέντας τὸ ἐμὸν ὄνομα ἑτέρους ἐπεισφέρειν ταύτῃ τῇ συντάξει μηδὲ λωβῆσαί τι τῶν προγεγραμμένων ἢ μελλόντων λέγεσθαι πρὸς τὸ ἀθετῆσαι τοὺς ἐντυγχάνοντας καί μοι ψόγον ἐπενέγκαι. καὶ ταῦτα μὲν διαφυλάσσουσιν οἱ προειρημένοι θεοὶ πάντες εὐμενεῖς ἔσοιντο καὶ βίος εὐσταθὴς καὶ καταθύμιος λογισμῶν συντέλεια, ἐπιορκοῦσι δὲ τὰ ἐναντία, μήτε γῆ βατὴ μήτε θάλασσα πλωτὴ μήτε τέκνων σπορά, τυφλός τε νοῦς καὶ πεπεδημένος ὑπάρχων ἀσχήμονα βίον καὶ ἀνεπίτευκτον ἀγαθῶν ἐπάγοι. ἐὰν δέ τις καὶ μετὰ θάνατόν ἐστι κακῶν τε καὶ καλῶν ἀμοιβή, κἀκεῖ τῶν ὁμοίων μεταλάβοιεν. ὅθεν <εἰ> καὶ

2 κατασκεύαζον V ut vid. 3 ἃς V. 5 τὰ] τὰς V. 9 δεῖ V. 10 ἐπὶ λύπαις V. 11 non opus συμμιγέντες. 14-15 ἐκτησόμεθα V (an ἐκθησόμεθα ?). 19 παρὰ aut περὶ V. 21 fors. <ὅθεν> ὁρκίζω. 22 ἀστήρικτον V. 22-23 possis δυοκαίδεκα ζῳδίων sed verbum male fictum mutare dubito. 26 post καὶ ἀπαιδεύτοις V[a]. 29 μέρος suspectum. 36 αὐχήμονα V. 37 ἀγαθὸν V, corr. M. ἐπάγει V[a].

μετὰ τὴν ἐπίγνωσίν τις τῆς ἐνθάδε διδασκαλίας ἐν ἑτέρῳ συντάγματι αἰνιγματωδῶς εὕροι προκειμένην τὴν αἵρεσιν, οὐκ ἐκείνῳ δεῖ ἐγκώμιον ἀπονέμειν, ἀλλὰ ἡμῖν χάριν ὁμολογεῖν ὡς οὐ μόνον προμηνυταῖς ἀλλὰ καὶ εὑρεταῖς πολλῶν γενομένοις καὶ συγκοσμήσασι τὴν αἵρεσιν. καὶ γὰρ πολλοὶ ἀφθόνως τινὰ παραλαμβάνοντες μετὰ φθόνου συνέταξαν. διὸ προτρέπομαι τοὺς μάλιστα ἐντυγχάνοντας ταύτῃ τῇ συντάξει καὶ εἰς ἀθάνατον χῶρον εἰσερχομένους ἐπί τινας χρόνους καὶ θεῶν χορείας καὶ μυστήρια κατοπτεύσαντας ἰσόθεον δόξαν ἐπαναιρουμένους ἀποτίθεσθαι μὲν τὰς πολλὰς τῶν αἱρέσεων καὶ βίβλων ἀγωγάς, ἐγγυμνασθέντας δὲ τῇ πινακικῇ καὶ φυσικῇ τῶν ἀστέρων καὶ ζῳδίων θεωρίᾳ καὶ τῶν πρὸς τὰ φαινόμενα κανόνων πραγματείᾳ ταύταις ταῖς ἀγωγαῖς προσέχειν καὶ ταῖς προσυντεταγμέναις· καὶ πρὸς μὲν μοιρικὴν διάκρισιν μοιρικῶς τοὺς ἀστέρας συνορᾶν, πρὸς δὲ ζῳδιακὴν ὁμοίως, ἵνα καὶ τὸ λεγόμενον μετ' ἀληθείας λέγηται. πολλάκις γὰρ αὐτὸς ἐγὼ κατελαβόμην κατὰ μὲν τὴν τῶν ἐκβάσεων χρονογραφίαν ἐν ἑτέροις ζῳδίοις ὄντας τοὺς ἀστέρας καὶ κατὰ τὰ φαινόμενα ἐν ἑτέροις, καὶ μάλιστα ὅταν ἐν ἀρχῇ ἢ ἐπὶ τέλει τῶν ζῳδίων ὦσιν, ὁμοίως δὲ καὶ ἐν τοῖς στηριγμοῖς καὶ ἐν ταῖς ἀκρονυχίαις διαπταίοντας. δεῖ οὖν ἀκριβῶς ἐπιγνόντας ἐν ποίοις τε εἰσὶ ζῳδίοις ἢ μοίραις καὶ μάλιστα τὸν ὡροσκόπον τὴν διάκρισιν ποιεῖσθαι.

Ἀρχὴ δὲ τῆς ὑφηγήσεως ἔστω ἐντεῦθεν. τὰ καταγόμενα ἔτη τῆς γενέσεως σκοπήσαντες ἐκκρούομεν ὁσάκις δυνάμεθα δωδεκάδας, τὸν δὲ περιλειπόμενον ἀριθμὸν ἐπὶ τὸ δυνάμενον παραλαβεῖν ἀποδόντες ἐπιγνωσόμεθα τίνι παραδίδωσι τὸ ἔτος. τὸ δὲ λεχθὲν σύντομον μὲν ἔχει τὴν κατάληψιν, τὴν δὲ διάκρισιν ποικίλην. πάντες οὖν οἱ ἀστέρες καὶ ὁ ὡροσκόπος καὶ Ἥλιος καὶ Σελήνη παραδώσουσιν ἀλλήλοις καὶ ἀντιπαραλήψονται. ἔστω δὲ ἐπὶ ὑποδείγματος, ἵνα σοφωτέραν τὴν εἴσοδον ποιησώμεθα, Ἥλιος Ἑρμῆς Ὑδροχόῳ, Σελήνη Σκορπίῳ, Κρόνος Καρκίνῳ, Ζεὺς Ζυγῷ, Ἀφροδίτη Αἰγόκερῳ, Ἄρης ὡροσκόπος Παρθένῳ· ζητοῦμεν ἔτος λε'. ἀφεῖλον δωδεκάδας δύο, ἅ ἐστιν κδ'· λοιπὰ ια'· λογιζόμεθα οὖν τὰ ια' ἀπὸ ποίου ἀστέρος ἐπὶ ποῖον φθάνει· εὕρομεν οὖν ἀπὸ τοῦ ὡροσκόπου καὶ Ἄρεος ἐπὶ Κρόνον ἐν Καρκίνῳ καὶ πάλιν ἀπὸ Σελήνης ἐπὶ Ἄρεα τὰ ια' καὶ ἀπὸ Ἀφροδίτης ἐπὶ Σελήνην. αὗται πᾶσαι αἱ παραδόσεις ἐνεργοῦσιν ἐν τῷ λε' ἔτει· καὶ καθ' ἣν ἕκαστος τῶν ἀστέρων ἀποτελέσματος δύναμιν ἔχει, ἀποτελέσει ἤτοι ἀγαθὴν ἢ φαύλην ἐν ταῖς παραδόσεσιν, ἃς ἐν τῷ προϊόντι λόγῳ σημανοῦμεν.

Συγκρίνειν οὖν δεῖ καὶ ὁπόταν πολλαὶ παραδόσεις γένωνται, πότερον αἱ τῶν ἀγαθοποιῶν ἢ τῶν κακοποιῶν πλεονάζουσι, κἀκείνοις τὸ βραβεῖον ἀπονέμειν· ἐὰν δὲ ἐξ ἴσου, ἀνώμαλον καὶ ποικίλον τὸ ἔτος

2 προσκειμένην V. εὕρεσιν V. δεῖ] δὲ V. 18 ἀκρωνυχίαις V, corr. dubitans. 25 κατάλειψιν V[b]. 27 nempe σαφεστέραν. 32 οὖν dubitans scripsi pro compendio codicis.

κριθήσεται. καθολικῶς μὲν οὖν ἐπὶ πάσης γενέσεως δεήσει ἀπὸ Ἡλίου καὶ Σελήνης καὶ ὡροσκόπου διεκβάλλειν τοὺς ἐνιαυτούς, καὶ ἐὰν εἰς κενοὺς τόπους ἐκπέσωσι, τοῖς κυρίοις τῶν ζῳδίων ἔσονται παραδεδωκότες. αὗται αἱ τρεῖς ψῆφοι πολλὴν δύναμιν ἔχουσι, πότερον εἰς ἀγαθοποιοὺς ἡ παράδοσις γέγονεν ἢ εἰς κακοποιοὺς ἢ καὶ εἰς ἐπικέντρους ἢ χρηματιστικοὺς τόπους ἢ ἐκκέντρους. εἶθ' οὕτως σκοπεῖν καὶ τὴν τῶν ἄλλων ἀστέρων παράδοσιν· ἐὰν γὰρ κακοποιοὶ τὸ ἔτος διακρατῶσιν, αἱ δὲ τρεῖς ἀφέσεις ἀγαθοποιΐας δύναμιν ἔχωσιν, ἔστι μὲν τὸ ἔτος πρακτικὸν καὶ ἐπίσημον, μετὰ δέ τινος ἀμφιλογίας καὶ φόβων καὶ σκυλμῶν. ἐὰν δὲ μηδεὶς τῶν ἀστέρων ἀστέρι παραδώσῃ, ἀλλ' εἰς κενοὺς τόπους ἡ διαίρεσις φέρηται, δεῖ καὶ τοῖς κενοῖς τόποις προσέχειν· καὶ μάλιστα ἐὰν κατ' ἐπέμβασιν ἐπῶσί τινες, παραλήψονται· καὶ ἀπὸ τοῦ κλήρου τῆς τύχης δεῖ ἐκβάλλειν καὶ ἀπὸ τοῦ δαίμονος καὶ ἔρωτος καὶ ἀνάγκης· ἐκ τούτων γὰρ καὶ τὰ καιρικὰ πάθη καὶ αἱ εὐεργεσίαι καὶ οἱ κίνδυνοι παραλαμβάνονται. φυσικώτερον δὲ καὶ ἀπὸ τῶν κέντρων δεῖ ἐκβάλλειν· καθάπερ γὰρ καὶ ἐπὶ τῶν καθολικῶν καὶ κοσμικῶν, εὑρίσκεται τὸ ὅμοιον καὶ ἐπὶ τῶν ἀνθρώπων. ἐκ γὰρ τῆς τοῦ κυνὸς ἐπιτολῆς τὸ ἔτος καὶ τὰ δ' κέντρα ἀνακυκλεῖται διὰ τῆς τετραετηρίδος, πλὴν ἐν διαφόροις οἱ ἐνιαυτοὶ γίνονται παρὰ τὰς τῶν ἀστέρων σχηματογραφίας καὶ φάσεις καὶ τὰς κατὰ καιρὸν ἐπεμβάσεις. ὁμοίως δὲ καὶ ὁ Ἥλιος τετραγωνίσας ποιεῖ κινήσεις μεγίστην ἐλαχίστην δύο μέσας καὶ τὸν κύκλον διὰ δ' τροπῶν διευθύνει· ἔστι δὲ καὶ Σελήνης σχήματα φυσικὰ δ', σύνοδος διχότομος πανσέληνος διχότομος β'· καὶ αὐτὸ δὲ τὸ κοσμικὸν καὶ ἐπίγειον κατάστημα ἐκ δ' στοιχείων καὶ ἐκ δ' ἀνέμων συνέστηκεν. εἰ οὖν ταῦτα οὕτως ἔχει, ἀναγκαῖον καὶ ἐπὶ τῶν γενέσεων τὰ δ' κέντρα χρηματίζειν καὶ ἀπολύειν ἀπ' αὐτῶν τοὺς ἐνιαυτοὺς καὶ συγκρίνειν τούς τε κατὰ γένεσιν ἀστέρας καὶ τὰ ἰδιώματα τῶν κέντρων καὶ τῶν ζῳδίων. δεῖ δὲ καὶ τὴν κοσμικὴν σύνοδον προγινώσκειν καὶ τὴν τοῦ κυνὸς ἐπιτολὴν καὶ τὴν ὥραν εἰ τροπικῶς ὡροσκοπεῖ καὶ τὸν τῆς τοῦ κυνὸς ἀνατολῆς κύριον· οὗτος γὰρ καθολικὸς [ὁ] τοῦ ἔτους οἰκοδεσπότης κριθήσεται, κυκλικοὶ δὲ οἱ τῶν τόπων κύριοι. ὁμοίως δὲ καὶ ἐπὶ ἑκάστης γενέσεως καὶ ἀντιγενέσεως καθολικὸς μὲν ὁ τοῦ ἔτους κύριος, κυκλικὸς δὲ ὁ τῶν συνόδων ἢ πανσελήνων. δεῖ οὖν συγκρίνειν, εἰ ὁ καθολικὸς [καὶ] κοσμικὸς τῷ τῆς γενέσεως καθολικῷ προσοικείωται ἢ ὁ αὐτός ἐστιν, ὁμοίως δὲ καὶ εἰ οἱ κοσμικοὶ κυκλικοὶ τῆς γενέσεως σύμφωνοι ἢ οἱ αὐτοί. πρὸς ἐπὶ τούτοις δὲ καὶ τὰς ἐκλείψεις παρατηρητέον ἐν ποίοις τόποις τῆς γενέσεως γεγόνασιν, ἤτοι χρηματιστικοῖς ἢ ἀχρηματίστοις, ἔτι δὲ καὶ τὰς ἀνατολὰς καὶ τὰς φάσεις τῶν ἀστέρων· ἐκ γὰρ τούτων καὶ ἐπίσημοι γενέσεις

10 παραδώσῃ mutare nolui. 11 τύποις calamo renitente V. 12 fors. τινες <οἳ>. 17 anno utitur Alexandrino ab Augusto ordinato, ut solet. 21 ἐλαχίστας per comp. V. 23 διχότομος <α'> H. 30 οὕτως V^a. 30-31 καθολικῶς V^a. 32 nempe τροπῶν.

καὶ ἡγεμονικαὶ καὶ βασιλικαὶ τὴν διάκρισιν καὶ τὴν μεταβολὴν τῆς πράξεως ἢ καὶ τῆς δόξης ἕξουσι, μεγάλα τε καὶ θαυμαστὰ ἀποτελέσματα συμβαίνειν εἴωθεν, τινὰ μὲν εἰς ἀνυπέρβλητον τύχην ὑψούμενα, τινὰ δὲ εἰς ταπεινὴν καὶ εὐκαθαίρετον τύχην χωροῦντα.

Ὅθεν μή τις ἡμᾶς δόξῃ πολυλογεῖν ἢ διαπλέκειν τὴν αἵρεσιν, ἀλλὰ δι' ἀσφάλειαν ταῦτα αὐτὰ ποιεῖν, ἵνα ἄπταιστος ἡ διαίρεσις γένηται εἴς τε τὰς λαμπρὰς καὶ τὰς μετρίας γενέσεις. ἄλλως τε ἐπὰν ζητῶμεν περὶ ζωῆς ἢ σωματικῶν πράξεων ἢ ψυχικῶν, ἀπὸ τοῦ ὡροσκόπου διεκβαλοῦμεν· ἐπὰν δὲ περὶ δόξης καὶ προεδρίας καὶ φαντασίας καὶ πατρὸς καὶ μειζόνων προσώπων καὶ ὅσα ποτὲ ἡ φύσις τοῦ Ἡλίου εἴωθεν ἀποτελεῖν, ἀπ' αὐτοῦ τὴν ἄφεσιν τῶν ἐτῶν ποιησόμεθα· ὅταν δὲ περὶ σωματικῶν κινδύνων καὶ παθῶν καὶ αἱμαγμῶν ἢ μητρός, ἀπὸ Σελήνης· ἐπὰν δὲ περὶ πράξεως καὶ βίου καὶ τέχνης, ἀπὸ τοῦ μεσουρανήματος· ὅταν δὲ περὶ εὐτυχίας καὶ περιποιήσεως τοῦ βίου, ἀπὸ τοῦ κλήρου τῆς τύχης· ὅταν δὲ περὶ θανατικῶν ἢ μεταβολῆς ἢ σκυλμῶν, ἀπὸ τοῦ δυτικοῦ· ὅταν δὲ περὶ θεμελίων ἢ κτημάτων ἢ ἀποκρύφων ἢ περὶ νεκρικῶν, ἀπὸ τοῦ ὑπογείου· ὅταν δὲ περὶ γυναικὸς ἢ ἐπιπλοκῆς ἢ συνηθείας ἢ εἰδῶν γυναικείων, ἀπὸ τῆς Ἀφροδίτης· ὅταν δὲ περὶ στρατείας ἢ δημοσίων πραγμάτων, ἀπὸ Ἄρεως· ὅταν δὲ περὶ ἀνασκευῆς πραγμάτων ἢ κτήσεως ἢ παθῶν ἀποκρύφων ἢ κληρονομίας πατρικῶν, ἀπὸ Κρόνου· περὶ δὲ δόξης καὶ φιλίας καὶ συστάσεως καὶ κτήσεως ἀπὸ τοῦ Διός· ὅταν δὲ περὶ κοινωνίας ἢ δουλικῶν ἢ σωματικῶν ἢ δόσεως ἢ λήψεως ἢ γραπτῶν, ἀπὸ Ἑρμοῦ. καὶ ταῦτα μὲν ὡς πρὸς μονοειδεῖς παραδόσεις ἢ παραλήψεις· ἐπὰν δὲ δύο ἢ τρεῖς ἢ πλείους παραδιδόντες ἢ παραλαμβάνοντες τύχωσιν, ἑκάστου ἀστέρος τὴν δύναμιν δεῖ συνεπικρίνειν πρὸς τοὺς παρόντας. κατὰ γὰρ τὴν ἐξ ἀρχῆς ἑκάστης γενέσεως ὑπόστασιν οἵ τε ἀγαθοποιοὶ καὶ οἱ κακοποιοὶ ἀποτελεστικοὶ γενήσονται, καὶ ὅπερ εἶχεν σχῆμα καθολικὸν ἕκαστος πρὸς τὸν ἐπιμαρτυροῦντα ἢ συσχηματιζόμενον, τὸ ὅμοιον ἀποτελέσει παραλαβὼν παρ' ἐκείνου τοὺς χρόνους ἢ καὶ αὐτὸς παραδεδωκώς.

Ἵνα δὲ ἀκριβὴς καὶ ἐνεργεστέρα ἡ παράδοσις ἡμῶν ὀφθῇ, παραγγελίας τινὰς καὶ νόμους ἐκθησόμεθα, οὓς φυλάσσοντες εὐκατάληπτον τὴν αἵρεσιν ἕξομεν. πρότερον μὲν οὖν χρὴ σκοπεῖν, εἰ ἀπὸ ἐπικέντρων τόπων εἰς ἐπικέντρους ἡ παράδοσις γένηται ἢ ἀπὸ τοῦ ἀγαθοῦ δαίμονος εἰς τὸν κλῆρον ἢ χρηματιστικὸν τόπον, ἵνα καὶ τὸ σημαινόμενον πρακτικὸν ἢ ἔνδοξον ᾖ, εἴτ' οὖν καὶ ἀπὸ τῶν ἀποκλιμάτων εἰς τὰ κέντρα ἢ καὶ ἀπὸ κακοῦ δαίμονος ἐπ' ἀγαθὸν δαίμονα. χρηματιστικὰ μὲν οὖν καὶ ἐνεργητικὰ ζῴδιά ἐστιν ὡροσκόπος [ἢ] μεσουράνημα ἀγαθὸς δαίμων ἀγαθὴ τύχη κλῆρος τύχης δαίμων ἔρως ἀνάγκη, μέσα δὲ θεὸς θεὰ καὶ τὰ λοιπὰ δύο κέντρα, μέτρια δὲ καὶ κακωτικὰ τὰ

2 ἕξουσι V^{a}. 6 fors. del. αὐτά. 16 fors. κτισμάτων. 31 nempe ἐναργ. 35 nempe in Sortem Fortunae. 36 εἴτ' οὖν (respondet εἰ praecedenti)] εἰ δ' οὖν V.

λοιπά. παρὰ δὲ τοὺς ἐπόντας ἢ μαρτυροῦντας ἀγαθοποιοὺς ἢ κακοποιοὺς ἡ τῶν τόπων δύναμις ἐξασθενεῖ ἢ καὶ ἐνεργεστέρα καθίσταται· ἡ μέντοι κακὴ τύχη τοῦ κακοῦ δαίμονος δοκεῖ βελτίων εἶναι, καθ' ὃ τριγωνικὸν σχῆμα πρὸς τὸ μεσουράνημα κέκτηται. ἐὰν δέ πως ἐπὶ γενέσεως μία παράδοσις εὑρεθῇ πάντων τῶν ἀστέρων ἐν ἑνὶ ζῳδίῳ τετευχότων, παραδώσουσι μὲν αὐτοὶ ζῳδιακῶς· ὃ ἐὰν δὲ ἡ συγκράτησις καθολικῶς δηλοῖ ἐπὶ τῆς γενέσεως, ἐκεῖνο καὶ μεθέξει δὴ παντός· ἐὰν δὲ ἐν ἑνὶ ζῳδίῳ εὑρεθῶσιν γ' ἢ δ' ἀστέρες, ἐν ἑτέρῳ δὲ εἷς ἢ δύο, ὁ πρῶτος καθυπερτερῶν μοιρικῶς πρότερον καὶ μεριεῖ τοὺς χρόνους· τουτέστι προτέρως ὁ πλείστας ἔχων μοίρας παραλαμβάνει καὶ τότε οἱ ἐφεξῆς· τὸ δ' ὅμοιον καὶ οἱ παραλαμβάνοντες. ποικίλης δὲ τῆς διαιρέσεως οὔσης ἐάν τις προσέχῃ οὐ διαμαρτήσει. ἐπεὶ γὰρ δὴ δωδεκαετίας αἱ αὐταὶ παραδόσεις σημαίνονται, οὐ τὴν αὐτὴν ἐνέργειαν τῶν ἀποτελεσμάτων ἐφέξουσιν ἀλλὰ διάφορον. ὅταν ἐπί τινος κύκλου παράδοσιν ἤτοι ἀφ' ἑνὸς ἢ πλειόνων εὕρωμεν, σκοποῦμεν κατ' ἐκεῖνο τὸ ἔτος τὴν ἀντιγένεσιν καὶ τὰς ἐπεμβάσεις τῶν ἀστέρων εἰ ὅμοιον σχῆμα ἔχωσιν, ὁποῖον καὶ ἐπὶ γενέσεως, ἢ πρὸς τοὺς παραδιδόντας ἢ παραλαμβάνοντας, καὶ εἰ τὰς αὐτὰς φάσεις πρὸς τὸν Ἥλιον ποιοῦνται. ἐὰν γὰρ οὕτως εὕρωμεν, λέγομεν καὶ τὸ ἀποτέλεσμα βέβαιον. εἰ δὲ ἀλλότριον καὶ ἀνόμοιον, οὐκ ἔτι ὁλοτελές· ἃ μὲν γὰρ καθολικῶς γίνεται ἃ δὲ μοιρικῶς. οἷον ἐὰν Κρόνου καὶ Διός τις καθολικοὺς χρόνους κατάγῃ καλῶς κειμένων, συμπέσῃ δὲ ἐν τούτῳ τῷ κύκλῳ τὸν αὐτὸν κατάγειν τοὺς χρόνους, κληρονομήσει ἢ ἀπὸ νεκρικῶν εὐεργετηθήσεται. ἐὰν δὲ τὸ δεύτερον ἢ τρίτον κύκλον *** Κρόνου καὶ Διὸς ἐπικρατούντων τὸ ἔτος, οὐ κεῖνται δὲ καθολικῶς, κληρονόμος μὲν οὐκ ἔσται, κατάληψις δὲ καὶ διὰ νεκρικῆς ὠφελείας ἢ τοιαῦται προσδοκίαι ἢ καὶ ἀγορασμοὶ κτημάτων θεμελίων καὶ ἑτέρας ἐπικτήσεως. ὁμοίως δὲ καὶ τὰ ἄλλα ἐν τοῖς καθολικοῖς χρόνοις κατὰ τὸν τῆς δωδεκαετίας κύκλον βέβαια τὰ ἀποτελέσματα γενήσονται, ἐξ ὑστέρου δὲ ἢ πρότερον οὐδαμῶς, πλὴν εἰ τὰς ἐννοίας τῶν ἀποτελεσμάτων οἱ ἀστέρες ἐνδείξονται.

Οἷον ἔστω τινὰ τῷ πρώτῳ κύκλῳ γεγαμηκέναι τῆς γενέσεως καταγούσης ἔτος λδ'· δεῖ γὰρ κατὰ τὰς ἡλικίας καὶ τὰ ἀποτελέσματα συγκρίνειν· τῷ ἑτέρῳ κύκλῳ περὶ συνηθείας ἢ καὶ ἑτέρου γάμου ἢ ὅσα ποτὲ γυναιξὶν ἀνῆκε τὴν φροντίδα ποιήσει. ἕτερος δὲ ἐστρατεύσατο· πάλιν τῆς αὐτοῦ παραδόσεως γενομένης περὶ προκοπῆς ἢ μεταβολῆς ἢ στρατιωτικῆς πράξεως ἐνεργήσει. ἐὰν οὖν καὶ ἡ καθολικὴ ὑπόστασις

1 παρὰ] περὶ V. 1-2 κακωποιοὺς V. 6 post αὐτοὶ ζώντων τῶν ἀστέρων V^{a}, del. V^{b}. ὃ ἐὰν tolerandum. 7 haec sana esse non spondeo; possis ἀνθέξει διὰ παντός. 10 προτέρως V^{b}] πρότερον V^{a}. πλείστας] ἐλαχίστας per comp. V. 12 προσέχει V. δὴ] an δία? 14 fort. <οἷον> ὅταν. 16 ἔχουσιν H. 18 εἰ] εἰς V. 22 συνεμπέσῃ V. τῶν αὐτῶν V^{b}, quid V^{a} incertum. 24 nempe τὸν sed plura turbata. 26 an διὰ νεκρικῶν ὠφέλεια? 27 opusne <κατὰ> τὰ ἄλλα? 29 εἰ Rad.] εἰς V. 34 nempe ἀνήκει. 35 an τῆς αὐτῆς? cf. p. 92, 5.

προκοπτικὴ τυγχάνῃ, κατ' ἐκείνους τοὺς καιροὺς προκόψει μάλιστα, ἐὰν ἀγαθοποιοὶ διακρατῶσι· μεγάλης δὲ τῆς γενέσεως οὔσης καὶ ἡγεμονεύσει ἢ ἐπιτροπεύσει ἢ ἐξουσιαστικῆς τάξεως μεθέξει. κατὰ δὲ τὴν ἀκολουθίαν τῆς γενέσεως συναρμόζεσθαι δεῖ τὰ ἀποτελέσματα. ἕτερός τις ἐτέκνωσε κατά τινας χρόνους· τῆς αὐτῆς παραδόσεως γενομένης καὶ τῆς ἀκμῆς ἢ τῆς ἡλικίας ἐπιτρεπούσης πάλιν τέκνωσιν ἢ σωμάτων ἀγορασμὸν ποιήσεται ἢ ἀναθρέψει τινὰς ἐν τέκνων μοίραις ἢ καὶ ἀλλοτρίων τέκνων φροντίδα ποιήσεται. ἄλλος δέ τις ἐν ἀρχῇ καὶ προστασίᾳ ὄχλων ἐγένετο· τῆς αὐτῆς χρονογραφίας γενομένης καὶ τῆς γενέσεως καλὴν ὑπόστασιν ἐχούσης μεγάλας τὰς ἀρχὰς καὶ ἐπισήμους ἀναδέξεται, μετρίας δ' οὔσης μετὰ τῶν τοιούτων ἀναστρέψει ἢ φαντασίαν ἕξει ἀρχῆς ἢ προεδρίας. ὁμοίως τις ἐν καταδίκῃ ἢ συνοχῇ ἐγένετο· τῆς αὐτῆς παραδόσεως γενομένης ἀγαθοποιῶν μὲν ἐπιμαρτυρησάντων τῆς συνοχῆς ἢ αἰτίας ἀπαλλαγήσεται, κακοποιῶν δὲ διά τινα κακουργοτέραν ἐγχείρησιν ἢ κατηγορίαν ἐπίφθονον τῇ αἰτίᾳ ἐπιμενεῖ ἢ καὶ χειρόνως διάξει. καὶ τὰ λοιπὰ δὲ ὅσα ποτὲ ἐν βίῳ συντελούμενα τυγχάνει γενήσεται κατὰ τὰς παραδόσεις, ἐνδιάφορα δὲ διὰ τὰς καθολικὰς χρονογραφίας καὶ τὰς ἀντιγενέσεις καὶ τὰς ἐπεμβάσεις καὶ φάσεις τῶν ἀστέρων τάς τε πρὸς ἑκάτερον ἀνομοίους σχηματογραφίας. ἐπὰν γὰρ ἐπεμβῶσιν οἱ κατὰ καιρὸν ἀστέρες ἐπὶ τοὺς παραδιδόντας κατὰ γένεσιν ἢ παραλαμβάνοντας ἢ εἰς τὰ κέντρα, ἐκ τῆς ἰδίας φύσεως συνεπιμερίζουσι καὶ αὐτοὶ ἤτοι ἀγαθὸν ἢ φαῦλον ἢ καὶ ἐνεργέστερον τὸ ἀποτέλεσμα ἢ κωλυτικὸν ποιήσουσι. τὸ δὲ βέβαιον κρινοῦμεν, ὅταν σύμφωνον σχῆμα ὁ κατ' ἐπέμβασιν πρὸς τὸν παραδιδόντα ἔχῃ ἢ οἱ αὐτοὶ οἱ παραδιδόντες τοῖς παραλαμβάνουσιν *** ὅμοιον σχῆμα οἷον καὶ ἐπὶ γενέσεως. εἰ δὲ τὰ χρονικὰ ἄλλο τι σημαίνοιεν, ὁ δὲ ἐνιαυτὸς καὶ ἡ ἐπέμβασις ἄλλο, μεσότης τῶν τελουμένων ἔσται. καθολικῶς δὲ πᾶς ἀστὴρ ἐν τῇ παραδόσει ἢ τῇ παραλήψει δύνων ἄπρακτος καὶ κωλυτικὸς καθίσταται· καὶ ἐὰν ἀγαθοποιὸς εὑρεθῇ, φαντασίας μόνον παρέχει· ἐὰν δέ πως καὶ αἱ τρεῖς ἀφέσεις Ἡλίου καὶ Σελήνης καὶ ὡροσκόπου ἀνόμοια σημαίνοιεν, ποικίλον ἔσται τὸ ἔτος. πολλάκις μὲν οὖν ἐπὶ τῆς αὐτῆς αἱρέσεως παραδόσεως μὴ οὔσης οἱ καθολικοὶ χρόνοι μεγάλα καὶ ἐπίσημα ἀποτελέσματα ἐμήνυσαν· ὅθεν τὴν ἀρχὴν ἐκεῖθεν λαβόντας τότε ἐπὶ τοὺς ἐνιαυσιαίους χρόνους δεῖ χωρεῖν.

Ἐπεὶ δέ τινες τῶν συνταγματογράφων ᾐνίξαντο τὴν προκειμένην αἵρεσιν, οἱ δὲ μέλλοντες ἐντυγχάνειν τῇδέ μου τῇ συντάξει μνησθήσονται κατ' ἀρχὰς ὡς μηδεμιᾶς τινος ἐπεξειργασμένης ἀγωγῆς, ἀναγκαῖον καὶ τὰς κλεῖδας ἐπιδεῖξαι, δι' ὧν ἡ παράδοσις κατὰ τὸ εἶδος τοῦ ἀποτελέσματος ἐνεργεστέρα γενομένη θαυμαστὸν ὅρον ἀποτελεῖ·

17 ἐνδίαφορα dubium. 25 sequebatur ὦσιν. 26 σημαίνειεν V. 31 σημαίνειεν V. ἔστω V. 35 ἠνοίξαντο V. 37 qui meos commentarios legent, recordabuntur apud ceteros auctores nullam ἀγωγήν sic explanatam fuisse, ut ea uti possent.

ἐὰν οὖν τις νηπτικῶς προσέχῃ τοῖς μέλλουσι λέγεσθαι τόποις ἐν ταῖς παραδόσεσι διὰ τῆς συγκρατητικῆς θεωρίας τῆς τε τοῦ ἀστέρος καὶ τοῦ ζῳδίου ἐνεργείας, ἄπταιστος διαμενεῖ.

<ιβ'.> Περὶ τῶν ὀνομασιῶν τῶν ιβ' τόπων καὶ περὶ τῆς δωδεκατρόπου.

Ἀρχὴ δὲ ἔστω ἀπὸ τοῦ ὡροσκόπου, ὅς ἐστι ζωὴ οἴαξ σῶμα πνεῦμα· β' βίος Ἅιδου πύλη κατάσκιον δόσις λῆψις κοινωνία γυναικὸς ἐπιπλοκὴ συναλλαγὴ πρᾶξις ἐκ νεκρικῶν ὠφέλεια διαθήκης τόπος. γ' ἀδελφοὶ ξενιτεία βασιλεία ἐξουσία φίλοι συγγενεῖς ἐπικαρδία δοῦλοι. δ' δόξα τέκνα γυνὴ ἰδία καὶ πρεσβύτερα πρόσωπα πρᾶξις πόλις οἰκία κτήματα μοναὶ μετατροπαὶ μεταβολαὶ τόπων κίνδυνοι θάνατος συνοχὴ μυστικὰ πράγματα. ε' τέκνων τόπος φιλίας κοινωνίας σωμάτων ἀπελευθέρων ἐκποιήσεως ἀγαθοῦ τινος ἢ εὐεργεσίας. ς' δούλων σίνους ἔχθρας πάθους ἀσθενείας ***. η' θανάτου νεκρῶν ὠφελείας ἀργὸς τόπος δίκης ἀσθενείας. θ' φιλίας ἀποδημίας ξένων ὠφελείας θεοῦ βασιλέως δυνάστου ἀστρονομίας χρηματισμῶν θεῶν ἐπιφανείας μαντείας μυστικῶν ἢ ἀποκρύφων πραγμάτων κοινωνίας. ι' πράξεως δόξης προκοπῆς τέκνων γυναικὸς μεταβολῆς καινισμοῦ πραγμάτων. ια' φίλων ἐλπίδων δωρεᾶς τέκνων σωμάτων ἀπελευθέρων. ιβ' ξένης ἔχθρας δούλων σίνους κινδύνων κριτηρίων πάθους θανάτου ἀσθενείας.

Ἕκαστος μὲν οὖν τόπος καθὸ σημαίνει ἰδίως ἀποτελέσει, συνεργήσει δὲ καὶ ἡ τοῦ διαμετροῦντος τόπου φύσις. ἐπὰν οὖν παράδοσις ἐνιαυτοῦ εὑρεθῇ, σκοποῦμεν ἐπὶ ποίου τόπου ὁ παραδιδοὺς τυγχάνει καὶ ἐπὶ ποίου ὁ παραλαμβάνων κατὰ τὴν προκειμένην δωδεκάτροπον, καὶ κατὰ τὴν οἰκειότητα τοῦ ζῳδίου καὶ τοῦ τόπου τὸ ἀποτέλεσμα ἀποφαινόμεθα, τῆς παραδόσεως τῶν ἀστέρων ἰδίαν ἀποτελεσμάτων δύναμιν ἐχούσης, ἣν ἐν τῷ τέλει τῶν διαιρέσεων τάξομεν. οἷον ἐὰν Κρόνος ἢ Ἄρης ἐπὶ τοῦ ὡροσκόπου ὄντες παράδοσιν ἢ παράληψιν ποιήσωνται, ἐροῦμεν κατ' ἐκεῖνο τὸ ἔτος σωματικὴν ὄχλησιν ἢ κίνδυνον ἢ αἱμαγμόν· ἐὰν δὲ ἐν τῷ ζ' ἀπὸ ὡροσκόπου, παρατροπὴν διὰ γυναῖκα ἢ κίνδυνον γυναικὸς ἢ διὰ γάμον ἐπιταράχους αἰτίας· ἐὰν δὲ ἐν τῷ θ' ἀπὸ ὡροσκόπου, ξενιτείαν ἐπισφαλῆ καὶ ἐπὶ ξένης σκυλμὸν ἢ ἀπὸ ξένων προδοσίας· ἐὰν δὲ ἐν τῷ ιβ', διὰ δούλους λύπην ἢ ἐχθρῶν ἐπαναστάσεις· ἢ ὅσα ἕκαστος τόπος ἀποτελεῖ, περὶ ἐκεῖνα ὁ ἀστὴρ ἐνεργήσει. ἐὰν δὲ ἀγαθοποιοὶ ἐπῶσι τοῖς τόποις, ἀγαθόν τι σημαίνουσιν, οἷον δόξας ὠφελείας ἀγορασμοὺς καταθυμίους ξενιτείας· κατὰ δὲ τοὺς παραλαμβάνοντας καὶ ἐπιμαρτυροῦντας τοῖς τόποις καὶ αἱ διακρίσεις ἔσονται, πλὴν ἔκ τε τοῦ

2 non opus συγκρατικῆς. 9 an ἐπικαρπία? 14 * piger locus * Firmic. II, 19, 9. 28 ποιήσονται V. 30 παρατροπὴν S] παρο et supra πὴν vel ψὴν V. 31 γάμον V^b] γάμων V^a. ἐὰν δὲ τὸ θ' V. 33 δόλους V, corr. S.

παραδιδόντος καὶ τοῦ παραλαμβάνοντος καὶ τῶν τόπων τὸ εἶδος τοῦ ἀποτελέσματος καὶ ἡ ἔκβασις τῶν πραγμάτων κριθήσεται. προβλέπειν δὲ δεῖ καὶ τὸν κύριον τοῦ παραδιδόντος ἢ παραλαμβάνοντος, ἐν ὁποίῳ ζῳδίῳ τέτευχε· καὶ οὗτος γὰρ ἐνεργήσει <καὶ> πρὸς τὸ εἶδος καὶ τὸ ἀποτέλεσμα ἔσται. τὸ δὲ δεύτερον ζῴδιον τὸ ἀπὸ ὡροσκόπου καὶ τὸ η' ἀργὸν καὶ θανατικὸν κριθήσεται· ἐν τούτοις παράδοσις ἢ παράληψις ὅταν γένηται, ἐκ θανατικῶν προφάσεων ὠφελοῦνται, καὶ μάλιστα ὅταν ἀγαθοποιοὶ ἐπῶσιν ἢ μαρτυρῶσι, μείζονες ὠφέλειαι γενήσονται· εἰ δὲ καὶ κακοποιοί, κρίσεις ἀμφιλογίαι ἔσονται ἕνεκα τῆς καταλήψεως καὶ ἐπικίνδυνον τὸ ἔτος καὶ ἐπίλωβον ἢ ἄπρακτον. ἔσθ' ὅτε μὲν οὖν τῶν κακοποιῶν μόνων ἐπόντων ἢ σὺν Ἡλίῳ ἢ Σελήνῃ ἢ Ἑρμῇ, καὶ φονικὰ ἐγκλήματα ἀναλαμβάνουσι καὶ καθ' ἑαυτῶν κινδυνῶδές τι μηχανῶνται. ἐὰν δὲ καὶ ὁ τῆς Ἀφροδίτης ἐπῇ ἢ μαρτυρῇ, ἕνεκα φαρμακείας ἐπιταράσσονται ἢ ὡς ἐπίβουλοι διαβάλλονται. πλὴν θανάτου καὶ καταλείψεως δηλωτικοὶ οἱ τόποι τοῦ Κρόνου, κατὰ τὴν πρὸς Δία παράδοσιν κληρονομίας καὶ ὠφελείας ἐκ νεκρῶν ἀποτελοῦντες· ἐὰν οὖν καὶ αὕτη ἡ παράδοσις συνδράμῃ τῇ πρώτῃ χρονογραφίᾳ, ἀπαραβάτως κληρονομίαι καὶ μεγάλαι ὠφέλειαι ἔσονται κατὰ τὴν τῆς γενέσεως ὑπόστασιν. ἐὰν δὲ τῆς διαιρέσεως οὔσης ἐν ταῖς Ἅιδου πύλαις τύχῃ ἡ αὐτὴ παράδοσις ἀπὸ Κρόνου καὶ εἰς Διὸς οἶκον, κληρονομία ἔσται· ἐὰν δὲ κατὰ μόνας ἡ παράδοσις ἔλθῃ, καὶ ὠφέλεια ἀπὸ νεκρικῶν· ὁμοίως δὲ κἂν ἐν τῷ αὐτῷ ζῳδίῳ ὄντες Κρόνος καὶ Ζεὺς παράδοσιν ἢ παράληψιν ποιήσωνται. ἀπὸ ἀγαθοῦ δαίμονος ἢ ἀγαθῆς τύχης ἢ κλήρου ἐὰν γένηται παράδοσις ἀγαθοποιῶν ἐπόντων, ἔσονται κληρονομίαι ἢ δωρεὰ ἢ ἀγαθοῦ τινος πρόφασις. ἐὰν δέ πως οἱ θανατικοὶ τόποι τοῖς ἀποκλίμασι τὴν παράδοσιν ποιήσωνται ἢ καὶ τὰ ἀποκλίματα τοῖς θανατικοῖς, ἐπὶ ξένης ἢ ἀπὸ ξένης θάνατόν τινος ἀκούσονται· τὰ γὰρ δ' ἀποκλίματα ξένων καὶ δούλων τόπον σημαίνουσιν. ὁμοίως δὲ καὶ οἱ Δίδυμοι καὶ ὁ Τοξότης καθολικῶς ἐπὶ πάσης γενέσεως τὸν περὶ δούλων τόπον σημαίνουσι διὰ τὸ κοσμικόν· ὡροσκοποῦντος γὰρ Καρκίνου ὁ περὶ δούλων ἐν τούτοις καταλήγει. ἐὰν οὖν ἐν ἑτέρῳ τις ζῳδίῳ τὸν περὶ δούλων τόπον ἔχῃ, ἐν δὲ τούτοις εὑρεθῶσι κακοποιοί, ἀπὸ δούλων ταραχὰς καὶ ἀδικίας ὑπομενοῦσιν, ἔτι δὲ καὶ ζημίας καὶ θανάτους καὶ δρασμούς, καὶ μάλιστα τοῦ Κρόνου γενομένου κατὰ τούσδε τοὺς τόπους· ἐὰν δὲ ἀγαθοποιοὶ ἐπῶσιν, εὐνοηθήσονται καὶ ἐκ τῶν τοιούτων ὠφελείας παραδέξονται καὶ αὐτοὶ δὲ εὐεργέται εἰς αὐτοὺς γενήσονται ἢ καί τινας ἀναθρέψουσιν ἐν τέκνων μοίραις. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν λοιπῶν ἀποκλιμάτων νοείσθω.

5 τὸ ante ἀπὸ otiosum. 8 ὦσιν V. 12 ἐγκλίματα V. 13 ἕνεκα aut ἕνεκεν V. 13-14 φαρμίας V, corr. M. 14 διαλαμβάνονται V. 15 καταλήψεως V. 20 fors. del. καὶ. an οἶκον <οἴκου>. 23 ποιήσονται V. 27 ἐπὶ ξένοις V[a]. 30 quod in mundi genitura horoscopus in Cancro est. 36 παρέξονται V.

<ιγ'.> Περὶ τῆς ἀπὸ ὑψώματος εἰς ὕψωμα παραδόσεως.

Ἀπὸ δὲ ὑψώματος εἰς ὕψωμα παράδοσις γινομένη ἀγαθοποιῶν ἐπόντων ἢ μαρτυρούντων δοξαστικὴ καὶ ἐπωφελής, καὶ μάλιστα ἐὰν ἰδίῳ τόπῳ ὦσιν οἱ κύριοι. ὁμοίως δὲ καὶ ἀπὸ ἰδίων οἴκων εἰς ὑψώματα παραδιδόντες ἢ καὶ ἀπὸ ὑψωμάτων εἰς οἴκους τῶν κυρίων ἐπόντων ἐνεργέστερα τὰ ἀποτελέσματα καὶ ἐπίδοξα δηλοῦσιν· ἀπὸ δὲ ταπεινωμάτων εἰς ταπεινώματα παραδιδόντες μέτριοι καὶ ἀνώμαλοι γίνονται. Κρόνος δὲ ἢ Ἄρης οἰκείως σχηματισθέντες καὶ ἀπὸ ἰδίων οἴκων ἢ ὑψωμάτων ἢ καὶ χρηματιστικῶν τόπων παραδιδόντες καὶ παραλαμβάνοντες μεγάλας εὐεργεσίας καὶ δόξας ἀποτελοῦσιν. ὁ μὲν οὖν τοῦ Κρόνου κληρονομίας ἐγγείων κτημάτων θεμελίων ἐπικαρπίας διοικήσεως παρεκτικὸς καὶ μυστικῆς ἐγχειρήσεως καὶ παλαιῶν πραγμάτων κατορθωτικός, ὁ δὲ τοῦ Ἄρεος ἡγεμονικός. τηρούντων δὲ τῶν ἀγαθοποιῶν καὶ Ἡλίου καὶ Σελήνης οἰκείως ἐσχηματισμένων πρὸς αὐτοὺς μεγάλας τὰς προφανείας καὶ ὠφελίμους ἀποτελοῦσιν. ἀπόντων δὲ τῶν ἀγαθῶν καὶ τῶν φώτων ἐναντιουμένων καὶ ἀνοικείως ἐσχηματισμένων, Ἑρμοῦ δὲ παρεμπλεκομένου κατηγορίας καὶ ἐναντιώματα καὶ μεγάλους κινδύνους καὶ ἐπιβουλὰς καὶ θορύβους καὶ καθαιρέσεις ἐπάγουσιν. ἐὰν δέ πως ἐπ' ἀλλοτρίων ὑψωμάτων ἢ ἰδίων ἀνοικείως παράδοσιν ἢ παράληψιν ποιήσωνται, ἀπὸ ὕψους ἢ τετραπόδων καταρριπτοῦσι τραύμασί τε καὶ αἱμαγμοῖς ἢ ἐπικινδύνοις νόσοις περιτρέπουσιν ἐμπρησμοῖς τε ἢ ναυαγίοις περιτρέπουσι· τῆς δὲ γενέσεως βοηθουμένης καὶ ὑπόστασιν χρόνων ἐχούσης τῷ βίῳ καθαιροῦσιν ἢ τῇ δόξῃ. παρατηρητέον οὖν <εἰ> οἱ τῆς αἱρέσεως ἡμερινῆς ἢ νυκτερινῆς ὄντες τοῖς λοιποῖς σχηματίζονται· ἐνεργέστεροι γὰρ πρὸς τὸ ἀγαθὸν καὶ αὐτοὶ ὑπάρχουσι τῶν λοιπῶν ἀστέρων καὶ κατὰ τὰς οἰκείας παραδόσεις ἢ ἐπεμβάσεις μεγάλων ἀγαθῶν αἴτιοι καθίστανται· εἰ δὲ ἄλλως, κωλυτικοὶ καὶ ἐγκοπτικοὶ δόξης καὶ ὠφελείας. κατὰ τοῦτο δὲ κακοποιοὶ ὠνομάσθησαν, ἐπεὶ ζωῆς παραιρέται εἰσί, πρὸς δὲ τὰ λοιπὰ εὐεργετικοί· ἐπεὶ καὶ ὁ τοῦ Διὸς καὶ ὁ τῆς Ἀφροδίτης ἐν ταῖς παραδόσεσιν ἢ ἐπεμβάσεσι δυτικοὶ καταλαμβανόμενοι ἢ ἀνοικείως ἢ παραπεπτωκότες ἐπιτάραχον τὸν χρόνον καὶ δύσπρακτον καὶ ὑπερθετικὸν ἀποτελοῦσι καὶ τῶν προσδοκωμένων ἐλπίδων ἢ ὠφελειῶν παραιρέται γίνονται, πρὸς ἐπὶ τούτοις δὲ καὶ ζημίας ἐπάγουσι καὶ ψυχικὰς βασάνους καὶ ἐν τοῖς διαπρασσομένοις κακίσεις.

3 possis ἐὰν <ἐν> aut (quod melius) ἰδιοτοπῶσιν. 11 ἐγγίων V. 20 ποιήσονται V. 20-21 καταρίπτοῦσι V. 21 nempe del. περιτρέπουσιν. 23 fors. καθαίρεσιν <σημαίνουσιν>. 31 vix opus ἀνοικείως <σχηματισθέντες>.

<ιδ'.> Περὶ φάσεως τῶν ἀστέρων καὶ ἐπεμβάσεως.

Καθολικῶς οὖν ἐπὶ πάντων τῶν ἀστέρων παρατηρητέον· ἐπὰν γὰρ ἀνατολικοὶ εὑρεθῶσι παραδιδόντες ἢ παραλαμβάνοντες καὶ τοῦ ἔτους κυριεύοντες ἢ τῶν καθολικῶν χρόνων, κατὰ δὲ τὴν ἐπέμβασιν εἰς τοὺς χρηματιστικοὺς τόπους γένωνται καὶ τὴν ἀνατολὴν ποιήσωνται, προφανῶς τὰς πράξεις ἀποτελοῦσι· ἡ γὰρ δύναμις αὐτῶν τότε διεγείρεται καὶ κατὰ τὴν ἰδίαν φύσιν ἕκαστος τὸ ἴδιον ἀποτελεῖ. ὁποίας γὰρ δυνάμεως καὶ ἀποτελέσματος κυριεύει κατὰ γένεσιν ἢ ὃ δηλοῖ ὁ ἐνιαυτὸς ἐφ' οὗ ἐστι ζῳδίου, ἐκείνου ἐνεργήσει τὸ ἀποτέλεσμα. ἐὰν δὲ τὸν πρῶτον στηριγμὸν ἐπέχωσι καὶ ἀναποδιστικοὶ εὑρεθῶσι, τά τε προσδοκώμενα καὶ τὰ πράγματα καὶ τὰς ὠφελείας καὶ τὰς ἐγχειρήσεις ἐν ὑπερθέσει ποιοῦσιν. ὁμοίως δὲ καὶ ἐν ταῖς ἀκρονυχίαις ἀσθενέστεροι καὶ ἐμποδιστικοὶ γενήσονται, φαντασίας μόνον καὶ ἐλπίδας προδεικνύντες. εἰ δέ πως τὸ δεύτερον στηρίζοιεν, τὰς μὲν ὑπερθέσεις διεκλύουσι καὶ εἰς τὰς αὐτὰς πράξεις ἀποκαθιστῶσι καὶ εἰς εὐστάθειαν καὶ κατόρθωσιν τοῦ βίου ἄγουσιν· ἐὰν δὲ ὑπὸ δύσιν φέρωνται, ἐγκοπὰς καὶ λύπας ἐν τοῖς διαπρασσομένοις ἐπάγουσιν, ἔτι δὲ καὶ σωματικοὺς κινδύνους καὶ ἀσθενείας καὶ κρυπτῶν τόπων πόνους. πολλάκις δὲ καὶ δόξας ἢ μεγάλας ἐλπίδας προδείξαντες ἐπὶ τὸ χεῖρον ἐτράπησαν. ἐπὰν οὖν κακοποιοῦ τι κατὰ γένεσιν ἀποτελοῦντος καὶ τὸν ἐνιαυτὸν ἔχοντος κατ' ἐπέμβασιν κακοποιὸς ἐπεμβῇ, ἐπίτασιν τοῦ κακοῦ ποιήσεται· εἰ δὲ ἀγαθοποιός, παρηγορίαν τινὰ καὶ βοήθειαν. τὸ ὅμοιον δὲ καὶ ἐπὶ τῶν ἀγαθοποιῶν νοείσθω· ἐπὶ πάσης δὲ γενέσεως ἐξαιρέτως ὁ τοῦ Διὸς ἀστὴρ κατ' ἐπέμβασιν γενόμενος ἐπὶ τοὺς ἐνιαυτοὺς ἢ τὰ τούτων τετράγωνα ἢ διάμετρα καλῶς μὲν ὄντων τῶν χρόνων ἢ ἐν χρηματιστικοῖς τόποις μεγάλας εὐεργεσίας καὶ δόξας ἀποτελεῖ καὶ μάλιστα ἀνατολικὸς γενόμενος μᾶλλον ἐπισχύσει τῶν δοκούντων ἐπικρατεῖν τοὺς χρόνους· κακῶν δὲ ὄντων καὶ αὐτὸς κατ' ἐπέμβασιν γενόμενος ἀσθενέστερος γενήσεται καὶ τὰς εὐεργεσίας καὶ δόξας ὑπερθέμενος μετέωρος γενήσεται· εἰ δὲ ἀνατολικὸς τύχῃ, μετρίως παρηγορήσει ἢ ὠφελήσει.

<ιε'.> Περὶ τρίτου καὶ ἐνάτου τόπου ἀπὸ ὡροσκόπου.

Ὁ γ' ἢ ὁ θ' τόπος ἀπὸ ὡροσκόπου παραδιδοὺς ἢ παραλαμβάνων ἀγαθοποιῶν ἐπόντων ξενιτείας ἐπ' ἀγαθῷ ἀποτελεῖ ἢ ἐπὶ ξένης ἢ ἀπὸ ξένων πράξεις καὶ συστάσεις ἀποτελοῦσι· κἂν δισώματος ὁ τόπος

7 sententia non sana; fors. 8 <ἢ> ἐφ' οὗ et 9 ἐκεῖνο. 12 ἀκρωνυχίαις V. 13-14 προσδεικνύντες V. 14 στηρίζοιε V. 15 πάξεις V, πράξεις H. 25 καλῶς ut opinor tolerandum. 27 μᾶλλον] compendium in V quod lego μέγιστον.

τύχῃ, πλειστάκις ὠφεληθήσονται ἢ πολλὰ ξενιτεύσουσι. τινὲς μὲν οὖν ἐν τούτοις τοῖς τόποις χρηματίζονται ἀπὸ θεοῦ καὶ τὰ μέλλοντα προγινώσκουσι καὶ θεῷ ἐκθυσίας ἢ εὐχὰς ἢ ἀναθήματα κατασκευάζουσι, τινὲς δὲ καὶ διὰ θεοῦ πρόνοιαν ἀσθένειαν ἢ συνοχὴν ἢ αἰτίαν ἢ πάθος ἢ κίνδυνον [οἱ] ἐκφυγόντες θεῷ εὐχαριστοῦσιν. ὑποστάσεως δὲ μεγάλης οὔσης καὶ τῶν καθολικῶν χρόνων συνεπισχυόντων ἀπὸ βασιλέως δωρεὰς λαμβάνουσι καὶ πίστεις ἡγεμονικὰς ἢ ἐξουσίας, ἢ πραγμάτων καὶ αἰτίας διὰ βασιλικῆς τύχης ἐκπλοκὴν ποιησάμενοι ἐπίδοξοι καθίστανται· οἱ δὲ καὶ ναοῦς ἢ ἱερὰ ἢ βασιλέων τύπους κατασκευάσαντες ἀείμνηστον φήμην ἀναλαμβάνουσι. κακοποιῶν δὲ ἐπόντων ἢ μαρτυρούντων τοῖς τόποις ἐπηρεάζονται ἐπὶ ξένης καὶ ζημίαις ἢ ἐνδείαις περιπίπτουσι καὶ οὐ διευθύνουσι κατὰ τὴν ξένην, πλάναις δὲ καὶ κινδύνοις περιτρέπονται καὶ ὡς ἀπὸ θεοῦ μῆνιν ἔχοντες διατελοῦσι μεμφόμενοι τὴν ἰδίαν εἱμαρμένην. τινὲς δὲ καὶ κατ' ἐκείνους τοὺς χρόνους ἀρνοῦνται τὰ θεῖα καὶ ἑτεροσεβοῦσι ἢ ἀθεμιτοφαγοῦσιν· οἱ δὲ καὶ ἐν προγνώσει γίνονται καὶ χρησμοδοσίαις ἢ μαντείαις ἢ ὡς μανιώδεις λαμβάνονται· οἱ δὲ καὶ ἐν μείζονι τύχῃ καὶ δόξῃ καθεστῶτες ἀπὸ ξένης ἢ ἀπὸ ξένων ταραχὰς ἀναδέχονται περιβοησίας τε καὶ ὄχλων ἐπαναστάσεις ἢ πόλεων, ὧν χάριν κίνδυνον οὐ τὸν τυχόντα διὰ τὴν περὶ αὐτῶν πίστιν ὑπομένουσιν ἔχθρας τε καὶ προδοσίας· ἔσθ' ὅτε μὲν οὖν καὶ κατηγορίαις περιπεσόντες καὶ βασιλικοῖς φόβοις καθαίρεσιν δόξης καὶ βίου κομίζονται.

<ιϛ'.> Περὶ ἀνωμαλίας γενέσεων.

Πρὸ πάντων οὖν ἀναγκαῖον πάσης γενέσεως τὴν ὑπόστασιν καὶ τὴν τάξιν ἐπιγνόντας οὕτως καὶ τὰς τῶν ἀστέρων καὶ τῶν ζῳδίων ἁρμόζεσθαι φύσεις, ἵνα μὴ τὸ αὐτὸ ἀποτέλεσμα ἐπὶ τῶν μετρίων καὶ ἐνδόξων λέγηται, ἀλλὰ διάφορον. καὶ γὰρ ἕκαστος ἀστὴρ καὶ ἕκαστον ζῴδιον καὶ μετρίαν ἔχει φύσιν εὐεργεσίας ἢ κακώσεως καὶ ἔνδοξον ἐπέχει ἢ μείζονα κάκωσιν· ὅθεν καὶ μεγάλων ἀγαθῶν αἴτιοι καθίστανται, ὁτὲ δὲ κακῶν. ἐπὰν οὖν ἐπίσημον καὶ λαμπρὰν ὑπόστασιν εὕρωμεν διαφυλασσομένην ὑπὸ τῆς τῶν ἀγαθῶν μαρτυρίας ἐν ταῖς χρονικαῖς παραδόσεσι κακοποιῶν ἐχόντων τοὺς χρόνους ἢ καὶ κατὰ τὴν ἐπέμβασιν τοῖς κέντροις ἢ χρηματιστικοῖς τόποις ἐπεληλυθότων, οὐδὲν

1 πληστάκις V. 2 i. e. deus eis χρηματίζει. 8 ἐκπλοκή etiam apud Artemid., IV, 57, ubi " vox corrupta " Hercher non recte. 9 an ναούς? 13 μήνην V. 15 ἑτέρω σέβουσι V. Christianorum Θυέστεια δεῖπνα ei observari videntur; de vetitis Aegyptiorum cibis monet Cumont (cf. *Catal.*, V, 199, 19; 202, 30) [alia praebet Wellmann, ***Fragmentsammlung***, I, 30, adn.], non recte opinor. 16 μαντείας V (ας V^b ex?). 17 συλλαμβ. Cumont. 25-26 an ἐναρμόζεσθαι? 29 an ἐπέχει <ὠφέλειαν>? possis καὶ <ὁτὲ μὲν>. 32 fors. del. τὴν. 33 ἐπιλεληλυθότων V, corr. dubitans.

λέγομεν ἄτοπον πείσεσθαι τὴν γένεσιν· τὰς δὲ οἰκονομίας [ὡς] παντελῶς ἀτάκτως διοικήσει καὶ περιβοησίας ἢ ψόγους ἀναδέξεται ἔν τε θορύβοις καὶ φόβοις γενήσεται. ἐὰν δέ πως ὁ Ἥλιος ἢ ἡ σύνοδος ἢ ἡ πανσέληνος κακωθῇ, παράνομόν τι καὶ βίαιον διαπραξάμενοι ταραχάς τε καὶ πολυθρυλλήτους <κινδύνους> ὑπομενοῦσι καὶ πόλεων ἢ ἐχθρῶν ἐπαναστάσεις, ὧν χάριν ἐπιθορύβως διάγουσιν. ἐπὶ τῶν οὖν τοιούτων συγκρίνειν δεήσει τὴν τῶν ἀγαθοποιῶν συμπαρουσίαν ἢ μαρτυρίαν, ἵνα αἱ αἰτίαι παρεκδράμωσιν, ἤγουν καθαιρέσεις καὶ ἀτιμίας προλέγειν. ἐὰν δὲ μόνη ἡ Σελήνη ἢ ὁ ὡροσκόπος κακωθῇ, διὰ σκυλμοὺς σωματικοὺς καὶ ἐπισφαλεῖς νόσους ἀφαντασίωτος ἡ τῆς ἀρχῆς δόξα γενήσεται ἀνιαρά τε καὶ ἐπώδυνος τοῖς κεκτημένοις. ἐὰν δέ πως ἡ ὑπόστασις τῆς γενέσεως ἄπρακτον καὶ ἰδιοπράγμονα βίον διάγουσα εὑρεθῇ, οὔτε ἐν ταῖς τῶν χρόνων παραδόσεσιν οὔτε ἐν ταῖς τῶν κατ' ἐπέμβασιν σχηματογραφίαις χρὴ λέγειν ποικίλα καὶ παράδοξα πράγματα οὔτε καινοποιίας πράξεων ἢ μεταβολὰς οὔτε τοὺς πάνυ εὐδαίμονας οἱ κακοποιοὶ ἐπεμβάντες εἰς τοὺς χρηματιστικοὺς τόπους καταβλάψουσιν οὔτε μὴν οἱ ἀγαθοποιοὶ τοὺς μετρίους ὠφελήσουσι διὰ τὸ πρόληψιν καθολικὴν ὑπάρχειν, ἣν ἀλλάξαι τὰ κατὰ μέρος οὐ δύνανται. εἰσὶ μὲν οὖν πολλαὶ γενέσεις ἀπὸ μεγάλης τύχης καὶ δόξης εἰς ταπεινότητα κατερχόμεναι, ἄλλαι δὲ ἀπὸ μετρίας τύχης καὶ ἀπὸ γένους ἀδόξου εἰς εὐδαιμονίαν καὶ περιφάνειαν καταντῶσαι. ἐπὰν οὖν εἰς ὕψος φερομένη ἡ γένεσις εὑρεθῇ ἐκ τῶν καθολικῶν αἱρέσεων, ἐν ταῖς κατὰ μέρος χρονογραφίαις ἀγαθοποιῶν μὲν ἐχόντων τοὺς χρόνους λαμπραὶ ἐπισημασίαι καὶ ὠφέλειαι καὶ προκοπαὶ παρακολουθήσουσι, κακοποιῶν δὲ ἐχόντων μετεωρισμοὶ καὶ ταραχαὶ καὶ ἐνοχλήσεις σωματικαί, ἡ δὲ ὑπόστασις ἀκαθαίρετος διαμένει. ἐὰν δέ πως ἡ γένεσις εἰς ταπεινότητα φέρηται ἐκ τῆς καθολικῆς ὑποστάσεως, οἱ μὲν ἀγαθοποιοὶ τοὺς ἐνιαυσίους χρόνους λαβόντες ἢ ἐπεμβάντες ἀσθενέστεροι εἰς τὸ εὐεργετεῖν γενήσονται, παραχωρήσουσι δὲ τοῖς κακοποιοῖς [εἰς] τὸ καταβλάψαι τὴν γένεσιν. οὕτως οὖν πάντοτε οὔτε οἱ ἀγαθοποιοὶ ἀγαθοποιὸν τόπον ἐπέχουσιν οὔτε μὴν οἱ κακοποιοὶ κακοποιόν, ἀλλὰ διὰ τῆς καθολικῆς ὑποστάσεως εἰς τὰς κατὰ μέρος χρονογραφίας ἐναλλασσόμενοι καὶ γινόμενοι ἀγαθοποιοὶ ***.

Ἄλλως τε τὰς πράξεις ἑκάστης γενέσεως δεῖ ἐξετάζειν, πότερον ἀπὸ Ἑρμοῦ ἢ Ἄρεος ἢ Ἀφροδίτης ἢ Κρόνου τὴν ἐνέργειαν ἔχει ἢ ἀπὸ Ἡλίου καὶ Σελήνης καὶ Διός, ἵνα ἔνδοξος ἡ ὑπόστασις εὑρεθῇ. οὕτως γὰρ ἐν ταῖς παραδόσεσιν ἕκαστος τῶν ἀστέρων καλῶς σχηματισθεὶς ἢ κατὰ τὴν ἐπέμβασιν ἐπελθὼν περὶ τὴν τῆς πράξεως ἀσχολίαν ὠφέλιμος καὶ δοξαστικὸς γενήσεται ὁ ἐνιαυτός. οἷον ἐὰν ἔλθῃ Κρόνος ἐπὶ Ἡλίου ἢ Σελήνης τόπους, περὶ ἃ δηλοῦσιν ἐκ τῆς ἰδίας φύσεως ὁ Ἥλιος ἢ ἡ

2 διοικήσεις V. 8 verba subobscura. 18 ἣν] ἢ V. 32 possis ἐναλλάσσονται γινόμενοι ἀγ. <ἢ κακοποιοί>. 37 nominativum absolutum toleravi.

Σελήνη ἢ οἱ τόποι, περὶ ἐκεῖνα καταβλάψει· ὁμοίως δὲ κἂν ἐπ' αὐτοῦ ὁ ἐνιαυτὸς <ἢ> ἢ πρὸς αὐτὸν ἐκπέσῃ, ἤτοι ὅπου ἔκειτο κατὰ γένεσιν ἢ ὅπου κατὰ τὴν ἐπέμβασιν, περὶ ἐκεῖνα ἐροῦμεν τὰ ἀποτελέσματα. καὶ οἱ λοιποὶ δὲ τῶν ἀστέρων καὶ ὁ Ἥλιος καὶ ἡ Σελήνη ἐν τῷ σχολαστικῷ τόπῳ γενόμενοι καὶ χρονοκρατοῦντες ἐνεργέστεροι καθίστανται, ἐναντιούμενοι δὲ ἐπιτάραχοι. ἐπὶ πάσης δὲ γενέσεως ὁ ἀπὸ Ἡλίου καὶ Σελήνης καὶ ὡροσκόπου ἐνιαυτὸς ἐάν τι μηνύῃ, ἀπαράλλακτον καὶ ἤτοι ἀγαθὸν ἢ φαῦλον. οἷον ἐὰν πρὸς Ἀφροδίτην ἢ Δία ἐκπέσῃ ἢ εἰς χρηματιστικοὺς τόπους, ἀγαθόν· εἰ δὲ πρὸς Κρόνον ἢ Ἄρεα ἢ κεκακωμένους τόπους, φαῦλον· ἐὰν δὲ πρὸς ἀμφοτέρους ἡ παράδοσις γένηται, ἃ δηλοῦσιν οἱ ἀστέρες ἢ οἱ τόποι, ἐν τῷ ἔτει γενήσονται· ἐὰν δὲ αἱ τρεῖς ψῆφοι ἀνόμοια δηλοῦσι, ποικίλον τὸ ἔτος καὶ ἀνώμαλον γενήσεται. βέλτιον μὲν οὖν καὶ τοῖς ἀγαθοποιοῖς τοὺς κακοποιοὺς παραδιδόναι ἢ τοῖς κακοποιοῖς τοὺς ἀγαθοποιούς· ἐὰν δὲ ἀστὴρ ἀστέρι παραδιδῷ ὄντι ἐν ἑνὶ ζῳδίῳ τουτέστιν οἰκοδέκτωρ γενόμενος ἐν τοῖς χρηματιστικοῖς τόποις, πρακτικὸν τὸν χρόνον ἀποτελεῖ.

Δοκεῖ δὲ καὶ οὗτος ὁ λόγος φυσικὸς ὑπάρχειν, ἵνα ἀπὸ ἑκάστου τόπου σημαίνοντός τι ἡ ἄφεσις τῶν ἐτῶν γένηται, οἷον ἀπὸ τοῦ μεσουρανήματος ὅταν περὶ πράξεως ζητῶμεν, καὶ ἀπὸ τοῦ περὶ γάμων, ὅταν περὶ γυναικός, καὶ ἀπὸ τοῦ περὶ δούλων, ὅταν περὶ σωμάτων, καὶ ὁμοίως ἀπὸ τοῦ περὶ τέκνων. Ἐὰν οὖν εὕρωμεν εἰς τὸν καταλήξαντα τόπον ἀγαθοποιοὺς ἐπόντας ἢ μαρτυροῦντας ἢ καὶ χρηματιστικὸν τὸ ζῴδιον, ἐροῦμεν κατόρθωσιν ἢ ὠφέλειαν ἢ καταθυμίαν προαιρέσεως τὴν ἔκβασιν. ἐπὶ παντὸς δὲ εἴδους τὸν οἰκοδεσπότην τοῦ οἰκοδεσπότου συνθεωρεῖν δεήσει ἐν ποίῳ ζῳδίῳ ἔπεστι καὶ πῶς ἐσχημάτισται· ἐὰν γὰρ ὁ οἰκοδεσπότης τοῦ ζῳδίου κακῶς πεσὼν αἴτιόν τι δηλοῖ, ὁ δὲ τούτου οἰκοδεσπότης καλῶς πέσῃ, ἀντανάλυσις τοῦ κακοῦ γενήσεται καὶ ἀπὸ μέρους ὠφέλεια ἢ τῶν προσδοκωμένων κατόρθωσις· λαμβάνουσι δὲ καὶ πίστεις τινὲς ἢ δωρεὰς ἀπὸ μειζόνων ἢ βασιλικῶν προσώπων τῶν καθολικῶν χρόνων ὑπὸ Ἡλίου καὶ Σελήνης ἢ τῶν ἀγαθοποιῶν διακρατουμένων καὶ τῆς ἐπιδιαιρέσεως καλῆς γενομένης. μάλιστα δὲ καθολικῶς ἐπὶ γενέσεως, ἐὰν Ζεὺς Κρόνον καθυπερτερῇ ἢ καὶ τετράγωνος ἢ τρίγωνος ἢ διάμετρος ὑπάρχῃ ἢ συμπαρῇ, ὁμοίως δὲ καὶ ἐὰν Ἄρης τρίγωνος ἢ τετράγωνος ἢ ἐν τῇ ἐπικαταδύσει εὑρεθῇ Διὸς ἐν τῷ ὑπογείῳ ὄντος, μείζονες αἱ δωρεαὶ καὶ ἐπωφελεῖς. ἐπὶ δὲ τῶν παρεχομένων ἑτέροις δωρεὰς ἢ φιλοδοξούντων εἰς δήμους καὶ ἀναλισκόντων εἰς ὄχλους, ἐὰν μὲν ὑπὸ Κρόνου καὶ Ἄρεως Ἑρμῆς εὑρεθῇ ἀκαταμαρτύρητος ἐπὶ γενέσεως ὑπὸ Διὸς καὶ Ἀφροδίτης μαρτυρούμενος, φιλόδοξοι γενήσονται καὶ πλείστης εὐφημίας μεθέξουσι καὶ τιμῆς· ἐὰν δὲ ὑπὸ Ἄρεως ἐπιθεωρηθῇ, μετάνοιαν καὶ μέμψιν καὶ ταραχὴν ἕξουσι καὶ εὐθρυλλήτους περιβοησίας, κἂν ἐκτενῶς εἰς τὰς ἀναλώσεις ὑπαχ-

4 novum loci nomen. 7 de integritate dubito. 27 ἀντανάλησις V. 28 προδοκωμένων V.

θῶσιν· ἐὰν δὲ ὑπὸ Κρόνου, πεφεισμένως καὶ ἐπιψόγως ἢ ἐπικινδύνως διατελοῦσιν· ἐὰν δὲ καὶ ὑπὸ ἀγαθοποιῶν, ἀμφότερα συμβήσεται.

Πᾶσα μὲν οὖν ἀστέρος μαρτυρία δυναστική, ἐξαιρέτως δὲ ἡ κατὰ τετράγωνον ἢ διάμετρον· κριθήσεται δὲ καὶ ἐν τοῖς ἰσαναφόροις. ἐν δὲ Ταύρῳ καὶ Παρθένῳ ἡ παράδοσις γινομένη ἀπὸ τούτων ἀβέβαια καὶ τὰ ἀποτελέσματα δηλοῖ καὶ ὑπερθετικὰ ἢ ἐπίδικα ἢ παν *** ἐν δὲ Τοξότῃ καὶ Αἰγόκερῳ αἰνιγματώδη καὶ ἐπιζήμια διὰ τὸ εἶναι ἀτελῆ τὰ ζῴδια. φυσικωτέρας δὲ τῆς διαιρέσεως οὔσης οὐ μόνον ἐπὶ γενέσεως σκοπεῖν δεήσει τὰς παραδόσεις, ἀλλὰ καὶ ἐπὶ καταρχῶν καὶ δραπετῶν ἐπιγνόντας τὴν ὥραν καὶ ἀστερίσαντας τῷ αὐτῷ τρόπῳ χρῆσθαι καθάπερ ἐπὶ γενέσεως καταρχῶν. ἐπὰν Κρόνος καὶ Ἄρης λόγον ἔχωσι πρὸς Ἥλιον καὶ Σελήνην ἢ τὸν ὡροσκόπον ἤτοι κατ' ἐναντιότητα ἢ καθυπερτέρησιν ἢ κατὰ ἑτέραν κακώσεως δύναμιν, ἐὰν δέ πως γένεσις παιδὸς δοθῇ μηδέπω δυναμένου χωρεῖν ἀποτέλεσμα οἷον πράξεως ἀρχήν, παραδόσεις δὲ τῶν ἀστέρων εὑρίσκωνται, πρὸς τὸν πατέρα καὶ τὴν μητέρα γενήσεται τὰ ἀποτελέσματα, ἔσθ' ὅτε καὶ πρὸς τὸν δεσπότην, ἕως ἂν τὸν τῆς ἀκμῆς χρόνον καταλαβὼν ὁ γεννηθεὶς αὐτὸς ἀναλάβῃ τὰ σημαινόμενα· μόνον δὲ τὰ δυνάμενα χωρεῖν αὐτῷ προσνέμειν οἷον δωρεὰν κατάλειψιν ἢ διωνυμίαν χάλασμα καὶ ἐξανθήματα καὶ τὰ λοιπά. ἔσθ' ὅτε μὲν οὖν καὶ παράδοξά τινα ἀποτελέσματα τοῖς τοιούτοις εἴωθεν συμβαίνειν, ἅτινα πρόδηλα γίνεται ἐκ τῆς καθολικῆς [καὶ] συγκρίσεως τῶν ἀστέρων. δεῖ οὖν καὶ κατὰ τὰς ἡλικίας καὶ κατὰ τὰ ἔθη τῶν τόπων καὶ τοὺς νόμους καὶ τὰ ἀποτελέσματα συναρμόζεσθαι κατὰ τοὺς σημαινομένους χρόνους· οὕτως γὰρ ἀδιάψευστος ἡ πραγματεία κριθήσεται. πρὸς δὲ δοιοῖν γενέσεων ἤτοι ἀδελφῶν ἢ ἀνδρὸς ἢ γυναικὸς ἢ συγγενῶν ἢ ἄλλων φιλικῶν προσώπων δεῖ κατὰ γένεσιν τῷ προσοικειωμένῳ τὸ ἀποτέλεσμα ἀποφαίνεσθαι κατὰ τὸν ἐπιβάλλοντα χρόνον καὶ λέγειν ἐκείνῳ πρότερον ἢ ὕστερον συμβήσεσθαι, τῷ δ' ἑτέρῳ ἐκ δευτέρου μέρους τὸν τρόπον ἀπονεῖμαι. οἷον ἐάν τινι φέρῃ ὠφεληθῆναι ἀπὸ νεκρικῆς προφάσεως, ἑτέρῳ δὲ καθολικῶς κληρονομίαν, ἐξ ἧς ὁ προειρημένος προσδοκᾷ τὴν ὠφέλειαν, οὐκ ἐν τοῖς χρόνοις τούτοις γενήσεται ἡ ὠφέλεια ἀλλ' ἐν τοῖς τοῦ τὴν κληρονομίαν προσδοκῶντος· ἐκ γὰρ τοῦ μεσουρανήματος καὶ τὸ ἀποτέλεσμα γενήσεται ἢ πολλάκις περὶ ἑνὸς μὲν τάχιον γέγονε τὸ ἀποτέλεσμα, περὶ δὲ τὸν ἕτερον μετὰ χρόνον τὸ αὐτὸ ἤτοι δι' ἀποδημίαν ἢ κρίσιν ἢ κατηγορίαν ἢ ἑτέραν τινὰ αἰτίαν· τὸ δὲ ὅμοιον ἐπὶ δόξης καὶ δωρεᾶς καὶ ἀγορασμῶν

1 πεφησμένως V^b. 4 τετραγώνου per comp. V. possis συγκριθήσεται δὲ καὶ <ἡ> ἐν. 5 sunt videntia signa. 6 post παν lac. VII litt. V possis e. g. πανώλεθρα. 7 haec enim αἰνιγματώδη et ἡμιτελῆ (Maxim. 107, 26; 109, 2 Ludw.; *Catal.*, I, 166, 7). καὶ ἐπιζήμια] κατεζητημία V. 11 an del. καταρχῶν? 13 fors. lacuna post δύναμιν. 15 εὑρίσκονται V. 18 σημαίνοντα V^b. ζ νέμειν V. 19 an χαλάσματα? 25 πρὸς ubi expectas ἐπί. δυοῖν S. 28 συμβήσεται V^a. 31 ἐξῆς V. 33 ἀποτέλεσμα scripsi ubi in V signum $\binom{X}{X}$. 34 an περὶ ἕνα?

καὶ πράσεως καὶ κοινωνίας καὶ συναρμογῆς ἢ ξενιτείας καὶ τῶν λοιπῶν τῶν ἐν βίῳ συντελουμένων νοείσθω. ἔνθεν ὁτὲ μὲν εἴωθεν προλαμβάνειν τὰ ἀποτελέσματα, ὁτὲ δὲ ἐπιβραδύνειν διὰ τὰς τῶν γενέσεων συμπαθείας ἢ καὶ ἐναντιότητας· καὶ καθάπερ δι' ὀργάνου ἡ φύσις ἐκ τῆς τῶν ἀστέρων ἀνακυκλήσεως τὰς τῶν ἀποτελεσμάτων δυνάμεις ἀνήπλωσε, ὁτὲ μὲν αἰφνιδίως ἢ ἀπροσδοκήτως ἐπιφέρειν, ὁτὲ δ' ἐπιτείνειν καὶ διακατέχειν μετ' ἀνάγκης, μέχρις οὗ ὁ τὴν ἐναρμόνιον τῶν πραγμάτων κεκτημένος πρόφασιν παραλάβῃ τοὺς ἀστέρας.

Δεῖ δὲ καὶ ἐκ τῶν κοσμικῶν τὰ τοιαῦτα ὑποδείγματα μαθόντας συγκρίνειν, ὅπου οὐ πάντοτε ὁ Ἥλιος ἐκ τῶν τροπικῶν μοιρῶν τὰς μεταβολὰς τῶν ἀέρων τὰς αὐτὰς ποιεῖται, ἀλλ' ὁτὲ μὲν εἰς εὐκρασίαν προλαμβάνων τὸ κοσμικὸν κατάστημα ἄγει, ὁτὲ δὲ τὰς χειμερίους τροπὰς εὔδιος διελθὼν ἐξ ὑστέρου πολλὴν ζάλην καὶ φοβερὰν ἀνέμων ῥοπὴν κατεσκεύασεν· οὔτε μὴν ἡ Σελήνη κατὰ τὰς δοκούσας φάσεις τὰς ἐπομβρίας συντελεῖ ἢ μετὰ τοὺς συνδέσμους ἀνίσχει τὸν ἀέρα, ἀλλ' ὁτὲ μὲν προχειμάζει καὶ προλαμβάνει τὴν τῆς φύσεως αἰτίαν ὡς παρὰ προσδοκίαν σύγχυσιν οὐ τὴν τυχοῦσαν τῶν καιρῶν γίνεσθαι, ὁτὲ δὲ μηδ' ὅλως ἐνδειξαμένη χειμερινὴν στάσιν ἐν αὐτῇ τῇ φάσει εὔδιον τὸν ἀέρα κατέστησεν, ἔσθ' ὅτε δὲ παραλλάξασα τὴν τοῦ συνδέσμου λύσιν εἰς χειμέριον μεταβολὴν ἐχώρησεν. ὁμοίως δὲ καὶ αἱ λοιπαὶ ἐπισημασίαι τῶν ἀστέρων καὶ δύσεις οὐ κατὰ τὰ αὐτὰ γενήσονται, ἀλλ' ὁτὲ μὲν προλήψονται ὁτὲ δὲ ἐξ ὑστέρου τὰς φάσεις ποιήσονται, ἔσθ' ὅτε δὲ οὐδ' ὅλως ἐνδείξονται. ταῦτα δὲ συμβαίνει ἐναλλάσσεσθαι παρὰ τὰς τοῦ ἔτους ἀνατολὰς καὶ συνόδους καὶ πανσελήνους καὶ ἐκλείψεις καὶ τετραετηρίδας καὶ καθολικοὺς καὶ κυκλικοὺς οἰκοδεσπότας καὶ πρὸς τὰς τῶν κατὰ καιρὸν ἐπεμβάσεων ἐναλλαγάς.

<ιζ´.> Περὶ παραδόσεως ἀστέρων καὶ ἀποτελεσμάτων καὶ ὡροσκόπου.

Ἀκολούθως δὲ καὶ τὰς παραδόσεις τῶν ἀστέρων ὑποτάξομεν. Ἥλιος μὲν οὖν Κρόνῳ παραδιδοὺς πονηρὸν τὸ ἔτος ἀποτελεῖ· ἀπραγίας γὰρ καὶ ἐναντιώματα σημαίνει ἔχθρας δὲ ἢ ἀντιλογίας καὶ ἀπὸ ὑπερεχόντων ἢ πρεσβυτέρων κακώσεις καὶ ταγμάτων ἐπαναστάσεις νόσους τε ἢ ὀφθαλμίας ἀνωμαλίας τε βίου καὶ κινήσεις ἐπιφόβους ὑποτακτικῶν τε ἐπιθέσεις καὶ πατρὸς θάνατον ἢ ὁμοίου πατρός. κακῶς πεσὼν καταιτιασμοὺς ἀποτελεῖ καὶ συνοχάς.

Ἥλιος Διὶ παραδιδοὺς τὸ ἔτος λαμπρὸν τὸ ἔτος δηλοῖ καὶ πατρὸς

8 an τοὺς χρόνους? 13 τρόπους V, corr. S. 15 ἀνίσχει haud sanum, possis ἀναψύχει. 18 χειμερεινὴν V^b. 31 δὲ] nempe τε. ἀπολογίας V^a. 32 πραγμάτων V. 35 π. καὶ καταιτιασμοῦ ἀπ. συν. V nisi praestat ἐκ pro καί.

δόξαν τῷ ἔχοντι καὶ ὑπερεχόντων συστάσεις καὶ εὐημερίας καὶ δωρεὰς καὶ πράξεις ἐπισήμους ἢ ἀρχὰς ἢ σπορὰς τέκνων καὶ ἀγάμοις γάμον ἀποτελεῖ καὶ ἐν τοῖς διαπρασσομένοις ἐστὶν ἀνυστικὸς καὶ εὐκατόρθωτος ἀγαθὰς ἐλπίδας προσδεικνύων. — Ἥλιος Ἄρει νοσερὸν καὶ ἐπισφαλὲς τὸ ἔτος δηλοῖ καὶ πατρὸς κίνδυνον ἢ τοῦ ὑπὸ τοιοῦτον χαρακτῆρα· αὐτῷ † ταραχοὺς ἐμπράκτους καὶ μετὰ πολλῆς ἀνακρίσεως κατορθώσεις πραγμάτων ἐξοδιασμούς τε καὶ ἀκαίρους ζημίας καὶ ἀπὸ μειζόνων προσώπων ἔχθρας ἢ πατρός, ὑποτακτικῶν τε κακώσεις τομάς τε καὶ αἱμαγμοὺς ἢ [δι'] αἵματος ἀναβολὴν καὶ τῶν ἡγεμονικῶν τόπων πόνους ἢ ἐπισκιασμοὺς ἐπιφθόνους τε αἰτίας καὶ ἐπηρείας. — Ἥλιος Ἀφροδίτῃ ἀγαθὸν καὶ προσφιλῆ τὸν χρόνον δηλοῖ· συστάσεις γὰρ καὶ φιλίας περιποιεῖ καὶ δωρεὰς καὶ τέρψεις συνηθείας τε καὶ γάμους καὶ τεκνώσεις ἢ ἀγορασμοὺς κόσμου ἢ σωμάτων, τοῖς δ' ἐν ὑπεροχῇ ἀρχὰς καὶ δόξας ἐπισήμους καὶ μειζόνων ἐλπίδων ἐπόπτας πραγμάτων τε καὶ πάσης αἰτίας ἀπαλλακτικός. — Ἥλιος Ἑρμῇ ἀγαθὸς πρακτικὸς ἐπικερδὴς κοινωνικός, εἰς τὰ ὑποτακτικὰ πρόσωπα εὐεργετικός, περὶ τὰς δόσεις καὶ λήψεις ἀνυστικός. ἐὰν δέ πως ὑπὸ κακοποιῶν θεωρηθῇ, δίκας καὶ ταραχὰς ἐπάγει, χάριν ἀργυρικῶν ἢ γραπτῶν φόβους, δουλικῶν τε καὶ φιλικῶν καταγνώσεις ἀκαίρους τε ἐξοδιασμοὺς καὶ ζημίας. — Ἥλιος Σελήνῃ πρακτικὸς καὶ φιλάνθρωπος ἀποτελῶν περικτήσεις καὶ ἀπὸ ἀρρενικῶν καὶ θηλυκῶν ὠφελείας καὶ συστάσεις γάμους τε καὶ συνελεύσεις καὶ γονὰς ἐπισήμους καὶ ἀπὸ ξένων ἢ ἀπὸ ξένης εὐημερίας καὶ δωρεάς. — Ἥλιος ἑαυτῷ ἐπιμερίσας καὶ καλῶς σχηματισθεὶς λαμπρὰς ἐπισημασίας καὶ πράξεις ἀποτελεῖ πρός τε ὑπερέχοντας καὶ μείζονας συστάσεις καὶ ἀπροσδοκήτους ὠφελείας. ἐὰν δὲ καὶ μετὰ ἀγαθοποιῶν τύχῃ ἢ μαρτυρηθῇ, μείζονας τὰς δόξας καὶ τὰς ὠφελείας ἐπάγει· νυκτὸς δὲ ἧσσον ἢ ἐπιτάραχος γενήσεται ἔχθρας ἀποτελῶν καὶ κρίσεις ἢ ἐπιφθόνους αἰτίας. εἰ δὲ καὶ κακοποιὸς συμπέσῃ ἢ ἐπιμαρτυρήσῃ, μείωσιν βίου ἢ καθαίρεσιν δόξης ἐπάγει ξενίας τε ἐπισφαλεῖς καὶ πατρὸς ἔχθραν ἢ κίνδυνον καὶ πραγμάτων ταραχάς.

Πρότερον μὲν οὖν χρὴ σκοπεῖν τὰς τῶν ἀστέρων φύσεις καὶ σχηματογραφίας· τῆς μὲν γὰρ οἰκείας αἱρέσεως ἕκαστος τυχὼν καὶ καλῶς σχηματισθεὶς κατὰ τὴν ὑπόστασιν τῆς γενέσεως τὰς τῶν ἀποτελεσμάτων δυνάμεις ἐνδείξεται, τῆς τῶν λοιπῶν μαρτυρίας καὶ τῆς ἐπεμβάσεως πολὺ δυναμένης θραῦσαι ἢ προσεπιτεῖναι τὸ κακὸν ἢ ὠφελῆσαι καὶ δοξάσαι. βέλτιον μὲν οὖν ἐν χρηματιστικοῖς ζῳδίοις εὑρίσκεσθαι αὐτοὺς καὶ ἀνατολικούς· ἐὰν δὲ ὑπὸ δύσιν τύχωσιν ἢ καὶ παραπέσωσιν ἀνοικείως κακωθέντες, εἰς τοὐναντίον τραπήσονται.

4 nempe προδεικνύων 5 τοῦ] τὸν V. 6 nempe γὰρ καιροὺς vel sim. (ταραχὰς S). 7 κατορθώσει V. πραγμάτω V. 36 πολλῆς V[a].

<ιη'.> Ἐπιμερισμοὶ Σελήνης.

Σελήνη ἑαυτῇ ἐπιμερίσασα ἀηδής· ἐπάγει γὰρ ἔχθρας καὶ ἀντιδικίας ἀπὸ μειζόνων προσώπων καὶ βίου αὐξο *** οἰκείων τε ἢ γυναικὸς ἀντικαταστάσεις· ἐὰν δὲ κακοποιὸς ἐπιθεωρήσῃ, σωματικὰς ἀσθενείας καὶ κινδύνους αἰφνιδίους ἀποτελεῖ. σκοπεῖν δὲ δεῖ ἐν τούτῳ τῷ χρόνῳ καὶ αὐτὸ τὸ ζῴδιον ἐν ᾧ ἔπεστι ἡ Σελήνη, μήπως κακοποιὸς ἐπεμβὰς χείρονά τινα ἀποτελέσει· εἰ δ' ἀγαθοποιός, λύσιν τῶν αἰτιῶν, πλὴν ξενιτείας ἐπάγει καὶ μεταβολὰς τόπων, εἶθ' οὕτως ἀπόροις κατόρθωσιν τῶν πραγμάτων καὶ τῶν φαύλων ἴασιν ἀποτελεῖ. — Σελήνη Ἡλίῳ ἐπιμερίσασα κένωσιν βίου καὶ ἐξοδιασμοὺς πλείστους ἀποτελεῖ καὶ μάλιστα, ἐὰν ὑπὸ κακοποιῶν θεωρηθῇ, ἐγκοπὰς τῶν πράξεων καὶ κενὰς ἐλπίδας προδείκνυσι καὶ στάσεις καὶ ταραχὰς οἰκείων τε ἀκαταστασίας καὶ θηλυκῶν ἐπιπλοκὰς ἢ γάμους· τοῖς δ' ἐν εὐσταθείᾳ καὶ δόξῃ βίου ὑπάρχουσιν ἐξοδιασμοὺς εἰς ἀγορασμὸν ἢ κατόρθωσιν πραγμάτων καὶ προκοπὴν ἢ εἰς δωρεάς τινας καὶ εὐεργεσίας. — Σελήνη Κρόνῳ ἐπιμερίσασα ποικίλον καὶ μετέωρον τὸ ἔτος καὶ μητρὸς ἀσθένειαν ἢ θάνατον, ἐὰν περιῇ, ἔχθρας τε καὶ ἀκαταστασίας πραγμάτων καὶ τόπων μεταβολὰς καὶ ψύξεις πράξεων καὶ σωματικοὺς κινδύνους καὶ κρυπτῶν πόνους ἢ αἰσθητηρίων καὶ μάλιστα λειψίφως οὖσα· ἀνατολῆς δὲ οὔσης ἧττον τὸ κακόν, πλὴν βλαβερὸς καὶ λυπηρὸς ὁ χρόνος. — Σελήνη Διὶ ἀγαθὸν καὶ πρακτικὸν τὸν χρόνον δηλοῖ ἐν περιποιήσει καὶ συστάσει μειζόνων, δόξας τε καὶ ἀρχὰς ἀπό τε θηλυκῶν ὠφελείας καὶ δωρεάς· ἀγάμοις γάμον, γεγαμηκόσι τέκνωσιν συνηθείας τε προσφιλεῖς ἢ μητρὸς αὔξησιν βίου ἢ δόξης τοῖς ἔχουσι κατόρθωσίν τε πραγμάτων καὶ προσδοκωμένων ἐλπίδων συντέλειαν. — Σελήνη Ἄρει παραδιδοῦσα χαλεπὸς ὁ ἐνιαυτὸς καὶ μάλιστα ἐὰν ἀπὸ ἀνατολῆς φέρηται ἡμέρας· κινδύνους γὰρ καὶ ἀσθενείας ἀποτελεῖ, αἱμαγμοὺς καὶ πτώσεις ἢ πυρὸς ἐπιφορὰς ζημίας τε καὶ οἰκείων ἀκαταστασίας θηλυκῶν τε θανάτους ἢ χωρισμοὺς ἔχθρας τε καὶ κρίσεις συνοχάς τε καὶ ὄχλων ἐπαναστάσεις. ἐὰν δ' ἀφαιρετικὴ τύχῃ ἡ Σελήνη ἢ ὑπὸ δύσιν φέρηται μάλιστα νυκτός, πρὸς τὰ φαῦλα ἐπιόντων τῶν χρόνων καὶ πρὸς τὰς ἐπιβολὰς εὐκατόρθωτον ἀποτελεῖ μετὰ φόβων καὶ μόχθων. — Σελήνη Ἀφροδίτῃ εὐεπήβολον καὶ ἀνυστικὸν τὸν χρόνον δηλοῖ καὶ δόξας καὶ συστάσεις ἀπό τε ἀρρενικῶν καὶ θηλυκῶν συμπαθείας τε καὶ γάμους. ἐὰν δέ πως ἀνοικείως τύχωσιν ἢ ὑπὸ κακοποιῶν θεωρούμενοι, ἀηδίας καὶ φθόνους καὶ εἰς θηλυκὰ πρόσωπα δαπάνας καὶ ἀθετήσεις. καθολικῶς μὲν οὖν πάντοτε ἡ

3 αὐξο et lac. V litt. V si verum αὐξο, fuit αὐξομειώσεις. 7 ἀποτελέσῃ fort. V[a]. 18 ψύξοις V. 19 λειψόφος V. 20 nempe ἀνατολικῆς. 25 ante ἐλπίδων fort. est καὶ in V. 26 χαλεπὸν V, corr. S. 28 fors. <τε> καὶ. 30 ἀφαιρητικὴ V. 31 haec non sana. 36 εἰς] ἐκ V.

παράδοσις αὕτη ζηλοτυπίας καὶ στάσεις καὶ ἀκαταστασίας ἐπάγει ἔχθρας τε πρὸς συγγενικὰ ἢ οἰκεῖα καὶ φιλικὰ πρόσωπα. — Σελήνη Ἑρμῇ πρακτικὸν καὶ εὐκατόρθωτον πρός τε θηλυκὰ πρόσωπα καὶ τὰς συστάσεις, καὶ ἐὰν μάλιστα μετὰ ἀγαθῶν συσχηματίζηται· ἐὰν δὲ μετὰ κακοποιῶν, δίκας καὶ ταραχὰς ὑπομενοῦσι χάριν ἀργυρίων ἢ γραπτῶν ἢ ψηφικῶν πραγμάτων καὶ ἀγῶνα μέγαν ὑπομενοῦσι· καὶ ἐὰν μὲν ἐπιτόπως ὁ Ἑρμῆς εὑρεθῇ κείμενος, περιγίνονται· ἐὰν δὲ ἀτόπως, καταδικασθήσονται καὶ ἐξοδιασμοὺς πλείστους ποιήσονται.

<ιθʹ.> Ἐπιμερισμοὶ ὡροσκόπου.

Ὡροσκόπος ἐὰν κακοποιῷ παραδιδοῖ, κάκιστον τὸν χρόνον ἀποτελεῖ, μάλιστα Κρόνῳ νυκτός, ἡμέρας δὲ Ἄρει· κινδύνους γὰρ σωματικοὺς καὶ βιωτικὰς ἀνωμαλίας ἐπάγει φόβους τε καὶ αἰτίας ἐπιταράχους πτώσεις τε ἢ σίνη. — Ὡροσκόπος Διὶ λαμπρὸν καὶ περικτητικὸν τὸν χρόνον δηλοῖ καὶ δόξας καὶ τάξεις ἐπισήμους· οἱ δὲ ἀπὸ μειζόνων ὠφελοῦνται καὶ προάγονται, τινὲς δὲ καὶ κινδύνων ἢ αἰτιῶν ἀπαλλαγέντες εὐπαρηγόρητοι καθίστανται, οἱ δὲ καὶ ἐλευθερίας πειρῶνται. — Ὡροσκόπος Ἀφροδίτῃ ἀγαθὸν καὶ ἐπαφρόδιτον τὸν χρόνον δηλοῖ συστάσεις τε καὶ θηλυκῶν ἐπιπλοκὰς ἀγορασμούς τε καὶ εὐφροσύνην καὶ κακῶν ἀπαλλαγήν. — Ὡροσκόπος Ἡλίῳ πρὸς τὰ μείζονα καὶ ὑπερέχοντα συμπαθέστερον καὶ περιποιητικὸν τὸ ἔτος δηλοῖ· τοῖς δὲ ἐν δόξῃ μείζονας τὰς τάξεις καὶ προκοπάς. — Ὡροσκόπος Σελήνῃ ἀμετάβολον καὶ πρακτικὸν ἀπό τε θηλυκῶν ὠφελείας καὶ συστάσεις καινισμοὺς πράξεις τε καὶ ξενιτείας εὐκατορθώτους, καὶ μάλιστα ἐὰν ἀγαθοποιοὶ μαρτυρήσωσιν, ἐπὶ ξένης εὐημερίας· ἐὰν κακοποιοί, τὰ ἐναντία, πρὸς ἐπὶ τούτοις δὲ καὶ ταραχάς. — Ὡροσκόπος Ἑρμῇ πρακτικὸν καὶ ἐπικερδῆ καὶ εὐκατόρθωτον· ἐὰν δ' ὑπὸ κακοποιῶν βλάπτεται, ἐπίδικον καὶ ἐπιζήμιον.

Ὁμοίως δὲ καὶ οἱ ἀστέρες τῷ ὡροσκόπῳ παραδιδόντες τὰ αὐτὰ ἀποτελοῦσι· κατὰ δὲ τὴν ἑκάστου οἰκείαν τοποθεσίαν ἢ ὡς ἐναλλὰξ καὶ τὸ ἀποτέλεσμα κριθήσεται εἴτε ἀγαθοποιὸν ἢ φαῦλον.

<κʹ.> Ἐπιμερισμοὶ Κρόνου.

Κρόνος ἑαυτῷ ἐπιμερίσας σκυλμοὺς καὶ ἀπραξίας σημαίνει καὶ ἀπὸ μειζόνων ἢ πρεσβυτέρων ἔχθρας καὶ ἀτιμίας πρός τε τὰς ἐπιβολὰς ἐγκοπτικὸς γενήσεται ἢ καὶ ἐάν τι πράξῃ ἀβέβαιον ἔσται. ἐὰν δὲ καὶ ὑπὸ Ἑρμοῦ καὶ Ἄρεως θεωρηθῇ, ἕνεκα γραπτῶν συκοφαντίας ἕξει καὶ κρίσεις καὶ παλαιῶν πραγμάτων ἢ θανατικῶν ἀνασκευὰς ἢ κακουργίας δόλους τε καὶ ὡς ἀπὸ θεοῦ μῆνιν ἔχων διατελέσει *** ἠπιώτερος

5 nempe ἀργυρικῶν. 6 μέγα V. 7 ἐπιτόμως V. ἀτόπως aut ἀτιτῶς aut sim. V. 29 an del. ὡς? 37 ὡς] ὅσα V. εἶχον V. excidit fere ἐὰν δ' ἀγαθοποιοὶ μαρτυρήσωσιν.

γενήσεται καὶ μετὰ βραδυτῆτος καί τινων ἀνυστικός. — Κρόνος Ἡλίῳ πατρὸς κίνδυνον ἢ θάνατον, ἐὰν παρῇ ἤδη ἀσθένεια αὐτῷ, καὶ μετέωρον τὸν ἐνιαυτὸν ἀποτελεῖ ἔχθρας τε καὶ ζημίας ἢ κρίσεις αἰσθητηρίων τε πόνους καὶ παθῶν ὑπομνήσεις καὶ πρὸς φίλους καὶ οἰκείους μικροψυχίας· ἐὰν δ' ἡμέρας σχηματιζόμενος καλῶς τύχῃ, μετὰ ἐγκοπῶν καὶ ἐξοδιασμῶν ποιήσονται ἢ ἀπὸ θανάτου ὠφεληθήσονται. — Κρόνος Σελήνῃ μητρὸς κίνδυνον τοῖς ἔχουσιν· εἰ δὲ μή, θηλυκῶν προσώπων· ἔχθρας τε καὶ χωρισμοὺς βλάβας τε καὶ κακουργίας καὶ πραγμάτων ταραχὰς καὶ κινήσεις ἐπισφαλεῖς καὶ σωματικὰς ἀσθενείας καὶ χρονικὰ πάθη τῶν τε ἐντὸς ὀχλήσεις καὶ νεύρων αἰσθήσεις ἐκλύσεις τε καὶ σκοτισμοὺς καὶ πάθη ἀπροσδόκητα. — Κρόνος Ἄρει κάκιστον καὶ ἐπικίνδυνον τὸ ἔτος δηλοῖ· ἀσθενείας γὰρ καὶ ἐπιβουλὰς καὶ ὀχλήσεις ἀποτελεῖ καὶ κινδύνους ἰδίων τε θανάτους καὶ ὑπὲρ ἰδίων ταραχὰς ἢ κρίσεις ὑπομένοντας φίλων ἀχαριστίας οἰκείων ἀκαταστασίας ἀπολογίας τε καὶ πρὸς μείζονας φόβους καὶ ἔχθρας πατρός τε θάνατον τοῖς ἔχουσιν ἢ πρεσβυτέρων προσώπων ξενιτείας τε ἐπισφαλεῖς ἢ ἀπράκτους. ἐὰν δέ πως κακῶς πέσωσι, καὶ ναυάγια καὶ καθαιρέσεις πάθη τε καὶ σίνη ἀποτελοῦσιν· ἐὰν δὲ ἐν χρηματιστικοῖς ζῳδίοις καλῶς σχηματισθῶσιν ἢ ὑπὸ ἀγαθοποιῶν μαρτυρηθῶσιν, αἱ πλείους αἰτίαι διασκεδασθήσονται. — Κρόνος Διὶ καλὸν καὶ πρακτικὸν τὸν χρόνον δηλοῖ· κληρονομίας γὰρ ἢ καταλείψεις λαμβάνουσι καὶ ἀπὸ πρεσβυτέρων ἢ νεκρικῶν ὠφελοῦνται καὶ θεμελίων ἢ κτημάτων κυριεύσουσιν. οἱ δὲ καὶ ἐξ ὑγρῶν περικτῶνται ἢ ναυκληροῦσιν ἢ ἀγορασμοὺς πλοίων ποιοῦνται ἀνοικοδομοῦσί τε ἢ καταφέρουσι παλαιῶν τε πραγμάτων κατορθώσεις ποιούμενοι συγκοσμοῦνται τῷ βίῳ. ἐὰν δέ πως ὁ τοῦ Ἄρεως ἢ ὁ τοῦ Ἑρμοῦ συνεπιμαρτυρήσῃ, κρίσεις ἢ ἀντιδικίας ὑπομένοντες ἀκαίρους ἐξοδιασμοὺς ποιήσονται. — Κρόνος Ἀφροδίτῃ χωρισμοὺς γυναικῶν ἢ ἀπὸ θηλυκῶν ἀδικουμένους· τινὲς δὲ καὶ θανάτους θεωροῦσι ἀστατοῦσί τε περὶ τὰς συμβιώσεις καὶ τὰς ἐπιπλοκάς. οἱ δὲ καὶ ἐπιβουλεύονται ἢ φαρμάκων πεῖραν λαμβάνουσιν καὶ τῶν ἐντὸς ὀχλήσεις ὑπομένουσιν ἀσθενείαις τε καὶ ψυγμοῖς καὶ ῥευμάτων ἐπιφοραῖς περιπίπτουσι καὶ ἐναντιώμασι καὶ κρίσεις καὶ καινοποιίας πράξεων. ἐὰν δὲ γυναικὸς ἡ γένεσις εὑρεθῇ, ἐπωδύνως διάξει καὶ μάλιστα ἐὰν κατὰ γαστρὸς ἔχῃ· καὶ τοῖς κατ' ἄνδρα φίλοις ἀκαταστατήσει. — Κρόνος Ἑρμῇ παλαιῶν πραγμάτων ἢ μυστικῶν ἀμφισβητήσεις ἀργυρικῶν τε ἢ ψηφικῶν δόσεών τε καὶ λήψεων ἔν τε τοῖς διαπρασσομένοις ἐγκοπὰς καὶ ζημίας προδοσίας τε καὶ ἔχθρας· θεωροῦσι δὲ καὶ

5 κενεῶς (et o supra ω ut vid.) V. fort. <προκοπὰς> ποιήσονται. 6 θανατ' V possis etiam θανατικῶν. 10 αἰσθήσεις „dolores"? ἀναισθησίας Cumont. 15 possis ἀντιλογίας. 16 οὖσιν V. 20 διασχεδασθήσονται V. 21 καταλήψεις V. 22 κυριεύσωσιν V. 24 καταφέρουσι „destruunt". 28 an <γυναικῶν> θανάτους? 30 λαμβάνουσαι V^{b}. 31 ἀσθενείας V. 32 aut dativi restituendi aut verbum (velut ὑπομένουσι) addendum. 34 „cum meriti amicis rixabitur"? 35 an μυστικῶν <ἕνεκα>?

ἰδίων θανάτους καὶ πολυΐστορες καὶ περίεργοι γίνονται ἐν τούτοις τοῖς χρόνοις ἐγγύαις τε καὶ δάνεσι περιπίπτουσι καὶ διὰ γραπτὰ ἐπιταράσσονται κατὰ τὴν τοῦ θέματος σχηματογραφίαν αὐτῶν οἰκείαν ἢ ἀλλοτρίαν· τετράγωνοι γὰρ ἢ διάμετροι κάκιστοι τυγχάνουσι καὶ καθαιρετικοί· ἐπάγουσι γὰρ καὶ διὰ νεκρικὰς ἀφορμὰς φόβους καὶ ταραχάς.

<κα'.> Ἐπιμερισμοὶ Διός.

Ζεὺς ἑαυτῷ ἐπιμερίσας ἀγαθὸν καὶ πρακτικὸν τὸν χρόνον ἀποτελεῖ καὶ ὠφελείας ἀπὸ φίλων καὶ δωρεὰς καὶ πραγμάτων κατορθώσεις πίστεις τε καὶ οἰκονομίας καὶ συστάσεις μειζόνων καὶ τέκνων σποράς· ἐὰν δέ πως ὑπὸ Ἄρεως θεωρηθῇ, ἀνωμαλίας καὶ ἀκαίρους ἐξοδιασμοὺς προδηλοῖ. — Ζεὺς Ἡλίῳ ἐπιμερίσας λαμπρὸν καὶ περιποιητικὸν τὸν χρόνον δηλοῖ ** πρὸς τὰ ὑπερέχοντα πρόσωπα καὶ ὀχλικὰς εὐημερίας ἐπάγει ἀρχάς τε καὶ προκοπάς, καὶ τιμῶν καὶ στεμμάτων καταξιοῖ ἡγεμονίας τε καὶ στραταρχίας καὶ ἐξουσιαστικῆς τύχης πρόδηλος κατὰ τὴν τοῦ θέματος τάξιν καὶ τοποθεσίαν. τοῖς δὲ μετρίοις πράξεις καὶ κακῶν ἀπαλλαγὴν καὶ ἐλευθερίαν συστάσεις ἐπωφελεῖς μεταβολὰς καὶ φιλίας συμπαθεῖς τεκνοποιίας ἐπικτήσεις σωμάτων, καὶ μάλιστα ἡμερινὸς καλῶς σχηματιζόμενος. — Ζεὺς Κρόνῳ μετεώρους κινήσεις καὶ ἐξοδιασμοὺς ποιεῖ καὶ οἰκείων ἀπειθείας, τινῶν δὲ καὶ θανάτους καὶ τόπων καὶ πραγμάτων μεταβολὰς καὶ κοινωνίας ἀβεβαίους καὶ φίλων ἔχθρας καὶ ἐν τοῖς διαπρασσομένοις δυσεπιτεύκτως ἢ μετὰ ὑπερθέσεως κατορθοῦντας καὶ ἐντεύξεις ποιουμένους καὶ αἰτήσεις καὶ ἐν ὀχλήσει γινομένους. — Ζεὺς Ἄρει βλαβερὸς καὶ ἐπιτάραχος ὁ ἐνιαυτὸς καὶ πρὸς ὑπερέχοντας ἔχθρας καὶ διαβολὰς καταγνώσεις τε καὶ προδοσίας ἐπέχων ἐπικινδύνους τε ξενιτείας καὶ νόσους ἐπισφαλεῖς ἰδίων τε κλιμακτῆρας ἢ θανάτους ἀνωμαλίας τε βίου καὶ ἐξοδιασμούς. ἐὰν δὲ δημοσία ἢ στρατιωτικὴ ἡ γένεσις εὑρεθῇ καὶ τὸ σχῆμα καλῶς τύχῃ, συστάσεις καὶ προκοπὰς μετὰ ἐξοδιασμῶν ἀποτελεῖ δωρεάς τε καὶ ὑποσχέσεις, ἐπιφόβως δὲ ἢ ὑπόπτως διάγοντας. — Ζεὺς Ἀφροδίτῃ ὠφέλιμος καὶ περικτητικὸς ἐπαφροδισίας ἐπάγων συστάσεις τε καὶ δωρεὰς καὶ ἀπὸ γυναικῶν ἢ διὰ γυναικῶν ὠφελουμένους συνηθείαις τε καὶ ἐπιπλοκαῖς καὶ φιλίαις περιτρεπομένους ἀγάμοις τε γάμον γεγαμηκόσι τε σπορὰν ἢ τέκνωσιν. ἐπὶ δὲ τῶν ἐνδόξων γενέσεων στεμματοφορίας καὶ τάξεις ἐπισήμους ἀρχάς τε πολιτικὰς καὶ δωρεὰς εἰς ὄχλους καὶ προκοπὰς μείζονας καὶ προστασίας ἀποτελεῖ καὶ σωμάτων καὶ κόσμου ἐπικτήσεις. — Ζεὺς Ἑρμῇ πρακτικὸς ἐπικερδὴς ἐκπλοκὰς πραγμάτων καὶ τοῖς διὰ λόγων ἢ ψήφων ἢ γραπτῶν ἐπωφελὴς καθέστηκε κοινωνίας τε καὶ φιλίας μειζόνων ἐπάγει καὶ δωρεὰς ἢ

3 αὐτῶν] an ἤτοι? 12 fors. δηλοῖ <καὶ συστατικόν>. 25-26 ἐνοχλήσεις V. 26 γινομένας ut vid. V¹. 36 κόσ^{μ} V. 37 subaudi aut adde παρέχει vel sim.

καταγραφὰς καὶ ἐκ παραθηκῶν ἢ εὑρεμάτων ὠφελουμένους· ὅθεν καὶ σωμάτων ἀγορασμοὺς ποιοῦνται καὶ φιλόκαλοι καθίστανται. τινὲς δὲ καὶ προβιβάζονται καὶ μάλιστα ἐὰν καλῶς τύχωσι κείμενοι· καθολικῶς δὲ ἐν ὄχλοις διαβάλλονται καὶ ἐπιταράσσονται ἢ περιβοησίας ὑπομένουσι, μάλιστα κακῶς σχηματισθέντες ἢ ὑπὸ κακοποιῶν διαμετρούμενοι ἢ συνόντες ἢ τετραγωνιζόμενοι ἀγῶνα οὐ τὸν τυχόντα ὑπομένουσι καὶ ἐπιφόβως διάγουσιν. — Ζεὺς Σελήνῃ εὐκατόρθωτον καὶ περικτητικὸν τὸν χρόνον δηλοῖ ἀπό τε θηλυκῶν καὶ μειζόνων προσώπων συστάσεις καὶ ὠφελείας δόξας τε καὶ ἀρχὰς καὶ προστασίας καὶ ἀπαλλαγὴν κινδύνων καὶ περίκτησιν κόσμου ἢ σωμάτων, σποράς τε ἢ τεκνώσεις καὶ ἐπιπλοκὰς θηλυκῶν δωρεάς τε καὶ καταγραφὰς καὶ μητρὸς εὐεργεσίαν τοῖς ἔχουσιν. ἐὰν δὲ καλῶς τὸ σχῆμα τύχῃ, καὶ παραθηκῶν κυριεύσουσιν ἢ θησαυρῶν εὑρετὰς ἀποτελεῖ εὐχρη<μάτους> καὶ θεῷ εὐχαριστοῦντας κακώσεως τε ἢ δουλείας ἀπαλλακτικούς.

<κβʹ.> Ἐπιμερισμοὶ Ἄρεως.

Ἄρης ἑαυτῷ ἐπιμερίζων ἡμερινὸς ἀηδὴς καὶ ἐπιτάραχος γενήσεται· ἐπάγει γὰρ ἔχθρας καὶ βλάβας καὶ δημοσίων πραγμάτων ἐπηρείας ἢ εἰς δημόσια ἀναλίσκοντας· τινὲς μὲν οὖν καὶ ἀπὸ στρατηγικῶν ἢ ἐξουσιαστικῶν προσώπων ἐπηρεάζονται ἢ συνέχονται. νυκτὸς δὲ οὐ κακός, ἀλλὰ κατορθωτικὸς καὶ ἐπωφελὴς καὶ μάλιστα <εἰ> ἐν τοῖς χρηματίζουσι ζῳδίοις καθίσταται, καὶ μάλιστα τοῖς τὰς Ἀρεϊκὰς πράξεις μετερχομένοις ἢ δημοσίας καὶ στρατιωτικάς.

Ἄρης Ἡλίῳ παραδιδοὺς πατρὸς κίνδυνον τοῖς ἔχουσιν, εἰ δὲ μή γε ὁμοίου πατρός, ἔχθρας τε μειζόνων καὶ φίλων χωρισμοὺς ἀποτελεῖ νόσους τε ἐπισφαλεῖς καὶ αἰσθητηρίων πόνους καὶ ἀπὸ πυρὸς ἢ ὕψους ἢ τετραπόδων κίνδυνον [f. 35ᵛ] αἱμαγμούς τε καὶ τομὰς καὶ καταπτώσεις φθόνους τε καὶ ἀμφισβητήσεις ἐπάγει καὶ ξενιτείας ἐπιφόβους. ἐὰν δέ πως ἐπὶ χρηματιζόντων ζῳδίων τύχωσιν ἢ ὑπὸ ἀγαθοποιῶν μαρτυρηθῶσι, πράξεις καὶ ὠφελείας καὶ δόξας ἐπάγει καὶ ὑπερεχόντων συστάσεις μετὰ φόβων τε καὶ ταραχῶν καὶ ἐπιβουλῶν καὶ περὶ τὰς πράξεις ἐπιφθόνους καὶ ἐγκοπτικούς.

Ἄρης Σελήνῃ σφαλερὸς καὶ ἐπικίνδυνος ἀκαταστασίας καὶ συνοχὰς καὶ δίκας καὶ φόβους ἐπέχων καὶ ξενιτείας ἐπισφαλεῖς ἢ ἀπὸ ξένων ἐπιθέσεις καὶ ἐπηρείας μητρός τε κίνδυνον ἢ θηλυκῶν προσώπων μάχας τε καὶ χωρισμοὺς καὶ πρὸς ὄχλον ἢ πόλιν ἐπιτάραχος, ἐπάγει δὲ καὶ ἀσθενείας καὶ αἱμαγμοὺς ἢ πτώσεις παθῶν τε ὑπομνήσεις ἢ ἀπὸ πυρὸς κίνδυνον καὶ ναυάγια. μάλιστα δὲ ἐὰν ἡμερινὴ ᾖ ἡ γένεσις καὶ

5 nempe μάλιστα <δέ>. 7 εὐκαθόρτωτον V. 11 ἢ] possis καί. 13-14 εὐχρη V in fine lineae. 14-15 possis ἀπαλλακτικός. 21 εἰ add. Cumont 34 possis ἐπάγων aut παρέχων, sed cf. 106, 25; 108, 31. 37 scripsitne ὑπομονήσεις? at cf. 105, 4. 38 ᾖ] ἦν V.

αὐξιφωτοῦσα ἡ Σελήνη τύχῃ καὶ κακῶς πέσωσιν, ἔτι χεῖρον τὰ προγεγραμμένα ἀποβήσεται, ἔτι δὲ καὶ ἐπισκιασμοὺς τραύματα συνθραύσεις μελῶν ὀφθαλμῶν πόνους καὶ σίνη. ἐὰν δὲ ὑπὸ ἀγαθοποιῶν μαρτυρούμενοι τύχωσιν ἐν χρηματιστικοῖς τόποις, ἐπιφόβους πράξεις καὶ προκοπὰς ἀποτελοῦσιν· ἐπὶ δὲ θηλυκῶν κινδύνους σωματικοὺς αἱμαγμούς τε καὶ φθορὰς ἢ ἐμβρυοτομίας φυσικῶν τε τόπων πόνους ἐπάγει.

Ἄρης Κρόνῳ κάκιστον καὶ ταραχῶδες τὸ ἔτος δηλοῖ· γίνονται γὰρ ἐν δίκαις καὶ ἐπηρείαις ζημίαις τε καὶ ἀθετήσεσι καὶ ἰδίων κινδύνους ἢ θανάτους καὶ φθορὰς ὁρῶσι βιαίοις τε πράγμασι καὶ ἐπιταράχοις περιπίπτουσι ξενιτείαις τε ἐπιβλαβέσι καὶ ἐπιλύποις ἢ ληστηρίων ἐπιδρομαῖς ἀσθενείαις τε καὶ αἰφνιδίοις κινδύνοις, ἐχθρῶν ἐπαναστάσεις καὶ ἀπὸ δουλικῶν ἀδικίας ἢ λύπας, ἐγγύς τε συνοχῆς καὶ φόβων ἢ ἀπολογιῶν γενόμενοι ἀνιαρῶς διατεθήσονται, ἐκτὸς εἰ μή πως ἐν οἰκείοις ζῳδίοις τυχόντες ἢ ὑπὸ ἀγαθοποιῶν μαρτυρηθέντες ἀκροθιγεῖς τὰς αἰτίας ἀναδέξονται.

Ἄρης Διὶ καλὸν καὶ πρακτικὸν τὸ ἔτος δηλοῖ, ἐπάγων κατορθώσεις ἢ μειζόνων ὠφελείας καὶ συστάσεις καὶ ἐλπίδας ἀγαθὰς καὶ τῶν προσδοκωμένων συντέλειαν· καὶ ἂν λόγον ἔχῃ στρατείας, στρατευθήσεται ὁ τοιοῦτος ἢ προκόψει. οἱ δὲ ἐν μείζονι τύχῃ ὄντες ἐν ἡγεμονίαις καὶ δόξαις ἐπίσημοι γενήσονται καὶ τόπων μεταβολὰς ἐπ' ἀγαθῷ ποιήσονται καὶ συγκοσμηθήσονται τῇ περὶ αὐτοὺς ὑποστάσει, πρότερον ἐν ἀνωμαλίαις καὶ ἐξοδιασμοῖς γενόμενοι. ἐὰν δὲ διάμετρος τύχῃ, ἐναντιωμάτων καὶ ζημίας δηλωτικός.

Ἄρης Ἀφροδίτῃ ἔχθρας καὶ χωρισμοὺς θηλυκῶν προσώπων καὶ ἀκαταστασίας οἰκείων καὶ μητρὸς θάνατον τοῖς ἔχουσιν εἴτ' οὖν θηλυκῶν συνηθείας τε καὶ μοιχείας ἀπαραμόνους τε φιλίας δειγματισμούς τε. ἐὰν δὲ καὶ συμπάθειάν τινα ἔχωσι, ψύξεις ὑπομενοῦσι καὶ περὶ τὰς πράξεις ἀστάτως ἐνεχθήσονται, αἱ δὲ γυναῖκες ἐν αἱμαγμοῖς ἢ ἐκτρώσεσι γινόμενοι ἐπικινδύνως διάγουσιν.

Ἄρης Ἑρμῇ παραδιδοὺς ἐπιτάραχον τὸ ἔτος δηλοῖ· κινδύνους γὰρ καὶ ζημίας ἐπέχων χάριν γραπτῶν καὶ ἀργυρικῶν ἢ ψηφικῶν ἀμφισβητήσεις μυστικῶν τε κακουργίας ἐγγύας τε καὶ χρεωστίας ἐπιθέσεις τε καὶ ἀπολογίας· καὶ ἐὰν εἰς δίσωμα ζῴδια τύχωσι, καὶ αὐτοὶ τὰ ὅμοια ἑτέροις ἐνδείξονται ἢ ῥᾳδιουργήσουσι. καὶ ἐὰν μὲν αἱ τρεῖς ἀφέσεις σώζωνται, τῶν προειρημένων περιγενήσονται· ἐὰν δὲ κἀκεῖναι κακῶς τύχωσιν, ἐν τοῖς διαπρασσομένοις ἀστατήσουσι, καὶ ἐὰν δίκην σχῶσιν, ἡττηθήσονται ἢ καὶ μείωσιν πλείστην ὑπομείναντες αἰτίαις οὐ ταῖς τυχούσαις περιτραπήσονται.

1 αὐξηφωτοῦσα V. 6 τόπων πόνους] τόπους V. 8 ἰδίους V. 19 τύχῃ ὄντες] τυχόντες ἢ V. 21 τύχοι V. 26 εἴτ' οὖν] εἰ δ' οὖν V. 27 ψύξοις V. 31 participium pro verbo finito; cf. Marci Diac. ind., p. 137; Raderm., *Demetr.*, 116; Hartel, *Patrist. Stud.*, II, 42; IV, 49. possis <καὶ> χάριν. 34 ῥαδιουργήσωσι V. 35 σώζονται V.

<κγ'.> Ἐπιμερισμοὶ Ἀφροδίτης.

Ἀφροδίτη ἑαυτῇ ἐπιμερίζουσα καλῶς κειμένη ἐπάγει φιλίας καὶ συστάσεις ἀρρενικῶν καὶ θηλυκῶν συμπαθείας καὶ δωρεὰς καὶ συνηθείας ἐπιτερπεῖς καὶ γάμους καὶ οἰκείων εὐνοίας καὶ ἡδονὰς καὶ ὠφελείας. ἐὰν δὲ <μετὰ> Κρόνου ἢ Ἄρεως εὑρεθῇ ἢ ὑπὸ τούτων θεωρηθῇ ἢ καὶ ἐν ἀχρηματίστοις ζῳδίοις τύχῃ, ψόγους καὶ δειγματισμοὺς καὶ μοιχείας ἐπάγει ζημίας τε καὶ ἀθετήσεις καὶ δόλους γυναικῶν κρίσεις τε καὶ ἀκαταστασίας· ὁμοίως δὲ καὶ ταῖς γυναιξὶν ἐξ ἀνδρῶν.

Ἀφροδίτη Ἡλίῳ δοξαστικὸν καὶ περιποιητικὸν ἀποτελεῖ τὸν χρόνον πρός τε ἀρρενικὰ καὶ θηλυκὰ πρόσωπα συστατικὸν καὶ ὠφέλιμον συνηθείας τε καὶ γάμους καὶ τεκνώσεις ἀγορασμούς τε καὶ δωρεὰς κόσμου καὶ σώματος, καὶ πατρὸς τοῖς ἔχουσι δόξαν ἢ καὶ συμπάθειαν ἀπὸ τοιούτων καὶ ὠφελείας, μάλιστα δ' ἂν καὶ καλῶς σχηματιζόμενοι τύχωσι. τοῖς δὲ ἐν ὑπεροχῇ στεμματηφορίας καὶ ἀρχιερωσύνας καὶ προκοπὰς καὶ ἀρχὰς ἐπάγει καὶ εἰς ὄχλους δωρεὰς χρηματισμοὺς καὶ μυστικῶν πραγμάτων ἢ θείων συνίστορας καὶ ἐπαφροδισίας καὶ εὐφροσύνας ἀποτελεῖ.

Ἀφροδίτη Σελήνῃ καλῶς κειμένη καὶ ἐπὶ ἐπικαίρων τόπων σχηματιζομένη περικτητικὸν καὶ ὠφέλιμον τὸν χρόνον δηλοῖ καὶ τῇ περὶ τὸν βίον συγκοσμεῖ φαντασίᾳ καὶ δόξας ἐπισήμους παρέχει, πλὴν μετὰ ζηλοτυπίας καὶ φιλονεικίας καὶ στάσεως καί τινων λαθραίων φθόνων· τὰς δὲ περικτήσεις καὶ τὰς ὠφελείας ἀτελέστους ἢ ἀπὸ μέρους εἴωθεν ἐπάγειν. κακῶς δὲ σχηματισθεῖσα ἀδικίας καὶ ἔχθρας ἀπό τε ἀρρενικῶν καὶ θηλυκῶν προσώπων ποιεῖ μετεωρισμούς τε καὶ ἀκαταστασίας πρὸς τὰ συγγενικὰ καὶ φιλικὰ πρόσωπα· ἀντίζηλος γὰρ καὶ φιλόνεικος ἡ παράδοσις αὐτῶν ὑπάρχει καθόλου.

Ἀφροδίτη Κρόνῳ μετέωρον καὶ βλαβερὸν τὸν χρόνον δηλοῖ θηλυκῶν τε χωρισμοὺς μάχας ὕβρεις δειγματισμοὺς ἀδικίας ἐπάγει καὶ μητρὸς ἢ θηλυκῶν ἔχθρας τε συγγενικῶν ἢ ἀτιμίας καὶ πρὸς πρεσβύτερα πρόσωπα ἢ κοινωνικὰ ἀμφιλογίας ψόγους τε ἢ πάθεσιν ἐπαίσχροις περιβάλλει καὶ φιλίαις καὶ συνηθείαις ἀβεβαίοις. δικάζονται δὲ πρὸς γυναῖκας καὶ ἀντικαταστάσεις ὑπομένουσι τόπων τε ἢ πραγμάτων ψύξεις ποιοῦνται ἀσθενείαις τε περιπίπτουσι καὶ κρυπτῶν ἢ αἰσθητηρίων πόνοις ἐπιβουλαῖς τε καὶ φαρμάκοις ἐπηρεάζονται καὶ χρονικοῖς πάθεσι, μάλιστα Ἄρεως ἢ Ἑρμοῦ συνεπιμαρτυρούντων.

Ἀφροδίτη Διὶ ἀγαθὸν καὶ περικτητικὸν τὸ ἔτος δηλοῖ καὶ μειζόνων προσώπων συστάσεις καὶ δωρεὰς ἐπάγει ἀρχάς τε καὶ πολιτικὰς καὶ ὀχλικὰς φαντασίας δόξας τε καὶ προκοπὰς γάμους τε καὶ συμβουλὰς θηλυκῶν προσώπων καὶ φιλίας σποράς τε καὶ τεκνώσεις καὶ ἐπαφρο-

12 nempe σωμάτων "mancipiorum". 15 nempe δωρεὰς <καὶ>. 28 καὶ] nempe διά. 32 fort. τε <μεταβολάς>. 37 fors. τε [καὶ]. 38 an συμβολάς?

δισίας ἐν τοῖς ἐγχειρουμένοις. ἐὰν δὲ καὶ μέτριός τις ᾖ, εὐπρακτήσει καὶ τῶν φαύλων ἢ ὑποταγῆς ἀπόλυσιν ἕξει πίστεώς τε ἢ τιμῆς καταξιωθήσεται καὶ συγκοσμηθήσεται τῇ περὶ αὐτὸν ὑποστάσει.

Ἀφροδίτη Ἄρεϊ μετέωρος ὁ ἐνιαυτός· γυναικῶν μάχας χωρισμοὺς αἱμαγμοὺς φθορὰς θηλυκῶν ἢ μητρὸς θάνατον· οἱ δὲ καὶ δίκας λέγουσι διὰ γυναῖκας ἀντιζηλίας καὶ ἔχθρας ὑπομένοντες καὶ δειγματισμοὺς ψόγους τε ἢ μοιχείας· ἀδικοῦνται δὲ ἢ προδίδονται καὶ παρὰ προαίρεσιν πράσσοντες ἢ ὑποκρινόμενοι φέρουσι τὴν κόλασιν. ἔσθ' ὅτε μὲν οὖν καὶ εὐκταῖον τὸν χωρισμὸν τῆς συμβιώσεως ἡγούμενοι διακρατοῦσι διά τινας προσδοκωμένας ἐλπίδας εὐθρυλλήτους περιβοήσεις.

Ἀφροδίτη Ἑρμῇ πρακτικὸν καὶ εὐεπήβολον τὸν χρόνον δηλοῖ περί τε τὰς δόσεις καὶ λήψεις καὶ ἐμπορίας καὶ τοῖς περὶ λόγον ἢ παιδείαν ὁρμωμένοις φιλίας περιποιεῖ ἀγορασμούς τε κόσμου καὶ σωμάτων κοινωνίας τε καὶ συναρμογὰς ἀρρενικῶν καὶ θηλυκῶν δόξας τε καὶ τιμὰς κατορθώσεις πραγμάτων συνίστοράς τε μυστικῶν καὶ παραθηκῶν πίστεις καὶ συγγενῶν συμπαθείας.

<κδ'.> Ἐπιμερισμοὶ Ἑρμοῦ.

Ἑρμῆς ἑαυτῷ ἐπιμερίσας πρακτικὸς καὶ ἐπωφελὴς περί τε τὰς ἐπιχειρήσεις καὶ πίστεις καὶ εὐεπηβόλους ἀποτελεῖ καὶ ἐχθρῶν ὑπερτέρους ὑποκριτικῶς καὶ μυστικῶς διαπρασσομένους πραγμάτων τε κατορθωτὰς καὶ τὰς ἀπὸ λόγων ἢ ψήφων εὐημερίας ἀναδεχομένους· καὶ μάλιστα ἐὰν ἀνατολικὸς τύχῃ ἢ ἐν χρηματιστικοῖς ζῳδίοις ἢ ὑπὸ Διὸς καὶ Ἀφροδίτης ἐπιθεωρηθῇ, μείζονας πίστεις καὶ ἐπωφελεῖς δηλοῖ· ὑπὸ δὲ κακοποιῶν, φόβων καὶ ἐναντιωμάτων δηλωτικός.

Ἑρμῆς Ἡλίῳ παραδιδοὺς τὸ ἔτος εὐεπήβολος κοινωνικὸς πρακτικὸς συστάσεις ἐπάγων μειζόνων καὶ αἰτήσεις καὶ δωρεάς, μεθ' ὑπερθέσεων δὲ καὶ ἐμποδισμῶν, διοικονομίας τε καὶ προστασίας καὶ ἱστορήσεις μυστικῶν πραγμάτων, τοῖς τε ἀπὸ λόγου καὶ παιδείας δοξαστικὸς καὶ ὠφέλιμος. τὰ δὲ πλεῖστα μυστικῶς καὶ μεθ' ὑποκρίσεως τελοῦντες περιγίνονται.

Ἑρμῆς Σελήνῃ πρακτικὸν τὸ ἔτος δηλοῖ, μάλιστα δὲ ἐὰν καὶ καλῶς σχηματιζομένη καὶ ἀνατολικὴ ἡ Σελήνη τύχῃ καὶ ἐν χρηματιστικοῖς τόποις τύχωσι, συστάσεις τε ἀρρενικῶν καὶ θηλυκῶν προσώπων ἐπάγει καὶ ὠφελείας πραγμάτων καὶ κατορθώσεις καὶ πίστεις καὶ ἐν τοῖς διαπρασσομένοις ἐπιτευκτικὸς καὶ πρὸς τὰ μείζονα πρόσωπα συμπαθής. ἐὰν δὲ ἀνοικείως τύχῃ ἢ ὑπὸ κακοποιῶν θεωρηθῇ, κρίσεις καὶ ἐξοδιασμοὺς ἢ ἐπηρείας τε καὶ μειζόνων ἀπειλὰς ἐπάγει συνοχάς τε ἢ φόβους μυστικῶν τε προδοσίας.

3 συγκομισθήσεται V. 5 οἱ] εἰ V. 10 post ἐλπίδας lacuna esse vid. 29 τοῖς] τῆς V. 34 an del. τύχωσι.

Ἑρμῆς Κρόνῳ ἐπιτάραχον καὶ ἐπικίνδυνον τὸ ἔτος δηλοῖ, πραγμάτων ἀνασκευὰς ἐπηρείας ζημίας τε καὶ κρίσεις ἐπάγων μυστικῶν τε ἢ γραπτῶν χάριν ἢ δανείων. γίνονται δὲ ἐν ἀσθενείαις ἢ φθίσεσι καὶ νόσοις καὶ ὑπὸ χολῆς ὀχλοῦνται ἢ καὶ φαρμάκων πεῖραν λαμβάνουσι θανάτους τε ἰδίων ἢ ἀδελφῶν ἢ τέκνων θεωροῦσι καὶ περὶ νεκρικῶν δικάζονται ἢ ἀμφισβητοῦσιν. ἐὰν δὲ καὶ διάμετροι ἢ τετράγωνοι ἢ κακῶς πεσόντες ὑπὸ Ἄρεως θεωρηθῶσι, καὶ καθ' ἑαυτῶν κινδυνῶδές τι μηχανῶνται ναυαγίοις τε καὶ κυλίσεσι περιπίπτουσι καὶ ἐπωδύνως διάγουσιν. οἰκείως δὲ σχηματισθέντες μετὰ ἐξοδιασμῶν καὶ ὑπερθέσεως δόξας καὶ κατορθώσεις πραγμάτων ἐπάγουσι, ἀπόστροφοι δὲ μέτριοι πρὸς τὰς αἰτίας γενήσονται.

Ἑρμῆς Διὶ πρακτικὸς μὲν καὶ εὐεπήβολος συστάσεις καὶ φιλίας ἐπάγων κατορθώσεις τε πραγμάτων καὶ διοικονομίας καὶ μάντεις καὶ περὶ λόγους καὶ ψήφους εὐημερίας· πλὴν καθολικῶς ἐν ὄχλοις ἐπιταράσσονται καὶ περιβοησίας καὶ φόβους ὑπομένουσιν ἀκαίροις τε ἐξοδιασμοῖς περιτρέπονται καὶ πρὸς οἰκεῖα ἢ φιλικὰ ἢ συγγενικὰ ἀκαταστατοῦσι καὶ ἀγῶνα σώματος ὑπομένουσι, κἂν μὴ ἴδιον πλὴν ὑπὲρ ἑτέρων.

Ἑρμῆς Ἄρεϊ οὐκ ἀγαθός· ἔχθρας καὶ κρίσεις ζημίας τε καὶ κακουργίας ἐπάγει πλαστογραφίας καὶ ἐγγύας καὶ δάνη ἐπιθέσεις τε καὶ συλήσεις ἀναστασίας τε καὶ προδοσίας οἰκείων τε ἀκαταστασίας. ἔσθ' ὅτε μὲν οὖν καὶ αὐτοὶ ἑτέροις τὰ αὐτὰ ἐνδείξονται· πλὴν περὶ τὰς ἐπιβολὰς θρασεῖς καὶ πρακτικοὶ γίνονται καὶ ποικίλως διευθύνουσιν ἐπιβολὰς μηχανώμενοι καὶ ἐπιφόβως καὶ ἐπιταράχως διάγουσιν ὑπόπτους αἰτίας ἢ καθαιρέσεις προσδοκῶντες.

Ἑρμῆς Ἀφροδίτῃ ἀγαθὸν καὶ πρακτικὸν τὸν χρόνον δηλοῖ περί τε τὰς δόσεις καὶ τὰς λήψεις ἀγορασμούς τε καὶ συναλλαγὰς ἐπαφροδίτους καὶ τοῖς διὰ λόγου ἢ παιδείας ἢ δι' οἰκονομίας ὠφέλιμον, συστάσεις τε καὶ φιλίας καινοτέρας ἐπικτῶντας καὶ συνηθείας, καὶ ἐπιπλοκαῖς ἀρρενικῶν καὶ θηλυκῶν περιτρέπονται. τοῖς δ' ἐν μείζονι τύχῃ καθεστῶσι σωμάτων καὶ κόσμου περίκτησιν ἐπάγει εἴς τε τὰς αἰτήσεις καὶ φιλίας καὶ προκοπὰς εὐεπιτεύκτους ἀποτελεῖ καὶ πρὸς ἰδίους εὐεργετικούς.

<κε'.> Τῶν τεττάρων κλήρων μερισμοί.

Ὁ κλῆρος τῆς τύχης παραδιδοὺς ἢ παραλαμβάνων ἐν χρηματιστικοῖς τόποις ἀγαθοποιῶν ἐπόντων ἢ μαρτυρούντων εὐτυχίαν δηλοῖ καὶ προκοπὴν πράξεις τε καὶ δόξας καὶ πραγμάτων κατορθώσεις καὶ προσδοκωμένων συντέλειαν καὶ ἀπὸ νεκρικῶν ὠφελείας. ἀποκεκλικὼς δὲ ἢ

3 dele τε (aut adde δανείων <κινδύνους> vel sim.). 8 συλήσεσι opinor. κύλισις de iactatione navis accipit Cumont. 13 facile μαντείας. 17 χρώματος V. 21 possis ἀστασίας. 27 τοῖς] τοὺς V. possis ὠφέλιμος. 34 τετάρτων V.

ὑπὸ κακοποιῶν μαρτυρούμενος ἥττονας μὲν τὰς πράξεις ἢ τὰς δόξας παρέχει, ἀπαραμόνους δὲ ἢ ὅσα ἂν διαπράξωνται μετὰ ἐναντιωμάτων καὶ κινδύνων ἢ κρίσεων καὶ ἐπηρειῶν.

Ὁ δαίμων παραδιδοὺς ἢ παραλαμβάνων ἐν χρηματιστικοῖς τόποις ἀγαθοποιῶν ἐπόντων καταθυμίους προαιρέσεις ἀποτελεῖ κριτικούς τε καὶ εὐκατορθώτους λογισμοὺς καὶ φίλων συμβουλίας ἐπωφελεῖς συστάσεις τε μειζόνων δωρεάς τε καὶ δόξαν καὶ εἰς τὰς ἐπιβολὰς εὐεπιτεύκτους παρεπηρμένους τε τῇ διανοίᾳ οἴησιν πλείστην ἔχοντας. παραπεπτωκὼς δὲ ἢ ὑπὸ κακοποιῶν μαρτυρούμενος μετεωρισμοὺς καὶ ψυχικὰς βασάνους ἐπάγει ἀναισθησίας τε καὶ ἐναντιοβουλίας τὰ ἴδια ἁμαρτήματα κατορθώσεις νομίζοντας καὶ ἄλλοις τὰς αἰτίας ἐπιφέροντας, τῶν δὲ πλείστων ἀστοχοῦντας. ὅθεν οἱ τοιοῦτοι ἐκκακοῦντες ἔσθ' ὅτε καὶ καθ' αὑτῶν κινδυνῶδές τι μηχανῶνται καὶ ὡς μανιώδεις διαλαμβάνονται καὶ ἐν ἐκστάσει φρενῶν γίνονται.

Ὁ ἔρως παραδιδοὺς ἢ παραλαμβάνων ἐν χρηματιστικοῖς τόποις καὶ ἀγαθοποιῶν ἐπόντων ἢ μαρτυρούντων εὐπροαιρέτους ἐπιθυμίας κατασκευάζει καὶ καλῶν ἐραστάς· οἱ μὲν γὰρ περὶ παιδείαν καὶ ἄσκησιν σωματικὴν ἢ μουσικὴν τρέπονται καὶ μεθ' ἡδονῆς κολακευόμενοι τῇ μελλούσῃ ἐλπίδι ἀκοπίαστον ἡγοῦνται τὴν ἀνίαν, οἱ δὲ ἀφροδισίοις καὶ συνηθείαις θελχθέντες θηλυκῶν τε καὶ ἀρρενικῶν ἀγαθὸν ἡγοῦνται. Ἄρης μὲν οὖν καὶ Ἑρμῆς ἐπιμαρτυρήσαντες ἢ ἐπόντες τῷ τόπῳ καὶ μάλιστα ἐν ἰδίοις ζῳδίοις παιδεραστὰς ποιοῦσιν ἢ ἐπ' ἀμφοτέροις ψογίζονται ἢ φιλόπλους τε καὶ φιλοκυνήγους καὶ φιλοπαλαίστρους· Ἀφροδίτη δὲ θηλυκῶν συνηθείας, ἔσθ' ὅτε μὲν οὖν καὶ στερχθέντες ἀντιστέργουσιν. ὁμοίως δὲ καὶ ἕκαστος τῶν ἀστέρων ὁ κεκληρωμένος τὸν τόπον ἢ ἐπιμαρτυρῶν ἢ παραλαμβάνων τὸν χρόνον κατὰ τὴν ἰδίαν φύσιν τὸ εἶδος τῆς ἐπιθυμίας κατασκευάσει. καθόλου μὲν οὖν κακοποιῶν ἐπόντων ἢ μαρτυρούντων ἐπὶ βασάνῳ καὶ ζημίᾳ καὶ κινδύνῳ τὰ τῆς ἐπιθυμίας γενήσεται. ἐὰν δέ πως ὁ τοῦ Κρόνου σὺν τῷ τῆς Ἀφροδίτης καὶ τῇ Σελήνῃ συμπαρῇ ἢ ἐπιμαρτυρήσῃ, αἰσχρῶν καὶ ἀσελγῶν ἔργων ἐρῶσι ἐπί τε ἀρρενικῶν καὶ θηλυκῶν ψογίζονται καὶ περιβοησίας ὑπομένουσιν ἢ μετανοοῦντες ἀντιστρεπτοῦσιν ὑπὸ τοῦ πάθους νικώμενοι. ἐὰν δέ πως ὁ τοῦ Διὸς συνεπιμαρτυρήσῃ, ἀξιοπίστως ἢ δυνατῶς τὸ γενόμενον ἔσται ἢ μυστικῶς. Ἄρεως δὲ καὶ Ἑρμοῦ ἐπόντων ἢ ἐπιμαρτυρούντων ἢ παραλαμβανόντων τὸν χρόνον κακούργων πραγμάτων ἢ ληστρικῶν ἐρῶσι· γίνονται γὰρ πλαστογράφοι ἅρπαγες θυρεπανοῖκται κυβευταὶ τεθηριωμένην τὴν διάνοιαν ἔχοντες. ἐὰν δὲ καὶ ὁ τῆς Ἀφροδίτης ἐπιμαρτυρήσῃ, φαρμακοὶ μοιχοὶ

1 κακοποιῶν : hic deest folium unum in V quod antequam periit descripsit S, f. 87 sqq. 11 κατορθώσειν S. 14 ἐκτάσει S. 19 ἀνίαν non intellego, expecto παιδιάν vel sim.; de dolore exercitationis interpretatur Cumont, cf. Senec., *Ep.*, 78, 16. 20 fors. ἡγ. <τοιοῦτον βίον>. 22 ἢ] fors. οἱ vel ἢ <οἱ>; quid voluerit, indicat l. 31. 27 possis μετασκευάσει. 34 γενώμενον S. 36 αἱρῶσι S.

αὐτόχειρες· ὅθεν κατὰ τοὺς ἐπιβάλλοντας χρόνους ἐγγύαις καὶ δάνεσι περικυλιόμενοι καὶ κακουργίαις συνοχῆς ἢ κρίσεως πεῖραν λαμβάνοντες ἐπικινδύνως διάγουσιν. ἰσχυρὸς ὁ τόπος πρὸς πολλὰ ὑπάρχει, ὅθεν αὐτῷ προσεκτέον. λαμβάνεται δὲ ὁ κλῆρος τοῦ ἔρωτος ἡμέρας μὲν ἀπὸ τοῦ κλήρου τῆς τύχης ἐπὶ τὸν τοῦ δαίμονος καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, νυκτὸς δὲ τὸ ἀνάπαλιν.

[Περὶ ἀνάγκης·] Ἀνάγκη παραδιδοῦσα ἢ παραλαμβάνουσα ἐν χρηματιστικοῖς τόποις ἀγαθοποιῶν ἐπόντων ἢ μαρτυρούντων οἰκειώσεις μὲν ἐπάγει καὶ μείζονας συστάσεις καὶ ἐχθρῶν καθαιρέσεις ἢ θανάτους, κακοποιῶν δὲ ἐπόντων ἀντιδικίας καὶ κρίσεις ἐπάγει καὶ ἐξοδιασμούς· ὅθεν καὶ παρὰ προαίρεσιν διαπράξαντες ἀνιαρῶς διάγουσιν. ἐὰν δέ πως τὸ σχῆμα κακωθῇ, τινὲς καταδικάζονται ἢ καθαιροῦνται. λάμβανε δὲ ἀπὸ δαίμονος ἐπὶ τύχην, νυκτὸς δὲ τὸ ἀνάπαλιν.

Ταῦτα μὲν οὖν ἐπὶ τῶν ἀρρενικῶν γενέσεων καὶ χρόνων διέσταλται· ὁμοίως δὲ κατὰ τὰ οἰκεῖα σχήματα τῶν παραδόσεων καὶ τὰ δυνάμενα χωρεῖν ἁρμόσει καὶ ἐπὶ θηλυκῶν γενέσεων.

<κς'.> Τὸ τέταρτον περὶ χρόνων διαιρέσεως καὶ τὴν ἑπτάζωνον ἀνωφερῶς κατὰ Κριτόδημον.

Σελήνη α' ἔτος α'· Ἑρμῆς β' ἔτη β'· Ἀφροδίτη γ' ἔτη γ'· Ἥλιος δ' <ἔτη δ'>· Ἄρης ε' ἔτη ε'· Ζεὺς ς' ἔτη ς'· Κρόνος ζ' ἔτη ζ'· γίνονται ἔτη κη'· μονομοιρία δὲ γίνεται οὕτως· ἐν ᾧ ἐὰν ἡ Σελήνη ζῳδίῳ ᾖ, αὐτὸς γίνεται πρῶτος [ὁ] κύριος τοῦ ζῳδίου καὶ λήψεται, εἶτα κατὰ ζώνην οἱ ἄλλοι. οἷον ὑποδείγματος χάριν ἔστω Σελήνην εἶναι Ζυγῷ μοίραις ς'· πρώτη Ἀφροδίτη λήψεται, δεύτερος Ἑρμῆς, τρίτη Σελήνη, τέταρτος Κρόνος, πέμπτος Ζεύς, ἕκτος Ἄρης· γίνεται Ἄρεως μονομοιρία. Ἄρης οὖν πρῶτος λήψεται, ὁ κύριος τῆς μονομοιρίας τῆς Σελήνης, ἔτη ε', εἶτα οἱ ἑξῆς κατὰ γένεσιν μετὰ τὸν Ἄρεα κείμενοι ἀστέρες· μετὰ δὲ τὸ συμπληρωθῆναι ἔτη κη' ἄρχου πάλιν ἀπὸ τοῦ μετὰ τὸν Ἄρεα κειμένου ἀστέρος. ποίει δὲ καὶ τὰ ι' ἔτη καὶ μῆνας θ', ἡμέρας μὲν ἀπὸ Ἡλίου, νυκτὸς δὲ ἀπὸ Σελήνης. ἐὰν δὲ ἡμέρας ὁ Ἥλιος μὲν κακῶς κεῖται, ἀπὸ Σελήνης ἄρχου· ὁμοίως καὶ νυκτὸς ἀπὸ Ἡλίου. ἐὰν δὲ ὁ Ἥλιος καὶ ἡ Σελήνη ἀκυρολόγητοι γένωνται, ἀπὸ τοῦ οἰκοδεσπότου ἢ ἄλλου τινὸς ἀστέρος καλῶς κειμένου.

3 possis sane <γάρ> ὁ. 8 οἰκείως S. 9 possis μείζονος. 21 ἦν S. 22 ζωδίου] χρόνου Cumont. 27 κείμενον S[b]. 31 μὲν] μὴ S.

<κζ'.> Ἄλλως ἐκ τοῦ Σεύθου περὶ ἐνιαυτῶν ἐκ τοῦ Ἑρμείου † σχολὴν τὴν ἄφεσιν ποιοῦσα ἀπὸ Ἡλίου ἢ Σελήνης ἢ ὡροσκόπου ἢ κλήρου τύχης.

Τόποι δ' εἰσὶν ἀφ' ὧν ἡ ἀρχὴ τοῦ ἔτους λαμβάνεται, οἷον Ἡλίου ἢ Σελήνης ἢ ὡροσκόπου ἢ κλήρου τύχης. ἔστι δὲ ἡ κατάκρισις ἥδε· Ἡλίου ἐπικέντρου ὄντος ἀπὸ αὐτοῦ ψηφίζειν δεῖ· ἐπὶ δὲ νυκτὸς ἀπὸ Σελήνης ὁμοίως ἐπικέντρου μοιρικῶς οὔσης· τούτων δὲ ὑστερούντων ἀπὸ τοῦ ὡροσκόπου· ἐὰν δὲ ὁ κλῆρος τῆς τύχης ἐπίκεντρος ὑστερούντων τῶν φώτων, ἀπὸ αὐτοῦ τὴν ἀρχὴν τοῦ ἐνιαυτοῦ ποιοῦ. ἀλλότριον δὲ ὁμοίως ἔσται ἐπὶ τῶν τὰ φῶτα ἐπιφερόμενα τοῖς κέντροις ἐχόντων ἀπὸ τοῦ παρ' ἰδίαν αἵρεσιν ἄρχεσθαι· ἰσχυροτέρως γὰρ κατὰ τὴν ἡμετέραν ἀγωγὴν ἐπιγνώσῃ, ἐπὶ ποίων ζῳδίων χρηματίζει ἐπιφερόμενος τῆς γενέσεως ὁ ἐνιαυτός. ἡμέρας μὲν ἀπὸ Ἡλίου, ἐὰν μὲν τύχῃ ὡροσκοπῶν ἢ μεσουρανῶν· εἰ δὲ μή γε, ἀπὸ τοῦ ὡροσκοποῦντος ζῳδίου ἔκβαλλε, καὶ εἰς ὃ ἂν καταλήξῃ ὁ ἐνιαυτός, ἀπὸ τοῦ κυρίου τοῦ τόπου οὗ ἦν ἐπὶ γενέσεως διέκβαλλε τὸν ἐνιαυτόν. νυκτὸς δὲ ἀπὸ Σελήνης, ἐάνπερ τύχῃ ὡς προεῖπον ἐπὶ τοῦ Ἡλίου, μάλιστα ἐὰν ἀνατολικὴ ᾖ καὶ τοῖς ἀριθμοῖς προσθετική· ἐπὶ δὲ τῶν δύο φώτων † τῶν πνευμάτων ἐὰν μὴ καὶ πλήρη κἂν ἀφαιρῇ τὸν ἀριθμὸν τύχῃ ἀπὸ τοῦ συνδέσμου ἐὰν ἐπίκεντρος μόνον ἐπὶ μέγιστα κείμενος †. εἰ δὲ μή γε καθὼς προγέγραπται, ἀπὸ τοῦ κυρίου τοῦ καταλήγοντος τόπου ἀπὸ τοῦ ὡροσκόπου. ἐὰν γὰρ εὕρῃς τὰ ζῴδια κεντρούμενα ἢ ἀγαθοποιούμενα ἢ καὶ αἴτια ἀπὸ τῶν ἐπιπαρόντων ἢ καὶ ἐφορώντων κατὰ τὴν πρώτην τάξιν καὶ ἐπὶ τῆς παρόδου, δηλοῖ ὅτι καλὰ ἔσται τὰ ἐνιαυτῶν ἀποτελέσματα· κακῶν δὲ ὄντων τῶν τόπων τὸ ἐναντίον ἀποβήσεται ὡς τῶν ἐφορώντων ἀνατολικῶν ἀστέρων καὶ τὸ πράσσειν παρεχόντων, τῶν δὲ δυτικῶν ἀπραγίας καθαιρέσεις <τε> τῶν πρασσομένων, ἐὰν μὴ τὰ πράγματα κρύφιμα τύχῃ.

<κη'.> Περὶ μηνὸς ποῦ ἔσται.

Τὸν δὲ μῆνα λήψῃ οὕτως. ἀπὸ τοῦ παροδικοῦ Ἡλίου ἐπὶ τὸν κατὰ γένεσιν Ἥλιον καὶ τὰ ἴσα ἀπὸ τοῦ κεκληρωμένου τὸν ἐνιαυτὸν ζῳδίου. ἐπιτηρεῖν καὶ τὸ ζῴδιον, ἐν ᾧ ἡ σύνοδος γέγονεν, ἐάνπερ ᾖ συνοδικὴ ἡ γένεσις· ὁμοίως δὲ καὶ τὸ ζῴδιον, ἐν ᾧ ἔσται [καὶ] ἡ πανσέληνος, [καὶ] ἐάνπερ ᾖ πανσεληνιακή· ἐν γὰρ τούτοις τοῖς ζῳδίοις οἱ μῆνες χρηματίζουσι καὶ τὴν ἀρχὴν ἔχουσιν· ὁποίαν ἂν τύχῃ ἐπὶ γενέσεως

1 nempe ἐκ τῶν Σ. π. ἐ. ἐκ τῶν Ἑ. σχολῶν; ad ποιοῦσα adde vel subaudi αἵρεσις. In sequentibus ipsa Hermiae verba afferuntur. 8 possis ἐπίκεντρος <ᾖ>, sed cf. Wenkebach, *Quaest. Dioneae*, 24. 17 ἐπὶ] ἀπὸ S. 18 ᾖ] ἡ S. προθετική S. 23 αἴτια non intelligo. 24 ὅτι] ἐὰν S. nempe τὰ τῶν. 26 καὶ suspectum.

ἔχουσα ἡ Σελήνη ἤτοι ἀπὸ συνόδου ἢ ἀπὸ πανσελήνου, καὶ ἐπὶ τὴν ὁμοίαν ἀναπληροῖ ἡ τοῦ μηνός. οἷον ἐὰν τριταία ἢ πεμπταία ἤτοι ἀπὸ τῆς συνόδου ἢ πανσελήνου, ἔκτοτε ἔσται καὶ ἡ ἀρχὴ τοῦ μηνός.

<κθ'.> Περὶ ἡμέρας χρηματιστικῆς.

Τὰς δὲ ἡμέρας οὕτως εὑρήσεις. τὰ καταγόμενα ἔτη πλήρη τῆς γενέσεως πολυπλασίασον ἐπὶ ε' δ' καὶ τὰς ἀπὸ τῆς γενεθλίου ἡμέρας μέχρις οὗ ζητεῖς προσυπολάμβανε μετὰ τῶν πολυπλασιασθέντων ἀριθμῶν· κἂν μὲν ᾖ κατὰ Ἀλεξανδρεῖς, πρόσθες τὰς ἐμβολίμους τουτέστι τῶν πλήρων ἐτῶν τὸ δ' καὶ ταῦτα ἀπὸ τοῦ πλήθους διέκβαλλε ὁσάκις δύνασαι ἀνὰ ιβ'. τὰς λοιπὰς πολυπλασίασον ἐπὶ τὸν ε' καὶ ἐπὶ τὰς ἀπὸ γενέσεως ἡμέρας μέχρις οὗ ζητεῖς καὶ μέριζε εἰς τὸν ιβ'· καὶ τὰ καταλειφθέντα ἔκβαλλε ἀπὸ τῆς Σελήνης τῆς κατὰ γένεσιν καὶ ἑκάστῳ ζῳδίῳ μίαν ψῆφον διδοὺς ἀπὸ τοῦ κεκληρωμένου ζῳδίου τὸν μῆνα διέκβαλλε. καὶ ὅπου δἂν καταντήσῃ ὁ ἀριθμός, ἐκείνου τοῦ ζῳδίου τὸν κύριον σκόπει καὶ πρὸς τοὺς ἐφορῶντας ἀστέρας τὴν ποιότητα τῆς ἡμέρας δήλωσον.

Τὰς δὲ ὥρας οὕτως. ἀπὸ τοῦ κεκληρωμένου ζῳδίου τὴν ἡμέραν διέκβαλλε περὶ τὴν τῆς ἡμέρας ἀρχὴν ἀνὰ δύο ἀπὸ τῆς γενεσιακῆς ὥρας, καὶ γνώσῃ τὰς καλὰς καὶ ἐμπράκτους ὥρας. εὔχρηστον δὲ καὶ πρὸς παντὸς πράγματος ἐπιβολὴν καὶ καταρχήν· καὶ μάλιστα τὰς ἀσθενικὰς καὶ κατακλιτικὰς ἀκριβῶς ἐπιγνώσῃ <ἐκ> τῶν ὡροσκοπικῶν πρὸς τὰ φῶτα καὶ τὰ λοιπὰ κέντρα τῶν ἀστέρων.

Ὅσα μὲν κύρια ἦν ἐπὶ ἑτοιμοτέρας σκέψεως, ἐν τούτοις εἴρηται· ὅσον δὲ [τῆς] ἐκ τῆς συντόμου ταύτης ἀναπτύξεως, πολλὴν ἐπίδοσιν ἑαυτῷ παρέξει, ἐάνπερ ᾖ εὐφυεῖ χρώμενος ψυχῇ καὶ πρὸς ὃν ἂν ὁ νοῦς τοῦ ἀνθρώπου ἔρχηται λογισμὸν κἂν ἐν φύσει κεχορηγημένος.

Τὸν περίπατον ἐὰν ποιῇς, τοῖς ὁρίοις χρῶ, οἷον η' ζ' ς' ε' δ', ἐὰν ᾖ τὸν ἀπὸ Ἡλίου ἐνιαυτὸν ἢ τὸν μῆνα ἀπὸ τοῦ κατὰ πάροδον Ἡλίου ἐπὶ τὴν κατὰ γένεσιν Σελήνην καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου *** τῶν ἐνιαυτῶν ἢ ὡς παρετηρησάμην ἐγὼ Ἑρμείας. δεῖ δὲ ἀπὸ πάντων τῶν ἀστέρων ἐπὶ πάντας τοὺς ἀστέρας [ἀφέσεις] τὸν περίπατον ποιεῖσθαι κατὰ τὰς ἀναφορὰς τῶν ζῳδίων καὶ τὰ κλίματα. οἷον ἐὰν περὶ γυναικός, ἀπὸ Ἀφροδίτης, ἢ θυγατέρων ἢ θηλυκῶν εἰδῶν· ὅταν δὲ περὶ πράξεως, ἀπὸ Ἑρμοῦ, καὶ τῶν ἀνηκόντων· ὅταν δὲ περὶ κινδύνων ἢ θανάτου ἢ νόσων ἢ αἱμαγμῶν, ἀπὸ τῶν κακοποιῶν ἐπὶ τὸν ὡροσκόπον ἢ Ἥλιον ἢ Σελήνην· καὶ ἀπὸ τῶν ἄλλων ὁμοίως. προσέχειν δὲ δεῖ καὶ ἐν τίσιν

1 aut ἐπὶ del. aut ἀναπληροῖ mutandum (ἀναποδοῖ?). 3 καὶ ἡ] 6 (nota ἡμέρας) ἢ S. 9 πλήρη S. nempe ταύτας. 10 τὸν] τό S. 10-11 ἐπὶ τὰς] περὶ τὰς S. 12 καταληφθέντα S. 16 δηλώσει S. 24 de ὅσον, cf. Dem., *De cor.*, 153, Matthiae, 479b. 25 ἐάνπερ ᾖ] ἔνπέρ τι S. 26 an ἔρρωται? λογισμῶν S. κἂν ἐν spurium (ἱκανῇ Rad., potius ἱκανόν) iunge λογισμὸν φύσει κεχορ. 27 ὡρίοις S.

ὁρίοις οἱ περίπατοί εἰσι καὶ τίνες τῶν ἀστέρων ἀκτινοβολοῦσι καὶ τίνες κατ' ἐπέμβασιν ἐν τῷ ζῳδίῳ τοῦ περιπάτου εἰσίν· ὁμοίως καὶ τὸν παραδεδωκότα ἢ παραλαμβάνοντα πῶς ἔχουσι πρὸς τὴν γένεσιν καὶ πῶς ἀνέτειλαν καὶ πῶς ἐν τῇ γενέσει ἐγένοντο.

Ἄλλως περὶ ἐνιαυτοῦ. Τοὺς δὲ ἐνιαυτοὺς οὕτως λήψῃ· ἀπὸ Ἡλίου, ὃς δηλοῖ τὰ ψυχικά· ἀπὸ Σελήνης, ἣ δηλοῖ τὰ σωματικὰ καὶ περὶ μητρός· ἀπὸ κλήρου τύχης. τούτους δὲ ἐξεταστέον πῶς ἔχουσι πρὸς ἀλλήλους· ἐὰν γὰρ ἀγαθοποιοὶ ὦσι καὶ συμφώνως φανῶσι, καὶ ἀγαθὸν τὸν ἐνιαυτὸν σημαίνουσιν· ἐὰν δὲ κακοποιοί, ἐναντίον· ἐὰν δὲ ἀγαθοποιοὶ καὶ κακοποιοί, μεμιγμένον καὶ τὸ ἔτος ἀποτελοῦσι. χρηστέον δὲ καὶ τῷ λεγομένῳ κυνικῷ ἐνιαυτῷ.

<λ'.> Περὶ χρόνων ἐμπράκτων καὶ ἀπράκτων πρὸς τὸ τέταρτον τῆς περιόδου.

Διαίρεσις χρόνων ἐμπράκτων πρὸς τὰ τέταρτα. οἷον Κρόνου ἔτη λ', τὸ τέταρτον ζ' ἥμισυ· Διὸς ἔτη ιβ, τὸ τέταρτον ἔτη γ'· Ἄρεως ἔτη ιε', τὸ τέταρτον ἔτη γ' μῆνες θ'· Ἡλίου ἔτη ιθ', τὸ τέταρτον ἔτη δ' μῆνες θ'. Ἀφροδίτης ἔτη η', τὸ τέταρτον ἔτη β'· Ἑρμοῦ ἔτη κ', τὸ τέταρτον ἔτη ε'· Σελήνης ἔτη κε', τὸ τέταρτον ἔτη ϛ' μῆνες γ'. ταῦτα οἱ μικροὶ κύκλοι αὐτῶν, ὁ δὲ μέγιστος αὐτῶν Ἡλίου ρκ', Σελήνης ρη', Κρόνου νζ', Διὸς οθ', Ἄρεως ξϛ', Ἀφροδίτης πβ', Ἑρμοῦ οϛ'. μερίζουσι δὲ τὰς ἡμέρας οὕτως· οἷον Κρόνου εἰσὶν ἡμέραι χλζ', Διὸς σνε', Ἄρεως τιη', Ἡλίου υλγ', Ἀφροδίτης τξη' ιη', Ἑρμοῦ υκγ' ιη', Σελήνης φλα'. Ζεὺς ἐκ τῶν γ' ἐτῶν μερίζει ἑαυτῷ ἡμέρας ρβ', Ἄρει ρκζ' ιβ', Ἡλίῳ ρξα' ϛ', Ἀφροδίτῃ ξζ' ιβ', Ἑρμῇ ρο' ιβ', Σελήνῃ σιβ' ϛ', Κρόνῳ σνε'. Ἄρης ἐκ τῶν γ' ἐτῶν καὶ μηνῶν θ' ἑαυτῷ ρνθ' ε', Κρόνῳ τιη', Διὶ ρκζ', Ἡλίῳ σιθ', Ἀφροδίτῃ πδ' ιη', Ἑρμῇ σιβ' κα', Σελήνῃ σξε' δύο τρίτα. Ἥλιος ἐκ τῶν ἐτῶν δ' καὶ μηνῶν θ' Κρόνῳ υγ', Διὶ ρξα' ὥρας ιβ', Ἄρεϊ σα', Ἡλίῳ σνε' η', Ἀφροδίτῃ ξϛ' κα', Ἑρμῇ σξζ' δ', Σελήνῃ τλϛ' ϛ'. Ἀφροδίτη ἔτη β'· Κρόνῳ ρο', Διὶ ξη', Ἄρεϊ πε', Ἡλίῳ ρζ' ιβ', ἑαυτῇ με', Ἑρμῇ ριγ' ιβ', Σελήνῃ ρμα' ιβ'. Ἑρμῆς ἔτη ε'· Κρόνῳ υκε', Διὶ ρο', Ἄρεϊ σιβ, Ἡλίῳ σξη' ιζ', Ἀφροδίτῃ ριβ', ἑαυτῷ σπγ' ιβ', Σελήνῃ τνη' ιη'. Σελήνη

7 τούτοις S. 14 cf. cap. I. 21 cf. cap. III. accuratius χλζ' ἥμισυ. debebat τιη' <δύο τρίτα>. 22 Solis debent esse 403 3/4 (53 5/6 × 7 1/2). Venus supra p. 76, 6 habet 170 dies. Mercurio competunt 425 dies, Lunae 531 1/4. 23 γ'] νγ' S. sc. 102 = 3 × 34 etc., totus numerus 1096 = 3 × 365 1/4. 25 rectius ρνθ' δ' η'. τιη' (rectius τιη' ἥμισυ τέταρτον)] σιη' S. ρκζ' (rectius ρκζ' ἥμισυ)] ρλζ' S. Solis numerus 201 7/8. 26 Veneri 95, Mercurio 212 1/2, Lunae 265 5/8 dies dare debebat. 27 υγ' (rectius υγ' ιη')] υπ' S. σα' (rectius σα' κα')] σια' S. Soli competunt 255 17/24 ergo fort. scripsit σνε' ιη'. 28 Veneris dies 107 2/3. rectius σξθ' δ' et τλϛ' ια'. 29 β'] ιβ'. Ἡλίῳ] Martis signum S. ἑαυτῶ S. 30 ρμδ' ιβ' geminat S reposui ρμα' (horarum numerus verus ιϛ'). 31 Sol habet 269 1/6· Lunae competunt 354 1/6.

ἐκ τῶν ἐτῶν ϛ καὶ μηνῶν γ′ Κρόνῳ υκε′, Διὶ ρο′, Ἄρεϊ σξε′ ιε′, Ἡλίῳ τλϛ′, Ἀφροδίτῃ ρμα′ ιϛ′, Σελήνῃ υμβ′. ὅπου δ᾽ ἂν καταλήξῃ τὸ ἔτος, ὁ κύριος τοῦ ζῳδίου πρῶτος δίδωσιν· οἷον Κρόνος πε′, εἶτα Ἥλιος νγ′ ὥρας ιη′, Ἑρμῆς νϛ′ ὥρας ιη′, Ἀφροδίτη κβ′ ὥρας ιη′, Ζεὺς λδ′, Σελήνη ο′ ὥρας ιη′, Ἄρης μβ′ ὥρας ιβ′.

Ἄλλη ἀγωγή. Ὅσα ὅρια ἔχει τις τῶν ἀστέρων ἐν τοῖς ιβ′ ζῳδίοις, τοσαῦτα ἔτη δίδωσιν. οἷον ὡροσκόπος Ζυγῷ· κατάγονται ἔτη κη′· Αἰγόκερως τὰς πρώτας νζ′ Κρόνῳ δίδωσιν, εἶτα Ἑρμῇ οϛ′, εἶτα Ἀφροδίτῃ πβ′, εἶτα Διὶ οθ′, εἶτα Ἄρεϊ ξε′, εἶτα Σελήνῃ ο′, εἶτα Ἡλίῳ ὥρας ϛ′.

Ἄλλη διαίρεσις. Τὰ ἐλάχιστα τοῦ ἀστέρος πολυπλασίασον ἐπὶ τὸν δ′ καὶ δίδου Σελήνῃ κε′ Ἡλίῳ ὥρας ϛ′· ἕξει οὖν ὁ τοῦ Κρόνου διὰ τὸν Αἰγόκερω ἡμέρας ρκ′, εἶτα Ἑρμῆς π′, εἶτα Ἀφροδίτη λβ′, εἶτα Ζεὺς μη′, εἶτα Ἄρης ξ′, εἶτα Σελήνη κε′, εἶτα Ἥλιος ὥρας ϛ′· ὁ ἐνιαυτὸς ἡμέρας καὶ νυκτὸς ἀπὸ τοῦ ὡροσκόπου. κατάγει τις ἔτη κη′ ἐλάχιστα ἀπὸ Ζυγοῦ, ἔστι δὲ Κρόνος Ταύρῳ· τὰ κη′ καταλήγει εἰς Λέοντα· Ζυγῷ οὖν Κρόνος παρέδωκεν Ἡλίῳ καὶ ἔχει τὸν ἐνιαυτὸν Ἥλιος. τοῦτο ἀρέσκει Αἰγυπτίοις Βαβυλωνίοις καὶ Ἕλλησιν.

Τὰ τρίγωνα συγκρίνουσιν οὕτως [κη′]. Ἀφροδίτη κυρία τοῦ τριγώνου· ἀπὸ οὖν Ἀφροδίτης τῆς ἐν Καρκίνῳ καταλήγει εἰς Ζυγόν· ὁ κύριος τοῦ τριγώνου ἡμέρας Κρόνος Ζυγῷ· Κρόνος ἀπὸ Ἀφροδίτης παρέλαβε τὸν ἐνιαυτόν· ἡ διαίρεσις μάχεται.

E libro sexto.

VI, 5. Περὶ ἐπεμβάσεων.

Εὔτονοι μὲν οὖν αἱ ἐπεμβάσεις τῶν ἀστέρων κριθήσονται, ὁπόταν τῶν χρόνων δεσπόζοντες ἐπεμβῶσι τοῖς τόποις ἢ καὶ εἰσὶ τούτων τετράγωνοι ἢ διάμετροι, ὅνπερ τρόπον καὶ ἐπὶ τῶν ἀρχὰς ἢ καὶ ἡγεμονίας λελογχότων ἕκαστος καθ᾽ ἣν ἐκληρώσατο ὥραν τὴν ἐπέμβασιν ποιησάμενος εὐτονεῖ εἰς τὸ σώζειν ἢ ἀναιρεῖν καὶ οὐδεὶς τὴν τούτου ἀπειλὴν ἢ καὶ πρός τινας εὐεργεσίαν κωλῦσαι δύναται, κἂν πάνυ μείζων γένει βίῳ δόξῃ τυγχάνῃ, ἀλλ᾽ εἴκει τοῖς τοῦ καιροῦ νόμοις,

1 Saturni dies 531 1/4, Iovis 212 1/2 (aberravit ad p. 116, 30). 2 ρμα′] ρμδ′ S. 4-5 horarum numeri plerique non congruunt. 6 cf. Procl. paraphr. 66. 8 Capricornus quadrata radiatione videtur a Libra et est domus Saturni. 9 Mars LXVI annos dat (hic dies); Sol quartam partem diei. 14 diei et noctis signa recte me soluisse spero. aut ἐλάχιστα aut Αἰγόκερῳ signum dicit in S. 15 Sol est Leonis dominus; ♎ signum quid sibi velit nescio. 18 Venus per diem τριγωνοκράτωρ Cancri. 20 Saturnus per diem τριγωνοκράτωρ Librae. 25 εἰσὶ] ἐπὶ V possis ἐπὶ <τὸ> τούτων τετράγωνον ἢ διάμετρον; at extat □^{οι} in V. 26 τῶν] τὰς V. 28 οὐδὲ V.

μέχρις οὗ τὴν ἀρχὴν ἀπόθηται· ἐπὰν δὲ συμπληρώσῃ τὸν χρόνον, παραδιδοὺς ἑτέρῳ τὴν ἡγεμονίαν ἄτονος πρὸς [τε] τὸ ἀγαθὸν ἢ φαῦλον ἀποκαθίσταται. αἱ μὲν οὖν ἀποτελεσματογραφίαι τῶν παραδόσεων καὶ συγκρατικαὶ πρὸς ἀλλήλους μαρτυρίαι τε καὶ συμπαρουσίαι ἐν τοῖς ἔμπροσθεν ἡμῖν δεδήλωνται· αἷς καὶ προσχρηστέον, ἑκάστου κατὰ τὴν ἰδίαν φύσιν καὶ κατὰ τὸν ἐπιβάλλοντα χρόνον ἐνεργοῦντος καὶ τὸ εἶδος τοῦ ἀποτελέσματος ἐνδεικνυμένου.

VI, 6. Περὶ τῆς εἰς ι' ἔτη καὶ μῆνας θ' διαιρέσεως ἐμπράκτων τε καὶ ἀπράκτων χρόνων.

Καὶ ταύτην δὲ τὴν διαίρεσιν κωφῶς καὶ εἰκαίως παρερριμμένην διὰ τὸ τὰς εἰσόδους αἰνιγματώδεις ἐσχηκέναι δοκιμάσας καὶ ἀνευρὼν καὶ συγκομίσας ὑπέταξα, ὅπως οἱ φιλόκαλοι διὰ πολλῶν εἰς μίαν δύναμιν ἀποτελέσματος κατελθόντες ἐκθειάσωσι τὴν φύσιν, λογισάμενοι διὰ πολλῶν εὐθειῶν ὁδῶν τε καὶ δυσβάτων εἰς ἓν χωρίον κατηντηκέναι.

Ἔστω οὖν ἡμῖν ὁ λόγος ἐπὶ μὲν τῶν ἡμερινῶν γενέσεων λαμβάνειν ἀφέτην Ἥλιον, ἐάνπερ ᾖ καλῶς κείμενος, ἐπὶ δὲ τῶν νυκτερινῶν Σελήνην, ἐπεὶ καθὼς προγέγραπται ἡμῖν ἐν ταῖς ἐπικρατήσεσιν ἐκεῖνον <δεῖ> κρίνειν ἀφέτην τῶν ἡμερινῶν καὶ νυκτερινῶν τὸν καλῶς κείμενον. ἐὰν δὲ κατ' ἀμφότερα παραπέσῃ τὰ φῶτα, ὁ μετὰ τὸν ὡροσκόπον εὑρισκόμενος ἀστὴρ πρῶτος μεριεῖ τοὺς χρόνους καὶ δεύτερος ὁ μετ' αὐτὸν κείμενος καὶ ἑξῆς οἱ λοιποί.

Ὑποδείγματος χάριν τῆς διαιρέσεως τῆς δεκαετηρίδος καὶ μηνῶν θ' ἔστω Ἥλιος ἀφέτης· λήψεται αὐτὸς ἔτη δέκα μῆνας θ', καὶ μετ' αὐτὸν ἑξῆς ὁ κείμενος ἀστὴρ ἐπὶ τῆς γενέσεως κατὰ τὴν τοῦ Ζῳδιακοῦ κύκλησιν ἔτη ι' καὶ μῆνας θ', καὶ μέχρις οὗ ἐὰν ἐπιδέχηται ὁ ἀριθμὸς τῶν ἐτῶν διδόναι τοὺς ἐνιαυσιαίους χρόνους. ἐπεὶ τοὺς περιοδικοὺς ἑκάστου ὡριαίους ἡμερησίους μηνιαίους συναναλαμβάνειν χρὴ τοῖς ἐνιαυσιαίοις καὶ συγκρίνειν τόν τε καθολικὸν τῶν χρόνων δεσπόζοντα καὶ τὸν τῶν μηνιαίων καὶ τῶν ἡμερῶν τε καὶ ὡρῶν τούς τε κύκλους πόσοι ἦσαν καὶ τίς ἀπὸ τίνος δέχεται τὸν κύκλον καὶ τὴν ἑβδομάδα. οὕτως γὰρ ἀνακυκλούμενοι οἱ χρόνοι κἂν εἰς τοὺς αὐτοὺς καταντῶσιν ἀστέρας, οὐ μέντοι ἐκ τῶν αὐτῶν ἑβδομάδων οὐδὲ τῶν αὐτῶν κύκλων· ἕτερος δ' ἑτέρῳ κύκλῳ συναρμοζόμενος κατὰ τὴν ἀκολουθίαν τοῦ χρόνου τὰς τῶν ἀστέρων ἐναλλοιοῖ δυνάμεις, καὶ γίνεται ὁ αὐτὸς ἀστὴρ ὁτὲ μὲν ἀγαθῶν αἴτιος ὁτὲ δὲ φαῦλος κατὰ τὴν τοῦ παραδιδόντος καὶ παραλαμβάνοντος ἐνέργειαν καὶ διάθεσιν οἰκείαν ἢ ἐναντίαν. προβλέπειν δὲ δεῖ τοὺς ἐνεστῶτας καὶ μέλλοντας χρόνους καὶ σκοπεῖν,

1 ἀποθουται V (ο et αι ex corr.). 4 συγκρατητικαὶ V. 10 εἰκέως V. 14 possis εὐρειῶν. 25 κύκλησιν] notae in V ad explicandum difficiles. 26 ἐπὶ V. 31 nempe καί. 32 οὐδὲ] οὐ V. 33 συναμοζομένω V[a], συναμοζόμενος V[b]. 37 καὶ σκοπεῖν otiosum.

κἂν μὲν εἰς ἀγαθοποιοὺς χωρῶσι, προλέγειν τὸ ἀγαθόν, κἂν ἔτι διακατέχῃ ὁ κακοποιὸς ἐλάχιστον χρόνον· προμαραίνεται γὰρ ἡ τοῦ κακοποιοῦ δύναμις ὑπὸ τῆς τοῦ παραλαμβάνοντος ἀστέρος ἀγαθοποιίας προκατασκευάζοντος ἀφορμὰς ποικίλας, φιλίας συμπαθείας συστάσεις εὐημερίας δόξας ὠφελείας καταθυμίων συντέλειαν. ἔσθ' ὅτε μὲν οὖν καὶ μυστικαῖς πράξεσιν ἢ ἀπορρήτοις ἢ παραβόλοις μολύνας εὐτυχίαν εἰργάσατο, ὡς τοὺς γενομένους ἥδεσθαι ἢ μέσως φέρειν ἐφ' οἷς πρότερον ἤχθοντο καὶ μετανοεῖν ὡς μάτην ἀπολέσαντας ἄπρακτον χρόνον. ὁμοίως δὲ καὶ ὁπόταν ἀγαθοποιῶν εἰς κακοποιοὺς χωρῶσιν οἱ χρόνοι, εἰς ἔχθραν καὶ ἀτιμίαν καὶ προδοσίαν καὶ ζημίαν καὶ κίνδυνον προσλαμβάνονται καὶ εἰς αἰφνιδίους καὶ ἀπροσδοκήτους αἰτίας καὶ καθαιρέσεις· ὅθεν πολλοὶ μετανοοῦσι μὴ προαμυνόμενοι τοὺς ἐχθρούς, ἀλλὰ καὶ πίστιν καὶ συμπάθειαν φυλάξαντες ματαίως, μὴ περιγινόμενοι δὲ ὧν θέλουσιν ἐπὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς ὀδυνῶνται καὶ ἄκοντες ὑποτάσσονται.

Ἔστω δὲ ἡμῖν ἐπὶ ὑποδείγματος γένεσις, ἵνα συντομώτερον τὴν εἴσοδον ἐνδειξώμεθα. Σελήνη Ἰχθύσι μοίραις ιη', Ἀφροδίτη Κριῷ, Ζεὺς Ζυγῷ, Κρόνος ὡροσκόπος Τοξότῃ, Ἄρης Ὑδροχόῳ, Ἥλιος Ὑδροχόου ἀρχαῖς, Ἑρμῆς Ἰχθύσιν· οὕτως γὰρ διέκειντο ἐφεξῆς. ζητοῦμεν ἔτη νβ' καὶ τοῦ νγ' Παϋνὶ ιε'. ἐπεὶ οὖν ἐπὶ ταύτης τῆς διαιρέσεως <αἱ> ἡμέραι καὶ οἱ κύκλοι πρὸς τξ' ἡμέρας τὴν πραγματείαν ἔχουσι, τὰ δὲ γενεθλιακὰ ἔτη πρὸς τὸν τξε' δ', ἔλαβον τῶν ὁλοκλήρων ἐτῶν νβ' τὰς ἀνὰ ε' δ'· γίνονται σογ'· καὶ ἀπὸ Μεχὶρ ιβ' ἕως Παϋνὶ ιε'· γίνονται ρκδ'· καὶ ὁμοῦ γίνονται ἡμέραι τϛζ'. ἀφεῖλον κύκλον τξ', λοιπαὶ ἡμέραι λζ'. ἐκρίθη οὖν νυκτερινῆς οὔσης τῆς γενέσεως Σελήνη, ὑπόγειος οὖσα ἐν θηλυκῷ ζῳδίῳ τριγώνῳ συναιρετιστοῦ καὶ οἰκείως κειμένη, ἀφέτης τῶν καθολικῶν χρόνων. πρώτη οὖν ἔλαβεν ἐκ τῶν προκειμένων ἐτῶν ἔτη ι' μῆνας θ', εἶθ' ἑξῆς Ἀφροδίτη ἐν Κριῷ ἔτη ι' μῆνας θ', εἶτα ἑξῆς Ζεὺς Ζυγῷ ἔτη ι' μῆνας θ', εἶθ' ἑξῆς Κρόνος Τοξότῃ ἔτη ι' μῆνας θ'· γίνονται κύκλοι δ' ἔτη μγ'. μετ' αὐτοὺς ἑξῆς ἀκολουθεῖ Ἄρης· τούτου ὁ κύκλος ἔτη ι' μῆνες θ' εἰς συμπλήρωσιν ἐτῶν νγ' καὶ μηνῶν θ'. ἐπεὶ οὖν ὑπὲρ τὸν προκείμενον χρόνον καὶ ζητούμενον ὑπερβάλλει ὁ ἐνιαύσιος χρόνος, εἰς τὸν μηνιαῖον κατέδραμον καὶ ἔδωκα αὐτῷ τῷ Ἄρει τῷ κυρίῳ τοῦ κύκλου μῆνας ιε', προσθεὶς δὲ τῷ συντελεσθέντι τετάρτῳ κύκλῳ ἐτῶν δι' ἀριθμοῦ μγ'· καὶ ἐγένοντο ἔτη μδ' μῆνες γ'. εἶτα Ἡλίῳ ἔτος α' μῆνας ζ', εἶτα Ἑρμῇ μῆνας κ', εἶτα Σελήνῃ μῆνας κε', εἶτα Ἀφροδίτῃ μῆνας η', εἶτα Διὶ μῆνας ιβ'· καὶ γίνονται ἔτη να' καὶ μῆνες γ'. ἑξῆς Κρόνος λαμβάνει μῆνας λ' εἰς συμπλήρωσιν

2 fors. del. ὁ. 6 ἀπαραβόλοις V. 7 ὡς τοὺς] εἰς τοῦ V. ἀμέσως V. 20 ιβ' V[a] (pro νβ'). παυνὶ] ἰουνίῳ superscr. V. 22 γενεθλικὰ V. 23 νγ' V[a]. 26 Pisces trigonum sunt Veneris quae item ac Luna nocte gaudet. 30 αὐτοὺς] αὐτὸν V[a], αὐτῶν V[b]. 31 μῆνας V. 34 δὲ fors. del. 36 μῆνες ζ' V. 38 μῆνας V.

τοῦ Ἀρεϊκοῦ κύκλου ἐτῶν νγ' καὶ μηνῶν θ'· ἐπεὶ οὖν καὶ οὗτος ὁ χρόνος ὑπερβάλλει τὸν προκείμενον, εἰς ἡμέρας ἀνέλυσα οὕτως· ἕως τοῦ Διὸς συνήγετο ἔτη να' μῆνες γ'· ἀνέλαβον τὰς λοιπὰς ἡμέρας τοῦ νβ' ἔτους σο' καὶ τοῦ νγ' τξ' καὶ τοῦ νδ' ἔτους ἡμέρας λζ'· καὶ γίνονται ὁμοῦ ἡμέραι χξζ' Κρόνου τοῦ ἀπὸ Ἄρεος παραλαμβάνοντος. ἐξ ὧν παρέδωκεν ἑαυτῷ καὶ τοῖς ἑξῆς κειμένοις κύκλον α' ἡμερῶν ρκθ'· εἶτα τὸν β' κύκλον παρεχώρει Ἄρεϊ ὁμοίας ἡμέρας ρκθ', κἀκεῖνος ἐμέρισεν ἑκάστῳ τὰς ἰδίας ἡμέρας· τὸν δὲ γ' κύκλον Ἥλιος διεδέξατο ἀπὸ Κρόνου καὶ ἐμέρισεν ρκθ' ἡμέρας, τὸν δὲ δ' Ἑρμῆς, τὸν δὲ ε' Σελήνη καὶ ἐμέρισεν ἡμέρας ρκθ'. λοιπὸν περιλείπονται ἡμέραι κβ' τοῦ ς' κύκλου, ὅς ἐστιν Ἀφροδίτης. ἐμέρισεν οὖν ἑαυτῇ ἡμέρας η', ἔπειτα Διὶ ἡμέρας ιβ'· λοιπαὶ β' ἡμέραι εἰς τὴν ζητουμένην ἡμέραν, αἵ εἰσιν Κρόνου [πρώτη].

Γέγονεν οὖν ὁ μὲν καθολικὸς χρονοκράτωρ τῶν ἐτῶν Ἄρης ἀπὸ Σελήνης παραλαβών, ὁ δὲ τῶν μηνιαίων Κρόνος ἀπὸ Ἄρεως παραλαβών, τῶν δὲ ἡμερῶν Ἀφροδίτη παρὰ Κρόνου τὸν κύκλον παραλαβοῦσα. τῷ οὖν νβ' ἔτει ἐγένετο γυναικὸς θάνατος ἐπίλυπος καὶ νόσοι ἐπισφαλεῖς αὐτῷ ἐπηκολούθησαν καὶ ζημίαι· ἐν δὲ ταῖς προκειμέναις ἡμέραις ἡ γένεσις κατεδικάσθη δίκην ἔχουσα ὑπὲρ γυναικὸς καὶ πρὸς γυναῖκα περὶ νεκρικῶν καὶ παλαιῶν πραγμάτων καὶ ὑπὸ μειζόνων κατεσπουδάσθη καὶ μικροῦ δεῖν ἐκινδύνευσε καὶ οἰκείων ἢ ἀλλοτρίων λύπην ἀνεδέξατο, ὡς εἰς ἀπόγνωσιν χωρῆσαι, καὶ ἑτέροις πράγμασι καὶ ἐπισφαλέσι καὶ ἐπιζημίοις περιεπλάκη. ἔτι γὰρ διεκράτει τὸν χρόνον Κρόνος παρ' αἵρεσιν ὡροσκοπῶν καὶ καθυπερτερῶν Σελήνην, τὴν ἄφεσιν, καὶ Ἑρμῆν· ὅθεν καὶ πλαστογραφίαι πλεῖσται παρηκολούθησαν καὶ ψευδηγορίαι καὶ πλάναι καὶ ἐξοδιασμοὶ πλεῖστοι καὶ νόσοι ἐπισφαλεῖς.

Παράδοσις χρόνων ἀστέρων β'. ἐπιμερισμοὶ ἐκ τῶν Κριτοδήμου. V, f. 106v.

Ἥλιος Ἑρμῆς Λέοντι, Σελήνη Σκορπίῳ, Κρόνος ὡροσκόπος Κριῷ, Ζεὺς Ἰχθύσιν, Ἄρης Ἀφροδίτη Παρθένῳ, κλῆρος τύχης Αἰγόκερῳ, δαίμων Καρκίνῳ. ὁ τοιοῦτος κυρτός.

Ἥλιος Ἑρμῆς Ἄρης Ζεὺς Ἀφροδίτη Αἰγόκερῳ, Σελήνη Ὑδροχόῳ, Κρόνος Ταύρῳ, ὡροσκόπος Κριῷ. καὶ οὗτος ἐτραχηλοκοπίσθη.

Ἥλιος Ἀφροδίτη Ὑδροχόῳ, Σελήνη Διδύμοις, Κρόνος Σκορπίῳ, Ζεὺς Ἰχθύσιν, Ἄρης Καρκίνῳ, Ἑρμῆς ὡροσκόπος Αἰγόκερῳ, κλῆρος τύχης Παρθένῳ, ὁ θανατικὸς Κριῷ. οἱ τούτων κύριοι ἠναντιώθησαν

1 νγ'] ιγ' V. 4 νγ'] νε' V. 5 τοῦ] καὶ V. 7 an ὁμοίως? 10 fors. ἐμέρισαν. 17 fort. νόσος ἐπισφαλὴς Vb. 28 inscr. (in qua etiam post χρόνων interpungi poterat) vix huc pertinet. 34 καὶ otiosum. 37 θαναστικός V. Virginis dominus Mercurius et Arietis Mars.

ἀλλήλοις ἐν καθύγρῳ ζῳδίῳ, ἄλλως δὲ καὶ ὁ Ἄρης ἐπὶ τῆς δύσεως ἔτυχεν. ὁ τοιοῦτος ἐν βαλανείῳ ἐκλυθεὶς ὠπτήθη.

Ἥλιος Ἀφροδίτη Αἰγόκερῳ, Σελήνη Καρκίνῳ, Κρόνος Ἑρμῆς Τοξότῃ, Ζεὺς Ταύρῳ, Ἄρης Λέοντι, ὡροσκόπος Ὑδροχόῳ, κλῆρος τύχης Λέοντι. τούτῳ ἐπίκειται Ἄρης ἐν πυρώδει καὶ ἡλιακῷ ζῳδίῳ ἐναντιούμενος τῷ ὡροσκόπῳ, τὸν δὲ θανατικὸν τόπον καθυπερτέρησεν Κρόνος καὶ Ἑρμῆς. ὁ τοιοῦτος ζῶν ἐκάθη.

Ἥλιος Αἰγόκερῳ, Σελήνη Ζυγῷ, Κρόνος Ταύρῳ, Ζεὺς Διδύμοις, Ἄρης ὡροσκόπος Καρκίνῳ, Ἀφροδίτη Ὑδροχόῳ, Ἑρμῆς Τοξότῃ, ὁ κλῆρος τῆς τύχης Ζυγῷ· τούτῳ Σελήνη ἔπεστιν καθυπερτερουμένη ὑπὸ Ἄρεως ἐναντιουμένου Ἡλίῳ. ὁ θανατικὸς τόπος Ταύρῳ· Κρόνος ἔπεστιν. ὁ τοιοῦτος ἐθηριομάχησεν.

Ἥλιος Σελήνη Ἑρμῆς Διδύμοις, Κρόνος Λέοντι, Ζεὺς Ἰχθύσιν, Ἄρης Καρκίνῳ, Ἀφροδίτη Κριῷ, ὡροσκόπος Αἰγόκερῳ, ἔνθα καὶ οἱ κλῆροι κατέληξαν· ὁ κύριος Κρόνος ἐν τῷ θανατικῷ ὑπὸ Ἀφροδίτης θεωρούμενος· Ἄρης τῷ ὡροσκόπῳ ἠναντιώθη. ὁ τοιοῦτος ἐτελεύτα φαρμάκῳ.

Ἥλιος Ἑρμῆς ὡροσκόπος Ταύρῳ, Σελήνη Ἰχθύσιν, Κρόνος Διδύμοις, Ζεὺς Ὑδροχόῳ, Ἄρης Παρθένῳ, Ἀφροδίτη Κριῷ, κλῆρος τύχης Ἰχθύσιν· ἐκεῖ Σελήνη ὑπὸ Κρόνου καὶ Ἄρεως θεωρουμένη· ὁ κύριος τοῦ δαίμονος καὶ τῆς πανσελήνου ἠναντιώθη. ὁ τοιοῦτος ἐν ἀντλίᾳ ἐτελεύτα.

Ἥλιος Λέοντι, Σελήνη Ἑρμῆς Παρθένῳ, Κρόνος Διδύμοις, Ζεὺς Κριῷ, Ἄρης ὡροσκόπος Ἀφροδίτη Καρκίνῳ, ὁ κλῆρος τῆς τύχης Διδύμοις· ἐκεῖ Κρόνος κύριος τοῦ θανάτου καὶ καθυπερτερῶν Ἑρμῆν τὸν κύριον τοῦ κλήρου καὶ Σελήνην· ἄλλως τε καὶ Ἄρης τῷ θανατικῷ ἠναντιώθη. ὁ τοιοῦτος ἑαυτὸν ἀπηγχόνησεν.

Ἥλιος Ἑρμῆς Κριῷ, Σελήνη Ἀφροδίτη Ἰχθύσι, Κρόνος Καρκίνῳ, Ζεὺς Ἄρης Ταύρῳ, ὡροσκόπος Σκορπίῳ, ὁ κλῆρος τῆς τύχης Τοξότῃ, ὁ κύριος σὺν τῷ Ἄρει ἐν τῷ Ταύρῳ, ὁ θανατικὸς τόπος Καρκίνῳ, Κρόνος ὁ κύριος τῆς Σελήνης ἀπόστροφος· ἠναντιώθη δὲ καὶ ὁ Ἄρης τῷ ἰδίῳ οἴκῳ. ὁ τοιοῦτος ἐθηριομάχησεν. Cf. supra p. 52, 28 et add.

IX, 8. Ἀγωγὴ περὶ χρόνων ζωῆς πρὸς τὰ ἀπογώνια.

Πᾶσαι μὲν οὖν αἱ προκείμεναι ἀγωγαὶ χρηματιστικαὶ καὶ εὐκατάληπτοι τοῖς ἐντυγχάνουσίν εἰσίν, αἵτινες εἰς ταὐτὸ καταλήγουσι, τουτέστι [καὶ] εἰς τὴν αὐτὴν μοῖραν, οὐ μέντοι τὴν αὐτὴν δύναμιν τῶν

5 πυρώδη V. 6 locus mortis fors. in octavo signo i. e. Virgine?? 7 formam ex ἐκαύθη et ἐκάη contaminatam abolere nolui. 10 ἔσπεστιν V. 11 θαναστικός V. 19 sors daemonis in Leone cuius dominus Mars opponitur Piscium domino Iovi. 20 legendum puto Σελήνης. 24 Saturnus dominus Aquarii i. e. loci octavi qui locus Martis dici videtur; et ex seqq. concludendum Capricornum pro Martis loco haberi (quod est δύσις?). 25 θανανικῷ V. 29 Ἄρει] Sagittarii signum V. τῷ] τῇ V. 34 εἰσι καί τινες V, corr. Raderm.

χρόνων· ὅθεν χρὴ τοὺς βουλομένους τυχεῖν τῶν τοιούτων μετὰ πάσης σπουδῆς καὶ προθυμίας ἐπιβάλλεσθαι. ὁ γὰρ θέλων πονεῖν κρατεῖ ὧν ἐπιθυμεῖ· παντὶ γὰρ πράγματι καλῷ τε καὶ φαύλῳ συνέπεται πόνος καὶ λογισμὸς ἄστατος ἐπί τε βασιλικῶν καὶ ἡγεμονικῶν ἀρχηγικῶν πλουσίων πενήτων καὶ ἐπὶ τέχναις καὶ ἐπιστήμαις· ἀλλ' οὐδὲ μὴν ἡδοναὶ καὶ τέρψεις ἀμερίμνως καὶ ἀλύπως διευθύνουσιν, ἔχουσι δὲ παρείσδυσιν καὶ φιλαυτότητα καὶ λύπην ψυχικὴν αἰωνίαν. πλουσίαν οὖν μαθημάτων τράπεζαν παρασκευασάμενος συνεστιάτορας ἐπὶ τὸ σύνδειπνον ἀνακέκληκα· οἱ οὖν βουλόμενοι θοινᾶσθαι διὰ τὴν τοῦ σώματος φυσικὴν ὑπηρεσίαν ἐνεργείτωσαν, βοηθοῦντος αὐτοῖς μὴ λάβρως μηδὲ ἀκορέστως ταῖς τροφαῖς χρωμένοις, ἀλλ' ἐφ' ὅσον ἡδονὴν αὐτάρκη τὰ ἐδέσματα δύναται παρέχεσθαι· τὰ δὲ παρὰ φύσιν βλάπτειν εἴωθεν. εἰ δέ τις τῶν κεκλημένων ἐθέλοι ἀβλαβὴς διαμένειν, μιᾷ μερίδι ἢ καὶ δευτέρᾳ χρησάμενος εὐφρανθήσεται· καθάπερ γὰρ ἐπί τινος πυρὸς κατὰ βραχὺ ὕλη προσμεμιγμένη ἀκμαιοτέραν καὶ μείζονα τὴν φλόγα παρασκευάζει κατεργαστικωτέραν τε καὶ λαμπροτέραν, ἀθρόως δὲ αὐτῷ συνεμπεσοῦσα ἠμαύρωσε καὶ κατέσβεσε τὴν εὐμορφίαν τοῦ φωτὸς καὶ πρὸς τούτοις θολώδη καπνὸν καὶ βαρυτάτην ὀδμὴν τοῖς πλησίον μετὰ δακρύων παρέχεται, τοῖς δὲ πόρρωθεν θρύαλλον μέγαν, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν προκειμένων ἀγωγῶν ἐάν τις μιᾷ ἢ καὶ δευτέρᾳ συγχρονίσαι, εὐκατάληπτον ἕξει τὸ ζητούμενον μεθ' ἡδονῆς καὶ τέρψεως εἰς ἀεὶ [δὲ] διατρίβων καὶ φαντασιούμενος. εἰ δέ τις εἴη μὲν ἐκ τοῦ ἀναγινώσκειν δυσνόητος, θέλοι δὲ εἰς μίαν ἡμέραν δύο καὶ τρεῖς βίβλους διεξιέναι, τὴν μὲν ἀλήθειαν οὐκ ἐξιχνεύσει, παραπλήσιος δὲ ἔσται χειμάρρῳ ποταμῷ σύροντι φορτίον ἄκαρπον καὶ ἀνωφελὲς τοῖς ὁρῶσιν ἢ παλινδρόμῳ εἰς μάτην ὀξέως φερομένῳ· οὐδέ γε ἵππος χωρὶς σταδίου καὶ πολέμου ἐπ' ἐρημίας τρέχων ἔπαινον οἴσεται. ἐὰν δὲ ὁ μὲν ποταμὸς φέρῃ ἔγκαρπον φορτίον, ῥᾳδίως εἰς αὐτόν τινες εἰσπηδήσουσι τυχεῖν τοῦ καρποῦ, κἂν ῥοθίως ἢ ἐπικινδύνως. ἡ δὲ ναῦς ῥοθίως δρομήσασα κατὰ τρόπον μεγίστην χαρὰν τοῖς ναυτιλλομένοις παρέχει· ὁ δὲ ἵππος ἕξει σταδίῳ διαθλεύσας ἀγάλλεται μὲν πρὸ τῶν ἐπαίνων καὶ πολλοὺς ἐραστὰς ἐπάγεται καὶ πολλῆς ἐπιμελείας τυγχάνει καὶ ἄθλων πόνους διαλαμβάνεται.

Οὕτως καὶ οἱ μετὰ ἀκριβείας καὶ συνέσεως μεμυσταγωγημένοι ἐπαίνου μὲν καταξιοῦνται, ἡδονὴν δὲ καὶ ὠφέλειαν ἑαυτοῖς περιποιοῦνται· οἱ δὲ ἀκροθιγεῖς τὰς εἰσόδους ποιησάμενοι ῥᾳδίως τὴν ἐπιστήμην χλευάζουσι διὰ τὸ καὶ μὴ εὐμάθειαν ἑαυτοῖς ἐπιμείρεσθαι καὶ ἀθανασίαν. οὐδὲ γὰρ ἀρκετόν τι ἡ φύσις τοῖς ἀνθρώποις ἐδωρή·

4 possis ἡγ. <πραγμάτων καὶ>. 5 casus mutatos tollere nolui. 12 δύνασθαι παρέσχεσθαι S. 19 θρύαλλον " fuliginem ". 20 μίαν ἢ καὶ δευτέραν S. 23 nempe εἰς τὸ ἀναγ. nempe δύο <ἢ> καὶ. 24 ἐξιχνεύειν S. 29 de τυχεῖν cf. Matthiae, 532°. 31 διαθεύσας S (ἕξει στ. dubium). 31-32 μὲν πρὸ corruptum. 33 διαμείβεται opinor. 37 nempe διὰ τὸ μὴ καὶ ἑαυτοῖς εὐμ. ἐπ. 38 οὔτε γὰρ ἀρκιτόν τι S.

σατο τὰς ἐπικύκλους τῶν ἀστέρων θεωρίας εἰδέναι σταθμοῖς καὶ μέτροις ἀμεταθέτοις, ἀλλ' ἔτι καὶ κύκλοις διήρθρωσε τὰ πάντα· διὸ εὐσύνοπτα τὰ θνητῶν τελίσκεται. εἴ γε τὰ μεριζόμενα καὶ συλλογιζόμενα ἐπὶ τῆς γῆς τοῖς ἀνθρώποις πρὸς ἀκριβῆ μάθησιν δυσέφικτα τυγχάνει, οἷον κλιμάτων καὶ ἐθνῶν ἀπομετρήσεις, θαλάσσης ὅροι καὶ σταθμοί, τὸ βραχύτατον καὶ ἐθνῶν ἀσθενέστατον τὴν τοῦ μὴ συνορᾶν πόρρωθεν (ἅπερ εἰκάζει τις μέχρις οὗ πλησίον γένηταί πως) ἴσχει διὰ τῆς τῶν ἄλλων ἁρμονίας, ἄνθρωποι διεξιχνεύοντες τὸν οὐράνιον κύκλον καὶ τὰς τῶν ἀστέρων κινήσεις Ἡλίου τε καὶ Σελήνης δρόμους ἐνιαυσίων τε καὶ μηνιαίων καὶ ὡριαίων μέρη τροπάς τε καὶ μεταβολὰς ἀέρων συναφάς τε καὶ ἀπορροίας ἐκ τοιαύτης προγνώσεως ἀθανασίας δόξαιεν ἂν μετειληφέναι καὶ πρὸ καιροῦ τοῖς θεοῖς προσομιλεῖν· εἴ γε κατὰ τὸν ποιητὴν

Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο
ἀνδρῶν μνηστήρων.

Καὶ ἔστιν ἐπιχθόνιος δηλονότι καὶ οὐράνιος ὑπάρχων (κοινὸς γὰρ ὁ θεός) τὰς ψυχὰς τῶν ἀνθρώπων μετεώρους ἀνάγει περὶ τὴν τοῦ κόσμου ἀστροθεσίαν ἐνθουσιαστικοῖς καὶ φυσικοῖς περιβάλλων νοήμασι, μάλιστα τοῖς περὶ ταῦτα σεμνῶς ἐσπουδακόσιν. ὧν οἵ γε ἀθεεῖς καὶ πανοῦργοι οὐ μόνον τοῦ μέρους τῆς ἀθανασίας ἠτύχησαν, ἀλλὰ καὶ τῆς ἀνθρωπότητος, δίκην δὲ θηρίων καὶ ἀλόγων ἀγελαζόμενοι διὰ τῆς πλεονεξίας καὶ ἀκρίτου λογισμοῦ ἐξ ὑστέρου τιμωρίας ἀξίας ἔδοσαν μὴ φυγόντες τὸν νόμον. ὅτι μὲν γὰρ οἱ θεοὶ σθένουσιν ὑπακούειν ἀνθρώπων καὶ τὰ κάλλιστα καὶ τὰ τίμια παρέχειν καὶ βοηθεῖν, παντελῶς πρόδηλον· βουλόμενοι δ' οὓς ἐψηφίσαντο νόμους διαφυλάσσειν οὐκ ἀθετοῦσι τὰς μοίρας, ταύταις γε τὴν ἐπιτροπίαν τῶν ἀνθρωπίνων πραγμάτων ἀνύσιμον ἰσχυροποιησάμενοι ἀλύτοις ὅρκοις. ἔστι γὰρ καὶ ἐπὶ θεοῖς στύγιος ὅρκος φόβον ἔχων καὶ τιμωρίαν, συνέπεται δ' αὐτοῖς λογισμὸς εὐσταθὴς καὶ ἀμετάθετος ἀνάγκη. μαρτυρεῖ δὲ τούτοις ὁ ποιητὴς λέγων·

Σειρὴν χρυσείαν ἐξ οὐρανόθεν κρεμάσαντες

καὶ τὰ ἑξῆς· τὴν μὲν ἀπειλὴν τοῦ Διὸς ἐνεδείξατο ὡς δυναμένου τοῦτο πρᾶξαι ὅπερ εἶπεν, ἀλλ' ὑπέμνησεν αὐτὸν μηδὲν παρὰ τοὺς νόμους ὑπερβῆναι οὐδ' ἀδικεῖν ἐπὶ θεοῖς· μυστικῶς δὴ ταῦτα εἴρηται καὶ οὐχ ὥς τινες διαλαμβάνουσι μεμνῆσθαι αὐτὸν καὶ ἐπὶ τῆς Ἕκτορος

2 κύκλους διηρθρώσατα πάντα (ex πάντη?) S. 3 sequentia expedire non potui. 6 τὴν] δύναμιν excidisse videtur. 7 μέχρης S. 12 δόξειεν S. sententia Posidoniana, de qua cf. e. g. Manil. IV, 390 sqq. Capelle, *Neue Jahrb. f. d. kl. Alt.*, VIII (1906), p. 532, n. 4. 14 Od. ω, 1 sq. 16 καὶ ἔστιν] immo καὶ τὰ ἑξῆς (τουτέστιν Wdl.). κονός γε ὁ θεός S. 17 ἐπὶ facile, sed manum abstinere satius est. 19 ἀθεής a θεᾶσθαι finxisse potest pro usitato ἀθέατος (ἀφυεῖς Rad.). 31 Il. Θ 19. 33 παρὰ] περὶ S. 34 mirum ἐπὶ θεοῖς (illatum ex v. 28?).. 35 cf. Il. Ο 610-614.

ἀριστείας, ὅτι ἐφ' ὅσον μὲν αὐτοῦ ἡ ὑπόστασις τῶν χρόνων ὑπῆρχεν, ἀκατάληπτος ἦν καὶ πολλοὺς ἀνήρει τήν τε τάφρον διελθὼν καὶ τὰς πύλας ῥήξας τῶν Ἑλλήνων ἐμπρήσας τε τὸν σταθμὸν

Μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχέσπαλος ἢ ὀλοὸν πῦρ·

καὶ ἐδόκει γὰρ βοηθεῖσθαι ὑπὸ Ἀπόλλωνος. ὅτε δὲ τὸ μοιρίδιον αὐτῷ ἐπέστη πληρωθέντων τῶν χρόνων, τρωθεὶς ὑπὸ Ἀχιλλέως

Ὤιχετο δ' εἰς Ἀίδαο, λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων.

Ὁμοίως δὲ καὶ Ἀχιλλεὺς τὸ Τρωικὸν πεδίον αἵματι πληρώσας καὶ Ξάνθον τὸν ποταμὸν νεκρῶν πλήσας καὶ δόξας θεομαχεῖν καὶ [ὑπὲρ] ὑπὸ θεῶν βοηθούμενος καταλειφθεὶς ὑπὸ Ἀθηνᾶς ἀνῃρέθη ὑπὸ Ἀλεξάνδρου μητρὸς αὐτῷ θεᾶς παρεστώσης. ἀλλὰ μὴν καὶ ἐπὶ Διομήδους καὶ Ὀδυσσέως Ἀθηνᾶ ὕπνῳ μεθύσασα τοὺς βαρβάρους, ὅπως Ῥῆσος ὁ Θρακῶν βασιλεὺς ἀπόληται, τούτοις παρέσχε τὴν ἀριστείαν· καὶ ἕτερα δὲ τεκμήρια περὶ τοιούτων ὑπὸ πολλῶν συντεταγμένα φέρεται. τοῖς δὲ ἐν ῥώμῃ σωμάτων οὖσι καὶ δυνάμει πράξεων βοηθουμένοις ὑπὸ τοῦ χρόνου καὶ θεοῖς προσομιλεῖν δοκοῦσι καὶ παρεστάναι δεῖ συλλογίζεσθαι, ὅτι καὶ οἱ θεοὶ τῶν μοιρῶν ὑπουργοὶ γενόμενοι ὧν μὲν βοηθοὶ ὧν δὲ πολέμιοι καθίστανται· ἀπροφάσιστον γὰρ οὐδὲν ἐν ἀνθρώποις ἐπί τε τῶν φαύλων καὶ ἀγαθῶν δημιουργεῖται· ἔτι δὲ καὶ κατασκευάζεται ὑπὸ εἱμαρμένης τὰ μέλλοντα ἔσεσθαι διά τε ἁρμονίας καὶ φιλίας καὶ δόξης συστάσεως προκειμένης ἔχθρας σίνους πάθους ἀπορρήτων πραγμάτων καὶ μυστικῶν καὶ θανάτου καὶ τῶν λοιπῶν.

Τούτων οὕτως ἐχόντων νῦν καὶ περὶ τῆς τῶν ἀπογωνίων δυνάμεως ἀρκτέον. τὴν μὲν πῆξιν Κριτόδημος ἐποιήσατο, τὴν δὲ εἴσοδον πρότερον αὐτὸς ἀνευρών, διασαφήσας δὲ ἐν ἑτέροις βιβλίοις καὶ νῦν δὲ ἀκριβέστερον ἐξευρὼν ἐπιδιαγραφήσω. πᾶσα γὰρ ἀγωγῆς εἴσοδος κατ' ἀρχὰς ἀμελεστέραν τὴν εὕρεσιν ἔχει, ἐξιχνευθεῖσα δὲ ἐξ ὑστέρου βεβαιοτέρα καθίσταται. εἰ μὲν οὖν τις συν<νοοίη> πότερος βελτίων, ὁ συντάξας σοφῶς καὶ κατεζητημένως ἢ ὁ τὰς ἐπιλύσεις ἐξευρών, φήσει κατὰ τὸν ἐμὸν νοῦν τὸν ἐξευρόντα βελτίονα. καὶ γὰρ ὄργανον μουσικὸν οὐ τῷ κατασκευάσαντι τὸν ἔπαινον παρέχει, ἀλλὰ τῷ μέλλοντι ἐμπείρως διὰ πνεύματος μουσικὸν ἦχον ἐνδείκνυσθαι. ὁμοίως δὲ καὶ πᾶν εἶδος ὀργανοποιίας ἢ συντάξεως μὴ ἔχον τὸν εἰδημόνως προεστῶτα τοῦ ἔργου κενὸν καὶ μάταιον καὶ ἀργὸν νομίζεται· ἢν δέ τις αὐτὸ διαιρήσῃ κατὰ τρόπον ἢ καὶ ἐπιγνῷ τὴν δύναμιν, οὐ μόνον ἡδονὴν καὶ

2 ἀκατάλειπτος S. 4 Il. O 605. 7 Il. X 213. λεῖπεν S. 11 παριστώσης S. 13 ἀπόλειται S. παρέσχες S. 14 si necesse sit, hinc concludas eum tales versus apud priores congestos repperisse (cf. Chrysipp., II, fr. 925, 937, 997, 999, supra p. 30, 28; 43, 24). 21 προκειμένης non sanum; possis v. g. προθυμίας. 24 ἀκτίον S. 25 οὗτος S. βίβλοις S. 26 an ἐπιδιασαφήσω? 28 συν et lac. IV litt. in S. βιοτίων S. 29 φύσει S. 33 ἔχων S. εἰδημόνως τόν S, transposui. 35 ἢ abesse malo.

τέρψιν παρέχει, ἀλλὰ καὶ ὠφέλειαν καὶ δόξαν. πολλοὺς γοῦν ἐγὼ κατελαβόμην λογίους παραιτησαμένους τινὰς τῶν συγγραφέων διὰ τὸ σκολιὸν καὶ κατεζητημένον. ἀλλ' εἰς τὸ προκείμενον τὴν διάνοιαν μετάγειν <δεῖ>. καὶ γὰρ ἐν ταύτῃ τῇ ἀγωγῇ συμφορεύειν Ἥλιόν τε καὶ Σελήνην, ὧν καὶ τὴν εἰς ἄλλους συμπάθειαν κοσμικὴν καὶ ἁρμονίαν μετὰ τὰς προγεγραμμένας <οὐκ> ἀναγκαῖον ἐπιβεβαιῶσαι διὰ πολλῶν. τὴν οὖν ἀπόδειξιν ποικίλως ἔχει, πρότερον δὲ καθὼς ἑτέροις ἔδοξε προτάξω.

Ἐπιγνόντας οὖν χρὴ πόσων μοιρῶν ἐστιν ὁ Ἥλιος εἰσέρχεσθαι εἰς τὸ ἀπογώνιον καθ' ὃ κλίμα ἔπεστιν καὶ τὸ παρακείμενον τῶν μοιρῶν πλῆθος πολυπλασιάζειν ἐπὶ τὰς Ἡλίου μοίρας καὶ τοῦτο ἀπογράφεσθαι. ἔπειτα εἰς τὸ ἀναφορικὸν εἰσελθόντας κατὰ τὴν ἡλιακὴν μοῖραν τὸ παρακείμενον μέγεθος ἐπὶ τὰς γεννητικὰς ὥρας πολυπλασιάζειν καὶ μὴ προσθέντας τὸ πλῆθος πολυπλασιάζειν ἐπὶ τὸ πρότερον εὑρεθὲν πολυπλασίασμα τῶν τοῦ Ἡλίου μοιρῶν καὶ τοῦ ἀπογωνίου πρὸς λεπτά. ὅταν δ' ἅμα συγκεφαλαιωθῇ ἤτοι μυριάδων ἢ χιλιάδων ἢ ἑκατοντάδων, ἐκκρούειν ἐκ τούτων ὁσάκις δυνατὸν τριακοντάδας, τὸν δὲ λειπόμενον ἄλλων ἀπογράφεσθαι καὶ σκοπεῖν, πόστον μέρος ἐστὶ τῆς τριακοντάδος, καὶ τοῦτο ἀφαιρεῖν ἢ προστιθέναι τῷ καταλειφθέντι μέρει τῆς τριακοντάδος ἢ τῷ μεγέθει τῆς ἡλιακῆς μοίρας· καὶ εὑρόντας τὰς μοίρας εἰσέρχεσθαι εἰς τὰ ἀπογώνια καὶ τὰ παρακείμενα ἔτη ἀποφαίνεσθαι καὶ τοὺς γ' ὅρους. οὐ μὴν <ὥς> τισιν ἔδοξε † παρὰ μὲν, ἐμοῦ σαφέστερον ὑφηγησομένου· ἡ δὲ πλάνη τῆς ψήφου οὐ μόνον ἐξαμαυροῖ τὴν διάνοιαν, ἀλλὰ καὶ λήθην τῶν ἐξαριθμηθέντων ἐπάγει· καὶ ὡς ἠβουλήθη τις διὰ πλάνην ἐκ δευτέρου ἢ τρίτου ἐξαριθμήσασθαι, ἀπεχθαίρει καταλείψει· καὶ γὰρ ἐμὲ περὶ τὰ τοιαῦτα εὔτονον καὶ φιλομαθῆ ἀπέστρεψέν τι ἡ πλοκή. ἐγὼ δὲ ἐπεὶ τὰ πλεῖστα ἀπὸ Ἡλίου καὶ Σελήνης ἐπραγματευσάμην καὶ ἐπέγνων, ὅτι <ὁ> περὶ ζωῆς καὶ τέλους λόγος ἀπὸ τούτων καταλαμβάνεται, καθὼς καὶ πρότερον συνέταξα τριζῳδίαν μυστικὴν καὶ εἰς ταύτην ἐπεβαλόμην, οὕτως ἀκριβῶς χρὴ ἐπιστήσαντας Ἡλίῳ καὶ Σελήνῃ πρὸς ὡριαίαν κίνησιν καὶ πρὸς λεπτόν (τοῦτο δὲ πλειστάκις λέγω, ὅπως μὴ δόξω διαμαρτάνειν) ἐξαριθμεῖν Ἥλιον ἐπὶ Σελήνην ἢ Σελήνην ἐπὶ Ἥλιον· κατὰ τὸ αὐτὸ γὰρ ἐκπεσεῖται μυστικῶς· τὸ δὲ συναθροισθὲν πλῆθος συγκεφαλαιώσαντας ἀφαιρεῖν τριακοντάδας. τὸ δ' ἐντὸς τῶν τριάκοντα λειφθὲν σκοπεῖν, πόστον μέρος ἐστι τῆς τριακοντάδος, καὶ τοῦτο ἀφαιρεῖν ἀπὸ ἰσημερινοῦ· τὸ δ' ἐντὸς περιλειφθέν † τι μέρει ἔτει προστεθῆναι τῆς τοῦ Ἡλίου μοίρας·

1-2 καταλαβόμην S. 4 nempe σύμφορον θεωρεῖν vel sim. 5 nempe ἀλλήλους. 6 an <βίβλους οὐκ>? 12 εἰσελθόντες S. 14 προσθέντες S. 16 fors add. πλῆθος. 18 ἄλλων non sanum (ἀριθμὸν Wdl.). πόσον S. 22 καὶ] κατὰ Manit. μὲν] an μίαν? 24 ὡς dubium. 26 ἀπεχθαίρων opinor. καταλίψει S. 27 ἀπεστρέψαν|τϊ ἡ πλοκή S. 33 εἰσπεσεῖται S. 35 πόσον S. 36 signum in S quod solvere non possum; solvit Manitius. 37 nempe ἔδει, sed plura turbata. προστεθεῖναι S.

καὶ αὕτη μὲν οἴσει τὸ ἀπογώνιον ἤτοι ὡροσκοπικὴν μοῖραν· ἢ καὶ ταύτην ἐπιπροσθέντα ἢ καὶ ἀφαιρεθέντα τὰ τοῦ ἰσημερινοῦ κατὰ τὴν συνεγγίζουσαν ὥραν. πάντως γὰρ πᾶσα γένεσις εἰς δύο μοίρας τὰς γνώμονας ἔχει· ἐὰν γὰρ κατὰ τὴν ὑποδεδειγμένην μοι τροπὴν τῶν δύο κλήρων τὴν ἁρμονίαν ζητῶμεν πρότερον Ἡλίου καὶ Σελήνης κατὰ τὰς μοιρικὰς κινήσεις, οὐκ ἦν ἕτερον, ἀλλὰ εὑρήσομαι ἁρμόζον οὔτε μείζονα οὔτε ἥττονα τοῦ ἰσημερινοῦ. καὶ γάρ ἐστι κοσμικὸς γνώμων καὶ ἀρχηγὸς κλιμάτων καὶ μεσίτης δίκαιος νυκτὸς καὶ ἡμέρας. ὁπότε οὖν εὑρεθῇ ἡ μοῖρα, εἰς τὰ ἀπογώνια εἰσελθὼν εἶτα ἐκζητεῖν τὰ ἔτη κατὰ τὸ α' καὶ β' καὶ γ' τῶν ὅρων. εἰ δέ ποτε ἡ μοῖρα εἰς ὀλιγανάφορα ζῴδια ἐμπέσῃ, ἡ δὲ ὑπόστασις τῆς γενέσεως ἄλλων ἐτῶν ἐπιδέχηται πλῆθος, συντιθέναι χρὴ τοὺς γ' ὅρους εἰς τὸ αὐτὸ καὶ μετὰ τοὺς γ' εἰς α' καὶ β' ἐπισυντιθέναι καὶ οὕτως ἀποφαίνεσθαι. ὁμοίως δὲ καὶ ἐν τοῖς πολυαναφόροις ζῳδίοις, ἐπὰν πλῆθος ἐτῶν συνδράμῃ, τὸν ὅρον ὁλόκληρον λογίζεσθαι καὶ τοῖς β' τὰς εὑρεθείσας μοίρας ἐπιβάλλοντας ἢ καὶ πρὸς τούτοις ἀναδραμόντας ἐπισυνθεῖναι [τε] τὰ ἐν τῷ α' ὅρῳ τῇ μοίρᾳ παρακείμενα ἔτη.

Τοῦτο δ' ἀκριβέστερον ἐξιχνευθήσεται, ἐπάν τις ἐκ τῶν προκειμένων λόγων δοκιμάσας καὶ ἐξαριθμησάμενος εὑρήσῃ τὰ ἔτη συντρέχοντα τοῖς ἀπογωνίοις· πολὺ γάρ τι συμβάλλεται δύναμις δυνάμει συνανακερασθεῖσα. τὸ γὰρ ἓν καθ' αὑτὸ οὐδὲν τυγχάνει, ἀστήρικτον δ' ὑπάρχει καὶ ὑπὸ μηδενὸς βοηθούμενον ἀμφίβολον τὴν χρῆσιν ἔχει καὶ ὀλισθηράν. καὶ γὰρ οἱ νήπιοι παῖδες οἵ τε ὑπέργηροι ὀλισθηρὰν τὴν βάσιν ἔχοντες, ὁμοίως δὲ καὶ οἱ τυφλώττοντες βάκτρῳ ἐπερειδόμενοι τὴν πορείαν ποιοῦνται. ἀλλὰ μὴν οὐδὲ ἡ φύσις τελείως οὐδὲν καθ' αὑτὸ μόνον εὔχρηστον ἐδημιούργησεν τοῖς ἀνθρώποις· παρέπεται γὰρ τῇ ἡμέρᾳ νὺξ καὶ τῇ ζωῇ θάνατος καὶ τῷ λευκῷ τὸ μέλαν καὶ τῷ ὑγρῷ τὸ ξηρὸν καὶ τῷ ἀγαθῷ τὸ φαῦλον καὶ γλυκεῖ τὸ πικρὸν καὶ τὰ λοιπὰ εἰς ἄλληλα χωροῦντα καὶ τελούμενα οἷς μὲν ἀγαθὴν ἐλπίδα ζωῆς τε καὶ βίου καὶ σωτηρίας ἐνδεικνύμενα προθυμίαν ὑπομονῆς ἐπάγεται, οἷς δὲ διὰ τὰς κακωτικὰς αἰτίας μετ' ἀνάγκης ἀπόγνωσιν καὶ εὐπροαίρετον θάνατον μόνον. ὁπότε δ' εἰς τὰς ἀρχὰς τοῦ ζῳδίου ἡ ὥρα συνεκπίπτῃ, δοκιμάζειν καὶ τὸ πρὸ αὐτοῦ ζῴδιον πρὸς τὴν ἄφεσιν· ὁπόταν δ' ἐπὶ τέλει, καὶ τὸ ἐχόμενον αὐτῷ συμφωνήσει. Κριτόδημος μὲν οὖν ἐπὶ ταύτῃ τῇ ἀγωγῇ κοινῶς τῷ Ἡλίῳ κέχρηται, μεθόδῳ δ' ἑτέρᾳ ἣν οὐκ ἐξέδοτο.

2 idem signum in S quod supra. 6 ἁρμόζων S. 7 rursus idem signum. 9 τὸ] immo τόν. 16 ἐπισυντιθεῖναι S. 21 ἀστήρικτος S. 22 βοηθούμενος S. 23 ὀλισθηρήν S. οἵ τε] ἔτι τε S. 29 possis τρεπόμενα aut κυκλούμενα. 32 μόνον] possis μηνύει. 33-34 ἐπιτέλη S.

IX, 12. Ποίοις δεῖ κανόσι χρῆσθαι καὶ τίνα δεῖ παρατηρεῖν καὶ ὅτι οὐδὲν ἐφ' ἡμῖν.

Ἱκανῶς μὲν οὖν ἡγοῦμαι καὶ ἀφθόνως τὰς τῶν προκειμένων δυνάμεις συντεταχέναι, τούτων δ' οὕτως ἐχόντων ἔτι καὶ φιλοκάλοις πρὸς ἀναζήτησιν καὶ ἐπίνοιαν μέρος καταλεῖψαι. οὐ γὰρ πρὸς ἀμυήτους ἐποιησάμην τοὺς λόγους, ἀλλὰ πρὸς τοὺς τὰ τοιαῦτα δεινούς, ὅπως καὶ αὐτοὶ τὸ πολυμερὲς καὶ ποικίλον καὶ ἀκμαῖον † λῆγον τῆς θεωρίας διὰ πολλῶν ὁδῶν, εἰσόδων τε καὶ ἐξόδων, ἐπιγνόντες θεοῖς προσομιλεῖν δόξωσιν. ὅτι μὲν γὰρ ἡ θειοτάτη ἐπιστήμη καθ' ἑαυτὴν μὲν ὑπόστασιν ἀέναον καὶ ἀναμφίλεκτον καὶ ἀίδιον κέκτηται, πρόδηλον ἐκ τῶν ὁρωμένων ἔσεσθαι καὶ μελλόντων· ὅτι δὲ παρὰ τὴν ἀνανδρείαν τῶν μετιόντων τὸ μάθημα καὶ τοὺς μὴ ἐγγυμνασθέντας κατὰ τρόπον περὶ τὰς τῶν κανόνων διαφορὰς ἔσθ' ὅτε παραφορεῖ, καὶ τοῦτο πρόδηλον. ἐάσω μὲν γὰρ λέγειν καὶ περὶ τῶν τοὺς ἀναφορικοὺς συμπεπηχότων, ὅσην διαφορὰν κέκτηνται γραμμικήν τε καὶ ἀριθμητικὴν Ἡλίου τε καὶ Σελήνης κανονοποιίαι καὶ τῶν λοιπῶν ἀστέρων. τὸν μέν γε ἐνιαυτὸν ἄλλοι ἄλλως διέλαβον· Μέτων μὲν ὁ Ἀθηναῖος καὶ Εὐκτήμων καὶ Φίλιππος τξε' ε' ιθ', Ἀρίσταρχος δὲ ὁ Σάμιος δ' κ' ξβ', Χαλδαῖοι τξε' δ' ε' ζ', Βαβυλώνιοι δὲ τξε' δ' ρμδ' [1], καὶ ἕτεροι

1 In hoc capite edendo amicissime me adiuvit F. Boll. 7 possis καὶ θέλγον (κηλοῦν Wdl.). 8 ἐπιγνόντας S. 9 δόσωσιν S. 10 ἀένναον S. 11 sententia perversa; syntaxis emendatur si scribas εἰρημένων καὶ ῥηθήσεσθαι μελλόντων vel sim. παρὰ] περὶ S. 12 μεόντων S. 13 παραμφορεῖ S usitatum sane παραφέρει. 14 ἔσω S. 17 similiter Censorinus (i. e. Varro) c. 19 varias de anni magnitudine sententias componit non eodem sed simili fonte usus μεθ' ὧν S. 17-18 Meton cum Euctemone et Philippo recte consociatur; cf. Gemin., p. 120, 6 (ubi Metonis nomen per neglegentiam vel errorem omissum est). 18 ε' ιθ' (i. e. quinque dierum pars undevicesima)] θ' ιε' ε' ιε' Boll (i. e. diei pars quinta et pars quinta decima = 76/285, cum Censorini et Gemini numerus efficiant 75/285). Aristarchus astronomus egregius Metonis numerum non depravare poterat sed corrigere; at cum 1/4 + 1/20 + 1/62 efficiant 0,3161 (Metonis numerus = 0,2631), pro certo habeo κ' (quod ne pro certo quidem legi) mutandum esse in ρ' et dici 1/4 + 1/162 = 0,2561; et fortasse etiam apud Censorium scribendum : *Aristarchus Samius tantumdem* (i. e dies 365 1/4 : id enim dicere voluit aut debuit) *et praeterea diei partem CLXII* (*MDCXXIII* cod., defendit *Tannéry Recherches*, p. 144); nisi potius pro κ' restituendum σ' ut sit 1/4 + 1/262 = 0,2538 et apud Censorinum *CCLXII*.

[1] Chaldaei fortasse ei de quorum magna periodo Hipparchus ea eruit, quae et Ptolemaeus (Almag. IV, 2) et Geminus (cap. 18) i. e. Posidonius ex eo desumpserunt; quamquam ei annum rectius calculasse videntur (Ideler, *Handb. d. Chronol.*, I, 207). At etiam ε' ζ' ex ξζ' vel simili numero corruptum esse potest; fuisse fortasse δ' ρλ' (365 dies 6 h. 13,5 m.) suspicatur Boll monens hoc concordare cum numero Babyloniorum (de quo cf. Ginzel, *Beitr. z. alt. Gesch.*, I, 204); — Babylonii qui dicantur nescio; numerus (= 365 dies 6 horae 6 minuta) haud ineptus idemque quem Hipparchus probabat (Ginzel, *l. c.*).

δὲ πλεῖστοι ἄλλως· εἰ οὖν κατὰ τετραετηρίδα μία ἡμέρα συνελθοῦσα τῇ τοῦ Ἡλίου κανονοποιίᾳ ἀτρεκῆ μοῖραν ἐνδείκνυται, πῶς οὐκ ἀνάγκη καὶ μετὰ χρόνον καὶ καθ' ἣν ἕκαστος ἐλογίσατο ἐνιαύσιον κίνησιν προστεθεῖσαν ἐπουσίαν τῇ ζητουμένῃ ἡμέρᾳ τὴν ἀκριβῆ μοῖραν ἐμφαίνειν;

Ἐλογισάμην οὖν κατ' ἐμαυτόν, ὅτι οἱ προειρημένοι ἄνδρες τὴν μὲν δύναμιν τῆς ἀριθμητικῆς ἠπίσταντο, τὴν δὲ τῶν ζωτικῶν χρόνων εὕρεσιν οὐκ εὐτύχησαν. εἰ γάρ τις αὐτῶν καὶ τοῦτο ἐξίχνευσεν, πάντως ἂν καὶ τὴν κανονοποιίαν τῷ λείποντι μορίῳ προσηρμόκει. ἐπειράθην μὲν οὖν καὶ αὐτὸς κανόνα συμπῆξαι Ἡλίου τε καὶ Σελήνης πρὸς τὰς ἐκλείψεις· ἐπεὶ δέ με ὁ χρόνος περιέκλειε τὸ τέλος ἐπάγων, ἠνέχθην κατὰ τὸν βασιλέα εἰς τὸ εἰρηκέναι· ἕτεροι μὲν οὖν κατημάξευσαν τάσδε τὰς τρίβους, διόπερ παρίημι τὸν ὑπὲρ τούτων λόγον. ἔδοξεν οὖν μοι χρῆσθαι Ἱππάρχῳ μὲν πρὸς τὸν Ἥλιον, Σουδίνῃ δὲ καὶ Κιδυνᾷ καὶ Ἀπολλωνίῳ[1] πρὸς τὴν Σελήνην, ἔτι δὲ καὶ Ἀπολλωνίῳ πρὸς ἀμφότερα τὰ εἴδη, ἐάνπερ τις τῇ προσθέσει τῶν η' μοιρῶν χρῆται καθὼς ἐμοὶ δοκεῖ. ἀλλὰ μὴν καὶ καλῶς πραγματευσάμενος τοὺς κανόνας <ὡς> πρὸς τὰς τῶν φαινομένων θεωρίας ὁμολογεῖν ὡς θνητὸς παρὰ μίαν ἢ δύο μοίρας † φέρειν· τὸ γὰρ ἀπλανὲς καὶ ἀναμφίλεκτον παρὰ θεοῖς μόνοις πέφυκεν· ἀναφορικῶς δὲ κέχρηνται τῷ προεγκλίματι πεπραγματευμένων κλιμάτων ιθ'.

1 εἰ] ἡ S. 4 ἐπουσία S; cf. v. g. *Gemin.*, 208, 3. 5 ἐμφαίνει S. 12 εἰς τὸ] ἐκ τοῦ S. novum Nechepsonis fragmentum. κατημάξευσαν S recte (cf. 48, 19). 13 παρίειμι S. 17 μὲν S. 19 nonnulla excidisse puto.

---

[1] Sudines et Cidenas inter celeberrimos Chaldaeos memorantur a Strabone, XVI, p. 739; de illo cf. Susemihl, *Alex. Litt. gesch.*, I, 861, hic non apparet nisi apud Plin., II, 39 et in tractatu astronomico cod. Paris. 2841, fol. 32; ex quo loco sequitur Cidenam invenisse periodum illam 251 mensium et 269 ἀποκαταστάσεων ἀνωμαλίας, de qua Ptolemaeus verba facit *Almag.*, IV, 2, p. 271, 20 Heiberg. Huius quoque notitiam Hipparcho deberi et per se patet et ex tractatu Parisino concluditur, quem postmodo editurus sum. Haud dissimile veri est Chaldaeos, quorum observationes annis 245, 237, 229 a. Chr. n. factas commemorat Ptolemaeus (Kubitschek apud Pauly-Wissowa, I, 634), Sudinem aut Cidenam aut utrumque intellegendos esse. Sed cave putaris Valentem eorum canones umquam oculis vidisse.

Apollonium dicere potest Myndium ipsum quoque Chaldaeorum discipulum (Senec., *Quaest. nat.*, VII, 4, 17; cf. *Catal.*, V, 1, p. 204, 16) aut Pergaeum ne ab astronomia quidem alienum (Hultsch, Pauly-Wissowa, II, 160). Hunc dici inde concludas, quod in canoniis suis Metonis et Eudoxi rationem secutus est τροπάς et ἰσημερίας in octavis signorum partibus ponentium (Boeckh, *Sonnenkreise*, p. 184 sqq.); quae ratio cum apud posteriores astronomos tantum non abolita sit, decuit sane saeculi III mathematicum. At cum nuper didicerimus etiam Babylonios eo uti (cf. Boll, *Sphaera*, 247), Myndius quoque eam a Chaldaeis suis accepisse potest.

Πρὸ πάντων οὖν δεῖ τοῖς ἀριθμοῖς προσέχειν μετὰ πάσης ἀκριβείας Ἡλίου τε καὶ Σελήνης καὶ τῶν ε' ἀστέρων, τῆς ὥρας σχηματογραφίας καὶ τὰς πρὸς ἀλλήλους μαρτυρίας βραβευούσης· ἐκ γὰρ αὐτῆς ὁ πᾶς σκοπὸς εὐκατάληπτος ἁλίσκεται οἵ τε ιβ' τόποι συνορῶνται μοιρικῶς. οὕτως γὰρ ἀκριβὴς ἡ ἐπίσκεψις φανεῖσα τοὺς μὲν προλέγοντας δοξάσει, τοὺς δ' *** ἐπιστήμην ἐπισφραγίζει τὰ φαῦλα καὶ τὰ μὴ πρὸς ἡδονήν, τοῖς δὲ βουλομένοις τὴν ἐπίσκεψιν ποιεῖσθαι προθυμίαν τινὰ καὶ προτροπὴν καὶ πίστιν τῶν λεγομένων ἀναλαμβάνει. εἰ μὲν καθολικὸν τοῦτο ὑπῆρχε τὸ πλουτήσαντά τινα μηδέποτε πένεσθαι μηδὲ τὸν εὐδαίμονα ὄντα βασιλείας καὶ ἡγεμονίας ἢ δόξης <ἢ> ἑτέρας οἱασδηποτεοῦν αἰτίας ἀκαθαίρετον διαφυλαχθῆναι ἢ τὸν ἐν ῥώμῃ σώματος ἀσινῆ ἢ τὸν ἐν πράξει καιροῦ εὐτυχήσαντα μηδέποτε δυσπραγῆσαι ἢ τὸν κυβερνήτην κλυδωνίζεσθαι καὶ ἀστοχεῖν θαλασσομαχοῦντα ἢ τὸν ἰατρὸν μὴ νοσεῖν ἢ τὸν προγνωστικὸν μηδὲν πάσχειν ἤ τινα προφήτην τῶν θείων ἐπιτυχῆ τοῖς ἀνθρώποις ἀμετάβλητον τυγχάνειν, οὐκ ἂν ἦν εὔχρηστος ἡ πρόγνωσις, ἀλλ' εἷς ἕκαστος περὶ ὧν τετύχηκε κεκτημένος κλήρων ἀσχολούμενος καὶ μηδεμίαν προσδοκῶν καινοποιίαν διετέλει τὸν χρόνον. νυνὶ δὲ καὶ ἀβέβαια καὶ σαθρὰ τὰ τῶν ἀνθρώπων πάντα καὶ ἀστήρικτα νομίζεται κτλ.

2 fors. τῆς ὡριαίας. 3-4 fors. ὁ ὡροσκόπος. 4 τελίσκεται S. 8 ἀναλαμβάνει suspectum. fors. εἰ μὲν <οὖν>. 9 μηδὲ lapsu calami pro καί. 12 πράξη S. 15 τοῖς ἀνθρώποις suspectum. 16 εἷς] ὡς S. 16-17 τετύχηκε|κτημένος S. 17 κλῆρον S.

Excerpta ex astrologo Byzantino.

Excerptum, fol. 229 ss. quod, si rubricae credamus, " fundamenta astrologiae secundum Chaldaeos " continet, mythicam quandam sphaerae creationem, ad explicanda praecipua astrologorum dogmata fictam, narrat. Primam eius partem publici iuris fecerat Pitra, *Anal. sacra*, V, p. 300, postea v. d. Franciscus Cumont uberiora excerpta edidit, in suis *Mon. Myst. Mithra*, I, p. 35, n. 1. Nec tamen indignus visus est ille tractatus qui hic totus imprimeretur. Nonnullas enim de planetis singulares doctrinas praebet, exempli gratia novam domiciliorum, motuum, chronocratoriarum, explanationem. Cave titulo decipiaris : fortasse non chaldaicam, sed potius recentiorem astrologiae formam, qualis Romana aetate praevalebat, in hac doctrinarum farragine discernere licet.

Thema mundi quod hic describitur originem ducit a dogmatibus quae Nechepsonis et Petosiridis vulgo dicuntur, et, cum Babylonii, secundum Firmicum Maternum, II, 3, 4, *ea signa in quibus stellae exaltantur, domicilia earum esse voluerint*, auctor noster altitudines et domicilia distinguit. Quin immo, v. d. Guillelmus Kroll, his inesse quae Arabicam astrologiam redoleant suspicatur.

Ineptiae denique occurrunt, quas auctori antiquo vix attribueris. Et, quod ad graecitatem attinet, nonnulla vocabula adhibentur recentissimae aetatis propria, exempli gratia, p. 137, 12, Ῥωμανία.

Contra, virorum doctorum ingeniis commendare debemus quae in hac compilatione de septem mundi aetatibus dicuntur (p. 135, 6 sq.); has enim fabulas, quibus asseritur septem planetas vicissim per mille annos principatum habuisse, revera ab antiquis Chaldaeis originem trahere verisimile est [1]. Item, quae referuntur de lunae lumine proprio, affinitatem quandam cum vetustis doctrinis habere videntur quas Berosus interpres Graecis aperuit [2]. Immo quae de miro dracone caelesti finxit (p. 131, 5 ss.) a veteribus astrologis non sunt prorsus aliena (cf. Boll, *Catal.*, VII, ad Ammonis excerptum p. 123). Haec antiquissimae doctrinae frustula per Arabes a priscis Babyloniae Chaldaeis ad compilatorem nostrum esse tradita non est quod negemus.

[1] De quibus, cf. quae F. Cumont disseruit, vol. IV huius catalogi, p. 113 et 114, et 183-184.

[2] Si ea quae p. 132, 32 sq. dicuntur ad verbum accipere licet, unum lunae haemisphaerium, proprio lumine candens, *pro circumversione multiiugam speciem sui variat :* καταφέρουσα μικρὸν καὶ ἀναφέρουσα τὸ φῶς αὐτῆς ὃ ἀπ' ἀρχῆς ἔλαβε παρὰ τοῦ δημιουργοῦ. Cf. Lucretium, V, 720, et Apuleium, *De deo Socratis*, c. 1, qui Lucretium sequitur (P. Thomas, *Bull. Acad. Belg.*, 1900, 501); — Berosum in Müller, *FHG.*, II, 509; locis a Mullero indicatis adde: Cleomed., *Circul. doctr.*, II, 4; Augustin., *Enarrat. in psalm.*, X, 3 (*PL.*, 36, col. 31); Diog. Laert., X, 94.

Sed similitudinem quae, secundum Bouché-Leclercq[1], inter hanc astrologicam farraginem et oracula Chaldaica intercedit, nusquam deprehendere mihi contigit.

I. B.

* * *

Vix ullum indicium quod huius capitis originem patefaciat, in totius operis compositione inveneris. Nam in hoc syntagmate homo quidam Byzantinus multifariam doctrinam ex diversis fontibus haustam commiscuisse videtur. Post istas „ Chaldaeorum „ fabulas sequuntur duo capita cuius tituli tantum supersunt (p. 137), deinde astrologica gentium descriptio quam hic edimus. Quam ad eundem scriptorem ac superiora referendam esse cum ex toto sermone tum inde probatur quod, p. 139, 31, verbis καθὰ προείρηται ad caput de septem mundi aetatibus alludit.

Illam autem ethnographiam (sit venia verbo) ex libro versam esse patet scripto in Perside tempore quo huius regni reges illustres (βασιλεῖς ἔνδοξοι) hinc ad Orientem cum vagis incultisque Turcorum gentibus pugnabant et illinc Arabum, quorum imperium ad Occidentem praetendebatur, hostes erant infestissimi. Sic enim tantum quae de moribus et horum populorum et ceterorum scribuntur, intelligi possunt. Quae omnia nonnisi illi aevo conveniunt quo principes indigenae Khalifarum Arabum iugo excusso Persidem regebant, ante annum 1038 p. C. quo domus Ghaznevidarum a Togrul-Beg Turcorum Seldiucidarum duce eversa est. Itaque ab auctore Persico saeculi circiter X haec mutuatus est scriptor Byzantinus.

Continuo autem in Vaticano libro sequitur (f. 132v) caput quod ad graecum fontem referendum est nempe ad Rhetorium[2], Teucri Babylonii interpretem; de quo plura invenies in Catalogo codicum Germanicorum ubi hoc caput a Francisco Boll edetur. Aliae fortasse veteris Graecorum sapientiae reliquiae in hac farragine Byzantina latent.

F. C.

F. 229v. Θεμέλιος τῆς ἀστρονομικῆς τέχνης κατὰ τοὺς Χαλδαίους δόξα.

Διήγησις σοφωτάτου ἀνδρὸς περὶ ποικίλης καὶ πολυμόρφου σφαίρας κατὰ τὴν τῶν ἐμπείρων καὶ σοφωτάτων Χαλδαίων δόξαν. — Φησίν· Ἔπλασεν ὁ πάνσοφος θεὸς δράκοντα πάνυ μέγαν[3] κατὰ μῆκος καὶ πλάτος καὶ βάθος, ζοφοειδῆ ἔχοντα κεφαλήν, τὸν λεγόμενον Ἀναβιβά-

[1] *L'astrologie grecque*, p. 122 et 192. Ordo planetarum qui chaldaicus dicitur in omnibus astrologorum recentium libris invenitur. Cf. quae Bouché-Leclercq ipse, p. 107, de hoc ordine refert. Notandum est mentionem capitis et caudae Draconis (quae Ἀναβιβάζων et Καταβιβάζων vocantur) non esse inferioris aetatis indicium; cf. Kroll, *Götting. Gel. Anzeigen*, 1900, 908-909.

[2] Non est Pauli Alexandrini sicut p. 13 notatur.

[3] In codice Parisino 2506, f. 175v, cap. υλς', similiter dicitur de „ Ἀναβιβάζων καὶ Καταβιβάζων „: Τούτων ἡ περιφέρεια παρὰ τῶν Χαλδαίων δράκων ὠνομάσθη, καὶ αἱ τούτων συμβλήσεις, ἡ μὲν κεφαλὴ τούτου, ἡ δὲ οὐρά, cf. *Catal.*, VII, p. 125.

ζοντα, εἰς ἀνατολήν, καὶ τὴν οὐρὰν αὐτοῦ, τὸν λεγόμενον Καταβιβάζοντα εἰς δύσιν. εἶθ' οὕτως ἤρξατο ποιῆσαι τὰ ιβ' ζῴδια διαφέροντα ἀλλήλων τῇ φύσει καὶ τῇ θέσει, ἤγουν Κριόν, Ταῦρον, Διδύμους, Καρκῖνον, Λέοντα, Παρθένον, Ζυγόν, Σκορπίον, Τοξότην, Αἰγοκέρωτα, Ὑδροχόον, Ἰχθύας· καὶ προσέταξε τὸν αὐτὸν δράκοντα βαστάζειν ἓξ ζῴδια ἐπὶ τοῦ νώτου αὐτοῦ, τὰ λεγόμενα ὀρθὰ καὶ πολυανάφορα, ἤγουν ἀπὸ λ' μοιρῶν τῶν Διδύμων μέχρι λ' μοίρας τοῦ Τοξότου εἰς τὸ ἀφανὲς ἡμισφαίριον ἀπὸ πρώτης μοίρας τοῦ ὁρίζοντος, ἤγουν ἀπὸ ἀνατολῆς μέχρι δύσεως· καὶ τὰ λοιπὰ ἓξ ζῴδια, ἀπὸ λ' μοίρας τοῦ Τοξότου μέχρι τριακοστῆς μοίρας τῶν Διδύμων, τὰ λεγόμενα πλάγια καὶ ὀλιγοανάφορα ἐν τῷ ἐμφανεῖ ἡμισφαιρίῳ· εἶτα ἐποίησεν ἄλλους ἑπτὰ ἀστέρας ἐμφανεστάτους, ἤγουν Κρόνον, Δία, Ἄρην, Ἥλιον, Ἀφροδίτην, Ἑρμῆν, Σελήνην· εἶθ' οὕτως ἔστησε τὴν Σελήνην ἐν Καρκίνῳ, τὸν δὲ Ἥλιον ἐν Λέοντι, τὸν Ἑρμῆν ἐν Παρθένῳ, τὴν δὲ Ἀφροδίτην ἐν Ζυγῷ, καὶ τὸν Ἄρεα ἐν Σκορπίῳ, τὸν Δία ἐν τῷ Τοξότῃ, τὸν δὲ Κρόνον ἐν Αἰγοκέρωτι.

Εἶθ' οὕτως ἐκίνησε πρὸ πάντων τῶν ἀστέρων τὸν λαμπρότατον Ἥλιον ἐπὶ τὴν Παρθένον, καὶ τὰ ἑξῆς ζῴδια ἀπὸ δύσεως πρὸς ἀνατολήν· καὶ ἰδὼν ὁ Ἑρμῆς τὸν Ἥλιον ἐρχόμενον πρὸς αὐτόν, μὴ φέρων τὴν πύρωσιν τῶν ἀκτίνων αὐτοῦ, ἔφυγε δρομαίως καὶ ἦλθεν ἐπὶ τοὺς Διδύμους, καὶ κατῴκησεν ἐκεῖ μέχρι καιροῦ πλησίον τῆς Σελήνης. ὡσαύτως καὶ ἡ Ἀφροδίτη ἰδοῦσα τὸν Ἥλιον ἐρχόμενον ἐπὶ τὸν Ζυγὸν καὶ μὴ φέρουσα τὰς ἀκτῖνας αὐτοῦ, ἔρχεται ἐπὶ τὸν Ταῦρον πλησίον Ἑρμοῦ, ἀπόστροφος οὖσα αὐτοῦ. ὁμοίως καὶ ὁ Ἄρης ἐπὶ τὸν Κριὸν πλησίον Ἀφροδίτης ἀπόστροφος αὐτῆς ὤν. καὶ ὁ Ζεὺς ἐν τοῖς Ἰχθύσι πλησίον Ἄρεος ἀπόστροφος ὢν αὐτοῦ. καὶ ὁ Κρόνος ἐν τῷ Ὑδροχόῳ μὴ ἔχων ἄλλον τόπον ἐφθάσθη ὑπὸ τὰς τοῦ Ἡλίου αὐγὰς καὶ ἐκάη καὶ ἐξηράνθη καὶ διὰ τοῦτο μέλας ἐγένετο. καὶ ἕνεκα τούτου ἔλαχε τοὺς πέντε ἀστέρας ἀνὰ δύο οἴκων, τὸν δὲ Ἥλιον καὶ τὴν Σελήνην ἀπὸ ἑνὸς οἴκου.

Ἰδοῦσα δὲ ἡ Σελήνη τὴν μετάστασιν τῶν ἀστέρων, κατὰ μικρὸν καταφέρει τὸ φῶς ὃ εἶχεν ἐπὶ τοῦ νώτου αὐτῆς, φαίνουσα πρὸς τὴν γῆν· καὶ μετὰ τὸ γενέσθαι αὐτὴν τελείαν ἤγουν πανσέληνον, ἐκίνησε καὶ αὕτη δρομαία, ἀναλαβοῦσα πάλιν ὃ κατέφερε φῶς ἐπὶ τοῦ νώτου αὐτῆς, ἕως προέλαβεν τὸν Ἥλιον ἀφώτιστος οὖσα· εἶτα καταφέρει πάλιν τὸ φῶς αὐτῆς πρὸς τὴν γῆν φαίνουσα, καὶ ὀξυπορωτέρα ἐγένετο παρὰ πάντας τοὺς ἀστέρας, καταφέρουσα μικρὸν καὶ ἀναφέρουσα τὸ φῶς αὐτῆς, ὃ ἀπ' ἀρχῆς ἔλαβε παρὰ τοῦ δημιουργοῦ.

1 αὐτοῦ iter. cod. 2 ιβ' superscr. cod. 24 post ὁμοίως interpungit cod. 28 τούτου] $\overset{τω'}{του}$ cod. 29 expectes: ἔλαχε τοῖς πέντε ἀστράσιν ἀνὰ δύο οἴκων, τῷ δὲ ἡλίῳ καὶ τῇ σελήνῃ ἀπὸ ἑνὸς οἴκου (cf. p. 135, l. 7, et Iannaris, *Historical greek Grammar*, 1500 et 1515). 34 αὔτη cod.: αὐτὴ? 38 τῶ δημιουργῶ cod.

Καὶ ἔμειναν τὰ δώδεκα ζῴδια ἀκίνητα σὺν τῷ μεγίστῳ δράκοντι μέχρι πολλῶν περιόδων τῶν ἑπτὰ ἀστέρων, ἕως ἔστησαν ἐν τοῖς ἰδίοις ὑψώμασιν, ἤτοι Κρόνος Ζυγῷ, μοίρᾳ κα', Ζεὺς Καρκίνῳ, μοίρᾳ ιε', Ἄρης ἐν Αἰγοκέρωτι, μοίρᾳ κη', Ἥλιος Κριῷ, μοίρᾳ ιθ', Ἀφροδίτη Ἰχθύσι, μοίρᾳ κζ', Ἑρμῆς ἐν Ἰχθύσι, μοίρᾳ ιε' ἐν ἰδίῳ ταπεινώματι (καὶ μετὰ ταῦτα ἐγένετο ὁ πρῶτος αὐτοῦ οἶκος ἤγουν ἡ Παρθένος <ὕψωμα αὐτοῦ> ἐναντίον τοῦ ταπεινώματος αὐτοῦ)· Σελήνη ἐν Ταύρῳ, μοίρᾳ γ'.

<Καὶ μετὰ ταῦτα ἐγένετο> ἕκαστος ἀστὴρ ἐν ἰδίᾳ ζώνῃ, ἤγουν Κρόνος ἐν πρώτῃ καὶ ἀνωτάτω ζώνῃ ἔχων τὸ κίνημα ἀργότερον· Ζεὺς δὲ ἐν τῇ δευτέρᾳ ἔχων τὸ κίνημα ὀξύτερον παρὰ τὸν Κρόνον· Ἄρης δὲ ἐν τῇ τρίτῃ ἔχων τὸ κίνημα παρὰ τὸν Δία ὀξύτερον· Ἥλιος δὲ ἐν τῇ τετάρτῃ ἔχων τὸ κίνημα παρὰ τὸν Ἄρεα ὀξύτερον· Ἀφροδίτη δὲ ἐν τῇ πέμπτῃ ἔχουσα τὸ κίνημα ὀξύτερον τοῦ Ἡλίου· Ἑρμῆς δὲ ἐν τῇ ἕκτῃ ἔχων τὸ κίνημα ἴσον τῷ Ἡλίῳ διὰ τὸ ἔχειν αὐτὸν πλείονας μετεωρισμοὺς ὡς ὑπουργὸς καὶ δοῦλος· ἡ δὲ Σελήνη ἑβδόμην καὶ κατωτέραν ζώνην ἔχουσα τὸ κίνημα αὐτῆς ὀξύτερον τοῦ Ἑρμοῦ.

Καὶ εὑρέθη ὁ Κρόνος ἐν τῷ ὑπὸ γῆν κέντρῳ, ἐν τόπῳ πατέρων καὶ ἀφανεῖ κόσμῳ κατὰ διάμετρον τοῦ Ἡλίου καὶ τετράγωνος Διὸς καὶ Ἄρεος,

Ὁ δὲ Ζεὺς ἐν Καρκίνῳ ὡροσκοπικῷ κέντρῳ καὶ πολυγόνῳ ζῳδίῳ τετράγωνος Κρόνου καὶ Ἡλίου καὶ διάμετρος Ἄρεος καὶ τρίγωνος Ἀφροδίτης καὶ Ἑρμοῦ, καὶ ἑξάγωνος Σελήνης.

Ὁ δὲ Ἄρης ἐν τῷ δυτικῷ κέντρῳ ἤγουν Αἰγοκέρωτι, ἀγόνῳ ζῳδίῳ ἐναντιούμενος τῷ Διΐ, τετράγωνος Ἡλίου καὶ Κρόνου.

Ὁ δὲ Ἥλιος Κριῷ, μεσουρανοῦντι κέντρῳ καὶ ἐμφανεστάτῳ τόπῳ, ἐναντιούμενος τῷ σκοτεινοτάτῳ Κρόνῳ τετράγωνος Διὸς καὶ Ἄρεος, ἀπόστροφος Σελήνης καὶ Ἑρμοῦ καὶ Ἀφροδίτης.

Ἡ δὲ Ἀφροδίτη ἐν Ἰχθύσιν ἐν ἐννάτῳ τόπῳ καὶ ἀποκλίματι τοῦ μεσουρανήματος σὺν τῷ Ἑρμῇ καὶ πολυμόχθῳ καὶ προφητικῷ τόπῳ, καὶ τριγωνικῷ σχήματι πρὸς τὸν Δία ἐν Καρκίνῳ, καὶ ἑξάγωνος πρὸς τὸν Ἄρεα καὶ τὴν Σελήνην, καὶ ἀπόστροφος πρὸς τὸν Κρόνον καὶ Ἥλιον.

Ἡ δὲ Σελήνη ἐν τῷ ἀγαθοδαίμονι προσθετικὴ τῷ φωτὶ ἐπαναφερομένη τῷ Ἡλίῳ καὶ ἑξάγωνος τοῦ Διὸς καὶ Ἀφροδίτης καὶ Ἑρμοῦ, τρίγωνος τοῦ Ἄρεος καὶ ἀπόστροφος τοῦ Ἡλίου καὶ Κρόνου. καὶ ἐκ

4 κριῷ, μοίρας cod. : correxi. 5 ἰχθύσι] παρθένῳ cod.; corr. Kroll. 7 <ὕψωμα αὐτοῦ> ἐναντίον τοῦ ταπεινώματος αὐτοῦ] ἀνώματος αὐτοῦ cod., et in margine: Ἑρμῆς ἐναντίον τοῦ ταπεινώματος αὐτοῦ; emendavi; cf. l. 30; p. 134, l. 18 et 23, et Bouché-Leclercq, *L'astrologie grecque*, 195. 8 μοίρας cod. : correxi. 9 <καὶ ... ἐγένετο> supplevi. 19 τετράγονος in τετράγωνον correxit cod. 22 διαμέτρου ex διάμετρ(ος) corr. cod. 26 κριῷ] ♉ cod. 27 Διὸς incipit f. 230r. 29 Ἀφροδίτη] σελήνη cod.; cf. l. 34.

τῶν προφάσεων τούτων ἐπενοήθη ἡ μέθοδος τῶν τετραγώνων καὶ τριγώνων καὶ ἑξαγώνων καὶ διαμέτρων καὶ ἀποστρόφων.

Τότε ὁ πάνσοφος δημιουργὸς οἰκείῳ νεύματι ἐκίνησε τὸν μέγαν δράκοντα σὺν τῷ κεκοσμημένῳ στεφάνῳ, λέγω δὴ τὰ δώδεκα ζῴδια, βαστάζοντα ἐπὶ τοῦ νώτου αὐτοῦ, καθὼς προείρηται, τὰ ἓξ ζῴδια, προηγουμένως αὐτῶν μεταβαίνοντα ἀπὸ ζῳδίου εἰς ζῴδιον ἀπὸ ἀνατολῆς πρὸς δύσιν ἐν πολλῇ σπουδῇ καὶ ἀγῶνι ἀπαύστῳ, ποτὲ μὲν εἰς τὸν ἀφανῆ κόσμον, ποτὲ δὲ εἰς τὸν ἐμφανῆ, ἀεὶ ἔχοντα τὰ ἓξ ζῴδια ἐπὶ τοῦ νώτου αὐτοῦ, ποτὲ μὲν τὰ ὀρθά, ποτὲ δὲ τὰ πλάγια, ποτὲ δὲ ἐξ ἀμφοτέρων.

Ἰδόντες δὲ <οἱ> ἑπτὰ φωστῆρες τὸν μέγαν καὶ φοβερὸν δράκοντα καὶ τὴν ὀξεῖαν καὶ ἐναντίαν αὐτοῦ κίνησιν σὺν τῷ χορῷ τῶν ἀνομοιοτάτων δώδεκα ζῳδίων, ἄφνω θροηθέντες ἔσφαλον τῶν οἰκείων δρόμων πλανώμενοι ἐκ τῆς ὁδοιπορίας αὐτῶν· ἄλλος ἐστήριζεν, ἕτερος ἀνεπόδιζεν, ἕτερος ἐπὶ βορρᾶν, ἄλλος ἐπὶ νότον ἔφυγε· καὶ διὰ τὴν αἰτίαν ταύτην ὠνομάσθησαν πλάνητες. καὶ οὕτως εἴθισαν πορεύεσθαι μέχρι συντελείας φυλάττοντες τὴν πορείαν ἐκείνην.

Ὥσπερ ἐγένετο ἡ Παρθένος ὕστερον ὕψωμα Ἑρμοῦ κατὰ διάμετρον τοῦ ταπεινώματος αὐτοῦ ἤγουν τῶν Ἰχθύων, οὕτως καὶ τῶν λοιπῶν ἀστέρων ἐγένετο κατὰ διάμετρον τῶν ὑψωμάτων αὐτῶν τὰ ταπεινώματα αὐτῶν, ἤγουν Κρόνος ταπεινοῦται ἐν Κριῷ, Ἥλιος δὲ ἐν Ζυγῷ, ὡσαύτως δὲ καὶ ὁ Ζεὺς ταπεινοῦται ἐν Αἰγοκέρωτι, ὁ δὲ Ἄρης Καρκίνῳ, ἡ δὲ Ἀφροδίτη Παρθένῳ, ὡς ὁ Ἑρμῆς ἐν Ἰχθύσι, καθὼς προείρηται.

Ἐπειδὴ ὁ Ἥλιος φῶς ἐστι λαμπρότατον καὶ δεσπότης, ὁ δὲ Κρόνος σκοτεινὸς καὶ ζοφώδης καὶ δοῦλος, ὅπου ὑψοῦται τὸ φῶς καὶ ὁ δεσπότης, ἐκεῖ ταπεινοῦται τὸ σκότος καὶ ὁ δοῦλος, ὅπου δὲ ταπεινοῦται τὸ φῶς καὶ ὁ δεσπότης, ἐκεῖ ὑψοῦται τὸ σκότος καὶ ὁ ὑπηρέτης· ὡσαύτως καὶ ὁ Ζεύς ἐστιν ἀγαθὸς καὶ εἰρηνικὸς καὶ δίκαιος, ὁ δὲ Ἄρης τυραννικὸς πολεμιστὴς φιλόμαχος, ὅπου δὲ ὑψοῦται ἡ δικαιοσύνη καὶ ἡ εἰρήνη, ἐκεῖ ταπεινοῦται ἡ ἀδικία καὶ μάχη, ὅπου δὲ ταπεινοῦται ἡ ἀδικία καὶ μάχη, ἐκεῖ ὑψοῦται ἡ δικαιοσύνη καὶ ἡ εἰρήνη· ὁμοίως δὲ καὶ ἡ Ἀφροδίτη ἐστὶν ἀστὴρ τῶν ἐπιθυμιῶν καὶ ἡδονῶν καὶ ἀφροδισιῶν, ὁ δὲ τοῦ Ἑρμοῦ ἀστὴρ σοφίας καὶ λόγου καὶ γραμμάτων καὶ ψηφηφορίας, ὅπου δ' ἂν ὑψοῦται ἡ ἀφροδισία καὶ ἡ σπατάλη, ἐκεῖ ταπεινοῦται ἡ σοφία καὶ αἱ ἑρμαϊκαὶ τέχναι, ὅπου δὲ ὑψοῦται ἡ σοφία, ἐκεῖ ταπεινοῦται ἡ ἀφροδισία. ἡ δὲ Σελήνη οὐχ οὕτως, ἐπειδὴ κοινωνός ἐστι τοῖς ἀστράσιν ἐν πάσῃ ἐργασίᾳ καὶ τέχνῃ

6 προηγουμένως Cumont : προηγούμενος cod. ζώδιον] ζώδια cod. 7 ἀπαύστω ἂν superscr. cod. 11 <οἱ> supplevi. 13 ἔσφαλλον coni. Kroll. 15 βορρ (ᾶν e corr.) cod. 18 ὑψώματος cod.; correxi. 23 καρκίνω] ☧ cod. ὡς] καὶ? Cumont. 25 δεσπότην cod.; correxi. 34 ἀφροδισιῶν cod. : mutare nolui.

δίκην τύχης· ὅπου δὲ ὑψοῦται ἡ τύχη, ἐκεῖ οὐδεὶς ταπεινοῦται· καὶ ὅπου δ' ἂν ταπεινοῦται ἡ τύχη, ἐκεῖ οὐδεὶς ὑψοῦται. ὡσαύτως καὶ ἐπὶ τοὺς προλοίπους οἴκους νοητέον· ὅταν εὑρεθῇ ἀστὴρ ἐναντίος τοῦ ἰδίου οἴκου, μὴ ἔχων λόγον πρὸς αὐτόν, ἤγουν τριγωνοδεσπότης ἢ δεκανὸς ἢ ὁριοκράτωρ, ὡς εἰς ταπείνωμα λογιζέσθω.

Μετὰ ταῦτα ὥρισεν ὁ θεὸς αἰῶνας ἑπτά, διδοὺς ἑκάστῳ ἀστέρι ἔτη χίλια κατὰ τὴν τάξιν τῶν ζωνῶν· καὶ ἔλαχε τῷ Κρόνῳ τῷ κυρίῳ τῆς πρώτης ζώνης ἄρχειν τὴν πρώτην χιλιάδα κοινωνὸν τοῖς προλοίποις ἄστρασιν, ἤγουν τὸν Δία ἔτη ἑκατόν, τὸν Ἄρεα ἔτη δέκα, τὸν Ἥλιον ἐνιαυτόν, τὴν Ἀφροδίτην μῆνα ἕνα, τὸν Ἑρμῆν ἡμέραν μίαν, τὴν Σελήνην ὥραν μίαν. καὶ ὅταν πληρώσῃ ὁ Ζεὺς τὰ ἑκατὸν ἔτη, παραλαμβάνει ὁ Ἄρης τὴν δευτέραν ἑκατοντάδα, εἶτα ὁ Ἥλιος, εἶθ' οὕτως ἡ Ἀφροδίτη, εἶτα ὁ Ἑρμῆς, εἶτα ἡ Σελήνη, εἶτα αὐτὸς ὁ Κρόνος, εἶτα πάλιν ὁ Ζεύς, εἶτα ὁ Ἄρης, εἶτα ὁ Ἥλιος. ὡσαύτως ὅταν πληρώσῃ ὁ Ἄρης τὰ ι' ἔτη, παραλαμβάνει τὴν ἑτέραν δεκάδα ὁ Ἥλιος, εἶτα ἡ Ἀφροδίτη, καὶ ἑξῆς ὁμοίως κατὰ τὸ ὑπόδειγμα τῆς ἑκατοντάδος. ὡσαύτως καὶ οἱ μῆνες καὶ αἱ ἡμέραι καὶ αἱ ὧραι.

Τὴν δὲ δευτέραν χιλιάδα, ἄρχει ὁ Ζεὺς ἔτη χίλια, Ἄρης ἔτη ἑκατόν, Ἥλιος ἔτη δέκα, Ἀφροδίτη ἔτος ἕν, Ἑρμῆς μῆνα ἕνα, Σελήνη ἡμέραν μίαν, Κρόνος ὥραν μίον, ἕως ἂν πληρωθῇ ὁ κύκλος ἅπας τῶν ἑκατοντάδων καὶ δεκάδων, καὶ ἐνιαυσιαίων, καὶ μηνιαίων, καὶ ἡμεριαίων καὶ νυκτιαίων, καθὼς προείρηται ἐν τῇ πρώτῃ ζώνῃ.

Ἐν δὲ τῇ τρίτῃ χιλιάδι ἄρχει ὁ Ἄρης ἔτη χίλια· Ἥλιος ἔτη ἑκατόν, Ἀφροδίτη ἔτη δέκα, Ἑρμῆς ἔτος ἕν, Σελήνη μῆνα ἕνα, Κρόνος ἡμέραν μίαν, ἕως ἂν πληρωθῇ ἡ κυκλουμένη χιλιάς, καθὰ προείρηται.

Ἐν δὲ τῇ τετάρτῃ χιλιάδι ἄρχει ὁ Ἥλιος ἔτη χίλια, Ἀφροδίτη ἔτη ἑκατόν, Ἑρμῆς δέκα, Σελήνη ἕν, Κρόνος μῆνα ἕνα, Ζεὺς ἡμέραν μίαν, Ἄρης ὥραν μίαν, ἕως οὗ πληρωθῇ ἡ χιλιὰς ἀνακυκλουμένη.

Ἐν δὲ τῇ πέμπτῃ χιλιάδι ἄρχει ἡ Ἀφροδίτη ἔτη χίλια, Ἑρμῆς ἔτη ἑκατόν, Σελήνη ἔτη δέκα, Κρόνος ἕν, Ζεὺς μῆνα ἕνα, Ἄρης ἡμέραν μίαν, Ἥλιος ὥραν μίαν, ἕως τοῦ πληρώματος τῆς χιλιάδος ἀνακυκλουμένης.

Ἐν δὲ τῇ ἕκτῃ χιλιάδι ἄρχει ὁ Ἑρμῆς ἔτη χίλια, Σελήνη ἔτη ἑκατόν, Κρόνος ἔτη δέκα, Ζεὺς χρόνον α', Ἄρης μῆνα ἕνα, Ἥλιος ἡμέραν μίαν, Ἀφροδίτη ὥραν μίαν, ἕως τοῦ πληρώματος τῆς χιλιάδος ἀνακυκλουμένης.

Ἐν δὲ τῇ ἑβδόμῃ χιλιάδι ἄρχει ἡ Σελήνη ἔτη χίλια, Κρόνος ἑκατόν, Ζεὺς δέκα, Ἄρης ἕν, Ἥλιος μῆνα ἕνα, Ἀφροδίτη ἡμέραν μίαν, Ἑρμῆς ὥραν μίαν, ἕως τοῦ πληρώματος τῆς ἀνακυκλουμένης χιλιάδος.

2 οὐδὲ ms. 2-3 " corrige ἐπὶ τῶν προλοίπων οἴκων " Kroll. 6 sq.: " hoc systema similitudinem praebet cum his de quibus Bouché-Leclercq disserit, *L'astrologie grecque*, 499, 1 " Kroll. 7 aut ἔλαχε in ἔλαβε, aut ἔλαβε in ἔλαχε corr. cod. 22 ζώνη incipit f. 230r. 23 δὲ] γὰρ cod. 27 ἓν] ἕνα cod. 31 ἀνακυκλούμενοι cod.; corr. Cumont. 34-35 ἀνακυκλούμενος cod.; corr. Cumont. 37 ἕνα cod.

Ὑποδείγματος χάριν τῆς πρώτης χιλιάδος τοῦ Κρόνου <νόει> ὥραν πρώτην Σελήνης, ὥραν δευτέραν Κρόνου, Ζεὺς ὥραν τρίτην, Ἄρης ὥραν τετάρτην, Ἥλιος πέμπτην, Ἀφροδίτη ἕκτην, Ἑρμῆς ἑβδόμην· αὖθις Σελήνη ὥραν ὀγδόην καὶ ἑξῆς καθὼς προείρηται· πάλιν ἐπέχει ἡ Σελήνη τὴν πεντεκαιδεκάτην ὥραν· καὶ πάλιν ἡ κβʹ τῆς Σελήνης, κγʹ Κρόνου, εἰκοστὴ τετάρτη Διός· καὶ ἐπληρώθησαν αἱ ὧραι.

Ὡσαύτως καὶ τὰς ἡμέρας νόει· Ἑρμοῦ ἡμέραν αʹ, Σελήνης βʹ, Κρόνου γʹ, Διὸς δʹ, Ἄρεος εʹ, Ἡλίου ϛʹ, Ἀφροδίτης <ζʹ>, πάλιν ἡμέραν ηʹ Ἑρμοῦ, καὶ ιεʹ Ἑρμοῦ· καὶ κβʹ Ἑρμῆς, καὶ κθʹ Ἑρμῆς, καὶ λʹ Σελήνη, καὶ ἐπληρώθησαν αἱ ἡμέραι.

Ὡσαύτως καὶ τοὺς μῆνας· αʹ μῆνα Ἀφροδίτη, βʹ Ἑρμῆς, τρίτον Σελήνη, τέταρτον Κρόνος, πέμπτον Ζεύς, ϛʹ Ἄρης, ζʹ Ἥλιος· πάλιν ηʹ Ἀφροδίτη, θʹ Ἑρμῆς, ιʹ Σελήνη, ιαʹ Κρόνος, ιβʹ Ζεύς.

Ὡσαύτως καὶ τοὺς ἐνιαυτούς· πρῶτον Ἥλιος, βʹ Ἀφροδίτη, γʹ Ἑρμῆς, δʹ Σελήνη, εʹ Κρόνος, ϛʹ Ζεύς, ζʹ Ἄρης, ηʹ πάλιν Ἥλιος, θʹ Ἀφροδίτη, ιʹ Ἑρμῆς.

Ὁμοίως καὶ αἱ δεκαετηρίδες· πρώτην δεκάδα Ἄρης, κʹ Ἥλιος· λʹ Ἀφροδίτη. τεσσαροκοστὴν Ἑρμῆς, νʹ Σελήνη, ξʹ Κρόνος, ἑβδομηκοστὴν Ζεύς, ὀγδοηκοστὴν Ἄρης, ἐνενηκοστὴν ὁ Ἥλιος, ἑκατοστὴν Ἀφροδίτη.

Ὁμοίως καὶ αἱ ἑκατονταετηρίδες· πρώτην ἑκατοντάδα Ζεύς, διακοσιοστὴν Ἄρης, τριακοσιοστὴν <Ἥλιος, τετρακοσιοστὴν> Ἀφροδίτη, πεντακοσιοστὴν Ἑρμῆς, ἑξακοσιοστὴν Σελήνη, ἑπτακοσιοστὴν Κρόνος, ὀκτακοσιοστὴν Ζεύς, ἐννακοσιοστὴν Ἄρης, χιλιοστὴν Ἥλιος.

Ταῦτα τὰ ὑποδείγματα ἐν τῇ πρώτῃ χιλιάδι ἐγράφη καὶ μόνον. δεῖ δὲ καὶ τὰ πρόλοιπα πρὸς τὸ ὑπόδειγμα τοῦτο σκέψασθαι. ἕως τῆς ζητουμένης χιλιάδος καὶ ἑκατοντάδος καὶ δεκάδος καὶ ἐνιαυσιαίας καὶ μηνιαίας καὶ ἡμερησίας καὶ ὡριαίας, καὶ ἄρξασθαι ἀπὸ πρώτης ὥρας ἕως κδʹ, καὶ ἀπὸ πρώτης ἡμέρας μέχρι τριακοστῆς, καὶ ἀπὸ πρώτου μηνὸς μέχρι ιβʹ, καὶ ἀπὸ πρώτου ἔτους μέχρι δεκάτου, καὶ ἀπὸ δεκάτου μέχρις ἑκατοστοῦ, καὶ ἀπὸ ἑκατοστοῦ μέχρι χιλιοστοῦ· καὶ οὕτως εὑρίσκεις ἀκριβῶς τὴν ζητουμένην ἡμέραν καὶ ὥραν.

Ἔτι δεῖ σκέψασθαι καὶ τὰ λεγόμενα τυραννικὰ ἔτη, οὐχὶ ζωνικῶς, ἀλλὰ ζῳδιακῶς, κατὰ τὰ ὑψώματα τῶν ἀστέρων, ἡ Ἥλιος ὢν Κριῷ μεσουρανοῦντι κέντρῳ τυραννεῖ ἔτη ιʹ· Σελήνη οὖσα ἐν Ταύρῳ ἔτη θʹ· Ἀναβιβάζων ἐν Διδύμοις ἔτη γʹ· Ζεὺς ἐν Καρκίνῳ ἔτη ιβʹ· Ἑρμῆς ἐν Παρθένῳ ἔτη ιγʹ· Κρόνος ἐν Ζυγῷ ἔτη ιαʹ· Καταβιβάζων ἐν Τοξότῃ ἔτη βʹ· Ἄρης ἐν Αἰγοκέρωτι ἔτη ζʹ· Ἀφροδίτη ἐν Ἰχθύσι ἔτη ηʹ· ὁμοῦ γίνονται ἔτη οεʹ. εἰ βούλει δὲ γνῶναι ποῖος ἀστὴρ κυριεύει τὰ τυραννικὰ ἔτη, ἀνάλυε τὰ παρελθόντα ἔτη ἀπὸ πρώτης χιλιάδος ἕως

1 νόει supplevi : cf. l. 7. 5 ἡ] τὴν cod. 6 εἰκοστὴν τετάρτην cod. 8 <ζʹ> supplevi. 22 <Ἥλιος, τετρακοσιοστὴν> supplevi. 25 [καὶ] Cumont. 33 δεῖ] δὲ cod. 34 ″☉ ὄντος cod.

τοῦ ζητουμένου ἔτους παρὰ τὴν οε', καὶ τὸ περισσὸν ἄρξαι ἀπὸ Ἡλίου ἑκάστῳ ἀστέρι <διδοὺς> τὰ οἰκεῖα ἔτη κατὰ τὸ γεγραμμένον· καὶ ὅπου δ' ἂν καταλήξῃ ὁ ψῆφος, ἐκεῖνον λέγε κύριον εἶναι τοῦ τυραννικοῦ ἔτους· καὶ ὅταν εὑρίσκεται εἷς ἀστὴρ κύριος τῶν η' φάσεων, ἤγουν χιλίαρχ(ος), καὶ ἑκατόνταρχ(ος) καὶ δέκαρχ(ος) <καὶ ἐνιαυσίαρχος> καὶ μηνίαρχ(ος) καὶ ἡμέραρχ(ος) καὶ ὡρίαρχ(ος) καὶ τύραννος, δεῖ τότε ψηφίζεσθαι ἀκριβῶς τοὺς ἀστέρας κατὰ τὴν ὥραν καὶ τοὺς τόπους, ἤγουν τὰ κέντρα καὶ τὰ ἐπαναφερόμενα αὐτὰ καὶ τὰ ἀποκλίματα καὶ τὴν ἐποχὴν τῶν ἀστέρων καὶ ἰδεῖν τὸν προειρημένον ἀστέρα πῶς κεῖται καὶ ὑπὸ τίνων μαρτυρεῖται· καὶ οὕτως ἀποφαίνου καθολικὴν ὠφέλειαν ἢ βλάβην, μάλιστα ὅπου οἰκειοῦται ὁ αὐτὸς ἀστὴρ τὸ κλῖμα ἐκεῖνο, ἤγουν Κριὸς Περσίδι, Καρκῖνος Ῥωμανίᾳ, καὶ τὰ ἑξῆς ὁμοίως.

Καὶ ἐὰν θέλῃ τις σκέψασθαι τὸν ἀστέρα ἐὰν ἐστὶ κύριος τῶν ζ' φάσεων δίχα χιλιάρχου ἤγουν ἀπὸ ἑκατοντάρχου ἕως τοῦ τυραννικοῦ, ὁμοίως καὶ τῶν ἓξ φάσεων δίχα ἑκατοντάρχου, καὶ τῶν ε' δίχα δεκάρχου, καὶ τῶν τεσσάρων δίχα ἐνιαυσιάρχου, καὶ τῶν τριῶν δίχα μηνιάρχου, καὶ τῶν δύο δίχα ἡμεράρχου, καὶ τῆς μιᾶς ἤγουν τυράννου, εὑρίσκεται ἀκριβῶς τὸ μέλλον γίνεσθαι κατὰ τὴν μαρτυρίαν τῶν ἀστέρων πρὸς αὐτόν, καθὰ προείρηται, ἐπειδὴ οἱ ἀποτελεσματικοὶ ἐκ τούτων τῶν προφάσεων ἀποτελοῦσι τὰς γενέσεις τῶν ἀνθρώπων, λαβόντες πρόφασιν ἐκ τῆς τοῦ κόσμου κτίσεως, πειράσαντες μαθεῖν ἐκ τῶν παρελθόντων πραγμάτων τὰ μέλλοντα γίνεσθαι ἐσχάτως.

Sequitur in codice Vaticano capitulum cui titulus est Περὶ τῶν ζ' ἀστέρων τῶν πλανητῶν καὶ τῶν ζ' ζωνῶν καὶ ὅπως ἐγένοντο οἱ ἄνθρωποι πολυχρόνιοι ἐν τῇ πρώτῃ χιλιονταετηρίδι, quod in *Catal.*, IV, p. 116, l. 3 sq., editum est : cum praecedente arte cohaeret, et eiusdem originis signa praebet (cf. supra p. 131).

I. Bidez.

Sequitur f. 231v Ὑπόδειγμα τῶν προειρημένων χιλιάρχων, ἑκατοντάρχων καὶ δεκάρχων καὶ ἐνιαυσιάρχων καὶ τῶν ἑξῆς·

Textus deest spatio circa duodecim versuum relicto. — Deinde : Ὑπόδειγμα εἰσαγωγικὸν ἐπὶ τῶν ἐπαλλήλων ἑπτὰ ζωνῶν.

Initium deest. Dimidia pagina vacua; deinde sine rubrica sequitur summo folio 232r :

Τινὲς δὲ μετὰ ταῦτα λαβόντες πρόφασιν ἐκ τῶν προειρημένων καθολικῶν ὑποδειγμάτων συνεστήσαντο μερικωτέρως τὰς ἕξεις καὶ θέσεις καὶ ἐπιτηδεύματα τῶν ἐθνῶν ἀρξάμενοι ἀπὸ ἀνατολῆς, ἤγουν πρῶτον

2 <διδοὺς> supplevi. 4 ἔτους] ἑτέρου cod. 4-5 χιλιαρ^{χ} καὶ ἑκατονταρ^{χ} etc., sine accentu, cod. 5 <καὶ ἐνιαυσίαρχος> supplevi; cf. infra, l. 30. 12 " cf. Heph. Theb., p. 47, 52. Περσὶς arabicum, Ῥωμανία byzantinum imperium designare videntur " Kroll. Cf. tamen p. 138, 20, 27. 13 κύριος iter., dein oblit. cod. 15 καὶ τῶν ε' incipit f. 231r. 16 ἐνιά^{χ}ρ sic cod. 21 μαθόντες cod.

τοὺς Θῖνας † αἰδεσθῆναι· ἡ λεγομένη Τζινίσταν ὡροσκόπον ἔχουσα τοὺς Ἰχθύας, οἶκον Διός, ὕψωμα Ἀφροδίτης, τὴν δὲ Σελήνην ἐν Παρθένῳ, ὡροκράτορα δὲ αὐτὴν Σελήνην· ὅθεν ἐγένοντο οἱ πλεῖστοι φιλόκαλοι διὰ τοὺς Ἰχθύας καὶ πλούσιοι διὰ τὸ εἶναι τὸν ὡροσκόπον οἶκον Διὸς καὶ ὕψωμα Ἀφροδίτης, διὰ δὲ Σελήνην οὖσαν ἐν Παρθένῳ ἐν γεώδει ζῳδίῳ ἐγένοντο γεωργοί, εἰδωλολάτραι, ψεῦσται δὲ διὰ [τὸ] τὴν Σελήνην οὖσαν ὡροκράτορα ἐν οἴκῳ Ἑρμοῦ καὶ ὑψώματι αὐτοῦ Ἑρμοῦ καὶ Ἑρμαϊκὰς τέχνας ἐπιστάμενοι.

Δεύτερον δὲ Τουρκία ἔχουσα τὸν ὡροσκόπον Λέοντα οἶκον Ἡλίου, τὴν δὲ Σελήνην ἐν Τοξότῃ, ὡροκράτορα Ἄρεα· διὰ τοῦτο ἐγένοντο οἱ πλεῖστοι διὰ μὲν τὸν ὡροσκόπον τὸν Λέοντα θηριώδεις, ἁρπαγαί, φιλέρημοι, αἱμοπόται δὲ καὶ πολεμισταὶ διὰ τὸν Ἄρεα καὶ ἀσελγεῖς καὶ κτηνοβάται καὶ ἱπποτρόφοι διὰ τὸν Τοξότην.

Τρίτη ἡ Ἰνδία ἔχουσα τὸν ὡροσκόπον Ὑδροχόον οἶκον Κρόνου, τὴν δὲ Σελήνην ἐν Αἰγόκερῳ, ὡροκράτορα αὐτὸν τὸν Κρόνον. διὰ τοῦτο ἐγένοντο οἱ ἄνθρωποι διὰ παντὸς μέλανες, κνηκοί, δουλοπρεπεῖς, ἀκάθαρτοι διὰ Κρόνον, ἐν ὑγρῷ τόπῳ ἔχοντες τὸν βίον διὰ τοὺς οἴκους τοῦ Κρόνου καὶ τὰς Κρονικὰς τέχνας ἐπιστάμενοι, ἀσελγεῖς δὲ καὶ ψεῦσται διὰ τὸν Αἰγοκέρωτα.

Τετάρτη δὲ Περσὶς ἔχουσα τὸν ὡροσκόπον Κριὸν οἶκον Ἄρεος ὕψωμα δὲ Ἡλίου, τὴν δὲ Σελήνην ἐν Καρκίνῳ, ὡροκράτορα δὲ Δία· ὅθεν εἰσὶν οἱ πλεῖστοι διὰ τὸν οἰκοδεσπότην τοῦ ὡροσκόπου στρατείαν ἐπιστάμενοι καὶ διὰ τὴν Σελήνην ἔχουσαν ὕψωμα τὸν δεσπότην τὸν Δία, οὖσαν καὶ ἐν τῷ οἴκῳ αὐτῆς. καὶ ὡροκράτωρ αὐτὸς ὁ Ζεὺς σημαίνει τὴν σύστασιν καὶ τὴν ἀνδραγαθίαν, καὶ διὰ τὸ εἶναι τὸν ὡροσκόπον ὕψωμα Ἡλίου, μεσουράνημα κόσμου τετάρτῃ ζώνῃ, ἤρξαντο βασιλεῖς ἄρχοντες ἔνδοξοι.

Πέμπτη Ἀραβία ἔχουσα τὸν ὡροσκόπον Σκορπίον οἶκον Ἄρεος, τὴν δὲ Σελήνην ἐν Ὑδροχόῳ, ὡροκράτορα Ἀφροδίτην· διὰ τοῦτο ἐγένοντο οἱ πλεῖστοι διὰ μὲν τὸν Σκορπίον ἤγουν τὸν ὡροσκόπον οἶκον ὄντα τοῦ Ἄρεος ταπείνωμα δὲ Σελήνης αἱμοπόται, ἄπιστοι, ὠμὴν ἔχοντες γνώμην, ἑρπετώδεις καὶ ὑποκριταί, ταπεινοφροσύνην δεικνύοντες διὰ τὸ ταπείνωμα τῆς Σελήνης, παγκάκιστοι διότι ὁ ὡροσκόπος καὶ ἡ Σελήνη ἐν τοῖς τῶν κακοποιῶν οἴκοις πεσόντες, καὶ ἐγένοντο διὰ τὸν ὡροκράτορα τὴν Ἀφροδίτην ἀσελγεῖς καὶ φιλή-

1 θῆνας cod. αἰδεσθῆναι corruptum. An δεῖ θεῖναι? Θῖναι et Τζινίσταν = Seres et Serorum regnum. De origine Persica horum nominum, cf. von Gutschmid, *Kleine Schriften*, III, 604. 5 Παρθένῳ corr.: signum Capricorni cod. 7 ὑψώματος cod.: corr. Kroll. Mercurius exaltatur in Virgine. 10 Ἄρεα] signum Sagittarii cod. 11 ἁρπαγαί dixit pro ἅρπαγες aut ἁρπακταί. 12 ἀσελγεῖν cod. 16 κνηποὶ cod. 19 Αἰγοκέρωτα *sic* cod. 21 Καρκίνῳ] signum dubium in cod. 23 Scilicet in Cancro est exaltatio Iovis. * Expect. τοῦ δεσπότου τοῦ Διός. (Kroll). 24 οὖσα cod. ὡροκράτορ cod. 28 ἀρραβια cod. ἄρεα cod. 33 ὁ] οἱ cod. 34 πεσόντες <ἔτυχον>?

δονοι καὶ χαριστικὴν ἔχοντες γνώμην ἐκ τῆς ἀδικίας διὰ τὸν οἶκον τοῦ Ἄρεος.

Ἕκτη δὲ Αἴγυπτος ὡροσκόπον ἔχουσα τὴν Παρθένον, οἶκον καὶ ὕψωμα Ἑρμοῦ, τὴν δὲ Σελήνην ἐν Ζυγῷ, ὡροκράτορα Ἑρμῆν· ἐγένοντο οἱ πλεῖστοι διὰ μὲν τὸν ὡροσκόπον τὴν Παρθένον γεωργοὶ καὶ διὰ τὴν Σελήνην οὖσαν ἐν Ζυγῷ ἰσημερινῷ ζῳδίῳ δίκαιοι καὶ ἀληθινοὶ καὶ φιλήδονοι διὰ τὴν Ἀφροδίτην οἰκοδεσπότην οὖσαν τῆς Σελήνης, καὶ διὰ τὸν ὡροκράτορα Ἑρμῆν καὶ κύριον τοῦ ὡροσκόπου ἐγένοντο φιλόσοφοι ἀστρονόμοι καὶ τὰς λοιπὰς Ἑρμαϊκὰς τέχνας ἐπιστάμενοι.

Ἑβδόμη δὲ Ῥωμανία ὡροσκόπον ἔχουσα τὸν Καρκίνον, οἶκον Σελήνης ὕψωμα Διός, τὴν δὲ Σελήνην ἐν Λέοντι καὶ ὡροκράτορα Ἥλιον· ὅθεν ἐγένοντο οἱ πλεῖστοι μεγαλόψυχοι ὑπερήφανοι διὰ τὸν Ἥλιον τὸν ὡροκράτορα ἅμα καὶ τὴν Σελήνην εὑρεθεῖσαν ἐν Λέοντι ἐν βασιλικῷ ζῳδίῳ, καὶ διὰ τὸν ὡροσκόπον τροπικὸν ὄντα καὶ ὕψωμα τοῦ Διὸς ἐγένοντο πλούσιοι, σπαταληταί, φιλήδονοι, ἀσελγεῖς, τρεπτοί, ὥσπερ ὁ οἰκοδεσπότης τοῦ ὡροσκόπου, ἐν στρατείᾳ δὲ καὶ πολέμῳ δειλοὶ διὰ τὸ εἶναι τὸν ὡροσκόπον ταπείνωμα Ἄρεος.

